Luigi von Kunits.

Hesiod (ca. 735 B.C.)

Pindar w. [illegible]
522 – 443

Ol. 14
Pyth. 12
Nem. 11
Isthm. 8

Quintus (5. Jhdt. nach Chr.)

Jan 10 OC 1
20 — 2
30 — 3

Feb 10 — 4
20 — 5

Mar 10 — 6
20 — 7
30 — 8

Ap 10 — 9
20 — 10
30 — 11

May 10 — 12
20 — 13
30 — 14

June 10 [illegible] 1
20 — 2
30 — 3

July 10 — 4 Nem 10 [illegible] 5
20 — 5 — 11 — 6
30 — 6 [illegible] 1 — 7

Aug 10 — 7 — 2 — 8
20 — 8 — 3
30 — 9 — 4

Sep 10 — 10
20 — 11
30 — 12

Oct 10 Nem 1
20 — 2
30 — 3

Nov 10 — 4
20 — 5
30 — 6

Dec 10 — 7
20 — 8
30 — 9

HESIODI

QUAE FERUNTUR CARMINA

AD

OPTIMORUM CODICUM FIDEM

RECENSUIT

IOANNES FLACH.

EDITIO STEREOTYPA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCVII.

Prolog Amme. Pädagog mit Kindern. (Medea [illegible])
Parodos (Chor)
Epeisodion: Medea / Kreon / Medea
Stasimon
Epeisode: Jason. Medea.
Stasimon
Ep. Aigeus. Medea (Medea [illegible])
Stasimon
Epeisodion Jason, Medea (gibt den Kindern [illegible])
Stasimon
Epeisod: Kinder. Medea. — Bote.
Stasimon + (Mord d. Kinder).
Exodus. Jason

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Perpauca habeo quae parvae huic Hesiodi carminum editioni, quam librarii monitu repetitam e maiore Goettlingiana in lucem nunc protuli, praemittam, cum in iis acquiescendum esse putaverim, quae in tertia Goettlingii editione sum praefatus. Neque enim addendam recensionis diversitatem nec formas digammo olim instructas, quas in meae editionis textum nuper receperam, margini subiciendas censui, neque apparatum criticum, quem et Koechlyus et Schoemannus quamvis decurtatum minutarum editionum textui subscripserant, hic congerendum esse, cum praesertim haec carminum recensio cum maiore editione ad verbum congruat. Neque magis illud dignum memoratu est, de quo alii in praefationibus verba facere solent, quot mihi quidem qualesque codicum familias esse discernendas visum sit, cum neque ipse neque alii critici penitus Hesiodeorum carminum studio dediti — Koechlyum dico et Schoemannum — (nam Rankius vix perficienda molitus erat) laborem illum vere Herculeum neque ad textum melius constituendum quidquam proficientem susceperimus; sunt enimvero in una bibliotheca Vaticana codices Hesiodei haud minus XLI. Unam autem rem minime esse silentio praetermittendam iudicavi, postquam editores celeberrimi, Lennepius atque Koechlyus, eam illustrantes in foedum errorem inducti sunt: codicum praestantissimorum et antiquissimorum, quibus prae ceteris usus sim, accuratam descriptionem. Potissimus enim Operum et Dierum codex est Med. XXXI, 39 saec. XI, omnium qui ad aetatem nostram pervenerunt antiquissimus, quem Parisinus 2771 saec. XI et codex egregius

Bibl. Messaniae saec. XII, a quo ipso descendit Parisinus 2773 saec. XIV, ita excipiunt, ut maxima in lectionum parte cum Mediceo conspirent. Itaque uno hos omnes de fonte manasse luce clarius est. Theogoniae vero Scutique antiquissimus codex est Med. XXXII, 16 saec. XII, omnia Hesiodi carmina continens, quem qui scripsit multos carminum locos suo ipsius arbitrio plerumque ut metra violata restitueret immutasse putandus est. Eiusdem familiae adnumerandus est codex Schellershemianus sive Laurentianus 2823 (secondo), qui in Germaniam nuper allatus Florentiamque via adhuc occulta reportatus plures criticis erroris ansas dederat. Omnium autem integerrimus est Parisinus 2708 saec. XIV ex nonnullis exemplaribus ita descriptus, ut multa quidem cognationis vestigia reperiantur in Ven. Marc. 464 saec. XIV, cuius textum Demetrius Triclinius et ipse ex plurimis codicibus constituit. Agmen codicum meliorum claudit Venetus olim Paullinus saec. XIV. Ipse nobilissimos libros cum industria perlustravi, in aliis aliorum studiis confisus. Praecipuas denique coniecturas, quarum plerasque proposuerunt Schoemannus, Deitersius, Bergkius, Scheerius, Nauckius, admisi nonnisi hisce in versibus: Th. 71. 148. 154. 253. 300. 329. 330. 369. 377. 399. 428. 438. 466. 477. 532. 538. 554. 592. 616. 635. 639. 640. 641. 703. 706. 783. 797. 823. 860. Scut. 141. 220. 243. 419. 432. Oper. et D. 22. 34. 39. 66. 132. 325. 330. 353. 375. 378. 598. 682. 724. 750. 808.

Haec sunt, quae praemonere velim. Ceterum si non immerito magnum librum *μέγα κακὸν* esse quidam putaverunt, parvum hoc volumen multis *ἡδονὴν* allaturum spero.

Scribebam Tubingae d. I. Oct. MDCCCLXXVII.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΓΕΝΟΣ ΗΣΙΟΔΟΥ.

Ἡσίοδος σὺν τῷ ἀδελφῷ Πέρσῃ παῖς ἐγεγόνει Δίου καὶ Πυκιμήδης, Κυμαίων Αἰολέων, πενήτων ἀνθρώπων, οἳ διὰ τὸ ἄπορον καὶ τὰ χρέα τὴν ἑαυτῶν πατρίδα Κύμην ἀφέντες μετοικιστεύουσιν ἐπὶ τὴν Ἄσκρην, χωρίον τῶν Βοιωτῶν δυσχείμερον καὶ κακοθέρειον, περὶ τοὺς πόδας κειμένην τοῦ Ἑλικῶνος, κἀκεῖ κατοικοῦσι. τοιαύτῃ δὲ πενίᾳ τῶν ἀνθρώπων συνεσχημένων, συνέβη τὸν Ἡσίοδον τοῦτον πρόβατα ἐν τῷ Ἑλικῶνι ποιμαίνειν. φασὶ δὲ ὡς ἐννέα τινὲς ἐλθοῦσαι γυναῖκες καὶ δρεψάμεναι κλῶνας ἐκ δάφνης Ἑλικωνίτιδος αὐτὸν ἐπέσίτισαν, καὶ οὕτω σοφίας καὶ ποιητικῆς ἐμπεφόρητο. ἀλλὰ τὰ μέχρι μὲν τούτων ἀτρεκῆ τε καὶ ἀληθέστατα ὅτι παῖς ὁ Ἡσίοδος Δίου καὶ Πυκιμήδης, καὶ ὡς κατὰ τὸν Ἑλικῶνα ἐποίμανε· τὰ δ' ἐντεῦθεν μεμυθηγόρηται καὶ ἀλληγορικώτερον λέλεκται. ἢ γὰρ ἐν τῷ ποιμαίνειν περὶ τὸν Ἑλικῶνα ἐνόμευε καὶ καθευδήσας ὁ Ἡσίοδος ὄναρ εἶδεν ἐννέα γυναῖκας δάφνας αὐτῷ ψωμιζούσας (ἐδήλου δὲ τὸ ὄναρ πάντως ὡς πικρίας καὶ πόνων μετεσχηκὼς τῆς

παιδεύσεως ἀειθαλῆ γεννήσει ποιήματα), ταῦτα τοίνυν ὁ Ἡσίοδος ἢ ὄψει ὀνείρων τεθεαμένος καὶ διυπνισθεὶς καὶ τὸ ποιμαίνειν ἀφεὶς καὶ πόνοις ἑαυτὸν ἐνδοὺς καὶ μαθήμασι τὴν τῶν ὀνείρων ἐπίλυσιν ἐξεπέρανεν, ἢ περὶ τὸν Ἑλικῶνα ποιμαίνων ἐγρηγορὼς καὶ ἄϋπνος ὢν σύννους τε πρὸς ἑαυτὸν γεγονὼς καὶ πρέποντα νοῦν ἐσχηκὼς ἀποδιδράσκει μὲν τὸ εὐτελὲς καὶ ποιμενικὸν καὶ σκληρόβιον καὶ προσδραμὼν τῇ παιδεύσει καὶ πόνοις ἐγκαρτερήσας μεγάλην καρποῦται τὴν εὔκλειαν, καὶ βίβλους τοσαύτας ἐξεπονήσατο, ἃς ἐγὼ Μουσῶν τε καὶ γνώσεως ἐπίσταμαι ψώμισμα καὶ δάφνας λάλους Ἑλικωνίτιδας, ἑλισσομένας ἁπανταχοῦ καὶ θαλλούσας καὶ κηρυττούσας τὸν πρὶν μὲν οἰκτρόβιον καὶ ἀφανῆ νομέα ποιμνίων, νῦν δὲ ἡμίθεον χρηματίσαντα δι' ἀρετῆς καὶ παιδεύσεως. ὥςπερ καὶ ὁ Σωφρονίσκου Σωκράτης ὁ λιθοξόος, καὶ ὁ ἰχθυοπώλης Δημάδης, καὶ ὁ τῆς τυμπανιστρίας Αἰσχίνης, Σίμων τε ὁ σκυτεύς, καὶ ὁ λαχανεὺς Εὐριπίδης, ἔτι τε ὁ Σκύθης Ἀνάχαρσις, καὶ ἄμφω τὼ δούλω Αἴσωπος καὶ Ἐπίκτητος, καὶ ὁ Σύρος ῥήτωρ ὁ Λουκιανὸς ὁ λιθοξόος τε καὶ ἡμίδουλος, καὶ οἱ λοιποί, (ὥςπερ καὶ παρ' ἡμῖν ὁ χρυσογνώμων ἐκεῖνος Σωτήριχος καὶ ὁ νῦν περιὼν τῆς Νικομήδους οἰνοπράτης ἀρχιερεύς, ὃς οὐδὲ νῦν ἐθέλει τοῦ πιθεῶνος ἐξίστασθαι, ἀλλ' ἔτι τὸν οἶνον μιγνύει καὶ μεταβάλλει τοὺς ἀμφορεῖς). συνηκμακέναι δ' αὐτὸν οἱ μὲν Ὁμήρῳ φασίν, οἱ δὲ καὶ Ὁμήρου προγενέστερον εἶναι διισχυρίζονται. καὶ οἱ μὲν προγενέστερον εἶναι Ὁμήρου διισχυριζόμενοι ἐν ἀρχαῖς εἶναί φασι τῆς Ἀρχίππου ἀρχῆς, Ὅμηρον δὲ ἐν τῷ τέλει· ὁ δ' Ἄρχιππος οὗτος υἱὸς ἦν Ἀκάστου,

ἄρξας Ἀθηναίων ἔτη λέ· οἱ δὲ συγχρόνους αὐτοὺς εἶναι λέγοντες ἐπὶ τῇ τελευτῇ τοῦ Ἀμφιδάμαντος τοῦ βασιλέως Εὐβοίας φασὶν αὐτοὺς ἀγωνίσασθαι, καὶ νενικηκέναι Ἡσίοδον ἀγωνοθετοῦντος καὶ κρίνοντος Πανείδου τοῦ βασιλέως τοῦ ἀδελφοῦ Ἀμφιδάμαντος καὶ τῶν υἱῶν Ἀμφιδάμαντος, Γανύκτορός τε καὶ τῶν λοιπῶν. ἐξηρωτηκέναι γὰρ αὐτοὺς πολλὰ πρὸς ἀλλήλους φασὶ δι' ἐπῶν αὐτοσχεδίων καὶ ἀποκρίνασθαι, καὶ πᾶσι τὸν Ὅμηρον τὰ πρωτεῖα λαμβάνειν· τέλος τοῦ βασιλέως Πανείδου εἰπόντος αὐτοῖς τὰ κάλλιστα τῶν ἑαυτῶν ἐπῶν ἀναλεξαμένους εἰπεῖν, Ὅμηρος μὲν ἄρχεται λέγειν τοῦτο τὸ χωρίον ἀπὸ πολλῶν ἐπῶν ἀρξάμενος ὄπισθεν·

ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι,

καὶ περαιτέρω τούτων. Ἡσίοδος δὲ τῶν

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων

ἀπάρχεται καὶ ὁμοίως Ὁμήρῳ προβαίνει μέχρι πολλοῦ τῶν ἐπῶν. καὶ πάλιν ἐπὶ τούτοις οἱ παρεστῶτες πάντες τῶν ἐλλογίμων καὶ στρατιωτῶν τὸν Ὅμηρον ἐστεφάνουν, ὁ δὲ Πανείδης ἔκρινε νικᾶν Ἡσίοδον ὡς εἰρήνην καὶ γεωργίαν διδάσκοντα καὶ οὐ καθάπερ Ὅμηρος πολέμους καὶ σφάγια. ἀλλὰ ταῦτα μέν εἰσι ληρήματα τῶν νεωτέρων καὶ πλάσεις τῶν πρὸς ἀλλήλους ἐρωτημάτων καὶ τῶν ἐξ Ὁμήρου παρεκβεβλημένων ἐπῶν καὶ ὑπ' ἐκείνου δῆθεν ῥηθέντων. Ὅμηρος γὰρ ὁ χρυσοῦς, ὡς ἐγῷμαι, μᾶλλον δὲ ἀκριβεστάτως ἐπίσταμαι, πολύ τε παλαιότερος Ἡσιόδου ὑπῆρχε, καὶ εἰ πρὸς τοὺς θρυλλουμένους ἐκείνους θεοὺς ἔριν

ἐστήσατο λόγων, καὶ κατὰ τούτων ἂν τὰ πρωτεῖα καὶ τοὺς στεφάνους ἠνέγκατο. ἀλλ᾽ ἴσως ὁ ἕτερος Ὅμηρος ἦν ὁ τῷ Ἡσιόδῳ ἰσόχρονος ὁ τοῦ Εὔφρονος παῖς ὁ Φωκεὺς ὁ καὶ τούτῳ τὴν ἔριν στησάμενος, κἂν τὰ ἔπη τοῦ θείου ἐκείνου ἀνδρὸς τῇ ὁμωνυμίᾳ πεπλανημένοι λέγειν τοῦτο ἐπλάσαντο. Ὅμηροι γὰρ πολλοὶ γεγόνασιν ἕτεροι ζήλῳ τοῦ παλαιοῦ τὴν κλῆσιν λαμβάνοντες· καὶ γὰρ καὶ τοῦ Φωκέως Ὁμήρου τούτου ἕτερος ὑπάρχει νεώτερος Ὅμηρος. οὗτος ὁ νεώτερος Ὅμηρος ἦν παῖς Ἀνδρομάχου τῷ γένει Βυζάντιος ὁ τὴν Εὐρυπύλειαν ποιήσας. τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ᾽ ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν καὶ τῆς Ἰλίου ἁλώσεως. ἐκ τούτου οὖν λογίζομαι τοῦτον τοῦ Ἡσιόδου εἶναι τετρακοσίων ἐτῶν προγενέστερον. Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος, μᾶλλον δὲ οἶμαι ὁ τοὺς πέπλους συντάξας, ἐν τῇ Ὀρχομενίων πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησιν υἱὸν Ἡσιόδου ἐκ τῆς Κτιμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως. ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι. Ἀστυπαλαιεὺς δ᾽ ἦν τῷ γένει ὁ Φάλαρις, ὡς αὐτός φησιν ἐπιστολαῖς ταῖς αὑτοῦ, τύραννος δὲ Ἀκραγαντίνων. ἐγὼ δὲ οὐκ ἀκριβολογησάμενος Ἀκραγαντῖνον ἐκάλεσα τῇ κοινῇ συνηθείᾳ χρώμενος· ἡ δὲ Ἀστυπάλη πόλις τῆς Σάμου ἐστίν. οἱ δὲ Ὁμήρου τετρακοσίοις ὑστερίζοντα ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος. συνεγράψατο δὲ ὁ τοιοῦτος Ἡσίοδος βίβλους ἑκκαίδεκα, Ὅμηρος δὲ ὁ παλαιὸς ιγ΄. τελευτᾷ δὲ ὁ Ἡσίοδος ἐν Λοκρίδι τοιουτοτρόπως. μετὰ τὴν νίκην ἣν αὐτὸν

νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος εἰς Δελφοὺς ἐπορεύθη, καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμός·

ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος, Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δή τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται Ἠώς.
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖ γάρ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος, τῶν Φηγέως παίδων, ἀναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν, ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κτιμένην, ἐξ ἧς ἐγεννήθη Στησίχορος· ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας, καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ τῆς Οἰνόης. οἱ δὲ φονεῖς αὐτοῦ νηὸς ἐπιβάντες ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν. Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ καὶ ἐπέγραψαν τάδε·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν,
ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης.

ἐπέγραψε δὲ καὶ Πίνδαρος·

χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

ΘΕΟΓΟΝΙΑ.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·
[καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
ἢ Ἵππου κρήνης, ἢ Ὀλμειοῦ ζαθέοιο,
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο,
καλούς, ἱμερόεντας· ἐπερρώσαντο δὲ ποσσίν.]
ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην,
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποσειδάωνα γεήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην,
Ἠῶ τ' Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Λητώ τ' Ἰαπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τ' Ὠκεανόν τε μέγαν, καὶ Νύκτα μέλαιναν,

ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπαν,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα γηρύσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
δρέψασαι, θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
θέσπιν, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα.
καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
Τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
δώματά τ' ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,
[οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.]
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ λήγουσαί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν κράτεΐ τε μέγιστος.
αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων

ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.
[πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν,
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόματ' ὄσσαν ἱεῖσαι
μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.]
αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
νισσομένων πατέρα ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς.
ταῦτ' ἄρα Μοῦσαι ἄειδον Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε, Θάλειά τε Μελπομένη τε,
Τερψιχόρη τ' Ἐρατώ τε, Πολύμνιά τ' Οὐρανίη τε,
Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ᾽ ἔπε᾽ ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ᾽ ἀσφαλέως ἀγορεύων
αἶψ᾽ ὅγε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ᾽ ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι·
οἷά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
ἐκ γάρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ᾽ ὄλβιος ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
ἄζηται, κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεούς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ᾽ ὅγε δυςφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε, τέκνα Διός, δότε δ᾽ ἱμερόεσσαν ἀοιδήν.
κλείετε δ᾽ ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος,
νυκτός τε δνοφερῆς, οὕς θ᾽ ἁλμυρὸς ἔτρεφε πόντος.
εἴπατε δ᾽, ὡς ταπρῶτα θεοὶ καὶ γαῖα γένοντο,
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων,
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,

οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἑάων,
ὥς τ' ἄφενον δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς ταπρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅ τι πρῶτον γένετ' αὐτῶν.

Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελής, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί·
γείνατο δ' Οὔρεα μακρά, θεῶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
ἣ δὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι θῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κριόν θ', Ὑπερίονά τ' Ἰαπετόν τε,
Θείαν τε Ῥείαν τε, Θέμιν τε Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.
τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.
γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον,

οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν.
οἱ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ.
[Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ·]
ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.
ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
τρεῖς παῖδες μεγάλοι τε καὶ ὄβριμοι, οὐκ ὀνομαστοί,
Κόττος τε Βριάρεώς τε Γύης θ', ὑπερήφανα τέκνα.
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
ἄπλαστοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
ἰσχὺς δ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει.
ὅσσοι δ' ἂρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆϊ
ἐξ ἀρχῆς· καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίεσκε,
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός. ἡ δ' ἐντὸς στοναχίζετο Γαῖα πελώρη
στεινομένη· δολίην δὲ κακὴν ἐφράσσατο τέχνην.
αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν.
εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ·
Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε
πείθεσθαι, πατρός κε κακὴν τισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ἕλεν δέος, οὐδέ τις αὐτῶν
φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν·

Μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι
ἔργον, ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη.
εἷσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα.
ἦλθε δὲ Νύκτ' ἐπάγων μέγας Οὐρανός, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐπέσχετο καί ῥ' ἐτανύσθη
πάντῃ· ὁ δ' ἐκ λοχεοῖο πάϊς ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρήν, καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
ἐξοπίσω τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν
γείνατ' Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας,
[τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,]
Νύμφας θ' ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν·
μήδεα δ' ὡς τοπρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἔνι κούρη
ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλητ', ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός, ἀμφὶ δὲ ποίη
ποσσὶν ὕπο ῥαδινοῖσιν ἀέξετο· τὴν δ' Ἀφροδίτην
[ἀφρογενέα τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν]
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις·
[Κυπρογενέα δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ·

ἠδὲ φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.]
τῇ δ' Ἔρος ὡμάρτησε καὶ Ἵμερος ἕσπετο καλὸς
γεινομένῃ ταπρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ.
ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
παρθενίους τ' ὀάρους μειδήματά τ' ἐξαπάτας τε
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.
    Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκεν
παῖδας νεικείων· μέγας Οὐρανὸς οὓς τέκεν αὐτός.
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.
    Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
οὔτινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή.
δεύτερον αὖ Μῶμον καὶ Ὀϊζὺν ἀλγινόεσσαν,
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν.
καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
[Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσι
γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,]
αἵτ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅστις ἁμάρτῃ.
τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
[Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα,]
Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
    Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα,
Ὑσμίνας τε Φόνους τε, Μάχας τ' Ἀνδροκτασίας τε,
Νείκεά τε ψευδέας τε Λόγους Ἀμφιλογίας τε,

Δυσνομίην Ἄτην τε, συνήθεας ἀλλήλοισιν,
Ὅρκον θ', ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.
Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
πρεσβύτατον παίδων· αὐτὰρ καλέουσι γέροντα,
οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστέων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν.
αὖτις δ' αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν
Γαίῃ μισγόμενος καὶ Κητὼ καλλιπάρῃον,
Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ' ἐγένοντο μεγήρατα τέκνα θεάων
πόντῳ ἐν ἀτρυγέτῳ καὶ Δωρίδος ἠϋκόμοιο,
κούρης Ὠκεανοῖο, τελήεντος ποταμοῖο,
Πρωτώ τ' Εὐκράτη τε, Σαώ τ' Ἀμφιτρίτη τε,
Εὐδώρη τε Θέτις τε, Γαλήνη τε Γλαύκη τε,
Κυμοθόη, Σπειώ τε θοή, Θαλίη τ' ἐρόεσσα,
καὶ Μελίτη χαρίεσσα καὶ Εὐλιμένη καὶ Ἀγαυή,
Πασιθέη τ' Ἐρατώ τε καὶ Εὐνίκη ῥοδόπηχυς,
Δωτώ τε Πρωθώ τε, Φέρουσά τε Δυναμένη τε,
Νησαίη τε καὶ Ἀκταίη καὶ Πρωτομέδεια,
Δωρὶς καὶ Πανόπη καὶ εὐειδὴς Γαλάτεια,
Ἱπποθόη τ' ἐρόεσσα καὶ Ἱππονόη ῥοδόπηχυς,
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ
πνοιάς τε ζαχρηῶν ἀνέμων σὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ,
Κυμώ τ' Ἠϊόνη τε ἐϋστέφανός θ' Ἁλιμήδη,
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια,
Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια,
Πουλυνόμη τε καὶ Αὐτονόη καὶ Λυσιάνασσα,
Εὐάρνη τε, φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος,

καὶ Ψαμάθη, χαρίεσσα δέμας, δίη τε Μενίππη,
Νησώ τ' Εὐπόμπη τε, Θεμιστώ τε Προνόη τε,
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργα ἰδυῖαι.

Θαύμας δ' Ὠκεανοῖο βαθυρρείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἡ δ' ὠκεῖαν τέκεν Ἶριν,
ἠϋκόμους θ' Ἁρπυίας, Ἀελλώ τ' Ὠκυπέτην τε,
αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
ὠκείῃς πτερύγεσσι· μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρῄους
[ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουσιν
ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,]
Πεφρηδώ τ' εὔπεπλον Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
ἐσχατιῇ πρὸς νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι,
Σθεινώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.
ἡ μὲν ἔην θνητή, αἱ δ' ἀθάνατοι καὶ ἀγήρῳ,
αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι.
τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἔκθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.
τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
γένθ', ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι.
χὠ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μήλων,
ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει,
βροντήν τε στεροπήν τε φέρων Διὶ μητιόεντι.
Χρυσάωρ δ' ἔτεκε τρικέφᾱλον Γηρυονῆα
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.

τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
βουσὶν ἐπ' εἰλιπόδεσσι περιρρύτῳ εἰν Ἐρυθείῃ,
ἤματι τῷ ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο,
Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.

Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲ ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσι,
σπῆϊ ἔνι γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν,
ἥμισυ μὲν νύμφην ἑλικώπιδα, καλλιπάρῃον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν, δεινόν τε μέγαν τε,
[αἰόλον ὠμηστήν, ζαθέης ὑπὸ κεύθεσι γαίης.
ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.]
ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.

Τῇ δὲ Τυφάονά φασι μιγήμεναι ἐν φιλότητι,
δεινόν θ' ὑβριστήν τ' ἄνεμον ἑλικώπιδι κούρῃ·
ἡ δ' ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα.
Ὄρθον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆϊ·
δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔτι φατειὸν
Κέρβερον, ὠμηστήν, Ἀΐδεω κύνα χαλκεόφωνον,
πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε·
τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο, λυγρὰ ἰδυῖαν
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη,
ἄπλητον κοτέουσα βίῃ Ἡρακληείῃ.
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηϊφίλῳ Ἰολάῳ
Ἡρακλέης βουλῇσιν Ἀθηναίης ἀγελείης.

ἡ δὲ Χίμαιραν ἔτικτε, πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε, ποδώκεά τε κρατερήν τε.
τῆς δ' ἦν τρεῖς κεφαλαί· μία μὲν χαροποῖο λέοντος,
ἡ δὲ χιμαίρης, ἡ δ' ὄφιος, κρατεροῖο δράκοντος,
[πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ Χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.]
τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.
ἡ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε, Καδμείοισιν ὄλεθρον,
Ὄρθῳ ὑποδμηθεῖσα, Νεμειαῖόν τε λέοντα,
τόν ῥ' Ἥρη θρέψασα, Διὸς κυδρὴ παράκοιτις,
γουνοῖσιν κατένασσε Νεμείης, πῆμα βροτοῖσιν.
ἔνθ' ὅγε οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κοιρανέων Τρητοῖο Νεμείης ἠδ' Ἀπέσαντος·
ἀλλά ἑ ἲς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ' ὁπλότατον Φόρκυ φιλότητι μιγεῖσα
γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνοῖς κεύθεσι γαίης
πείρασιν ἐν μεγάλης παγχρύσεα μῆλα φυλάσσει.
[τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυνος γένος ἐστί.]

Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα, Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε Ῥῆσόν τ', Ἀχελώϊόν τ' ἀργυροδίνην
Νέσσον τε, Ῥοδίον θ' Ἁλιάκμονά θ' Ἑπτάπορόν τε,
Γρήνικόν τε καὶ Αἴσηπον, θεῖόν τε Σιμοῦντα,
Πηνειόν τε καὶ Ἕρμον, ἐΰρρείτην τε Κάϊκον,
Σαγγάριόν τε μέγαν, Λάδωνά τε Παρθένιόν τε,
Εὔηνόν τε καὶ Ἄρδησκον, θεῖόν τε Σκάμανδρον.
Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν

ἄνδρας κουρίζουσι' σὺν Ἀπόλλωνι ἄνακτι
καὶ Ποταμοῖς, ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι,
Πειθώ τ' Ἀδμήτη τε Ἰάνθη τ' Ἠλέκτρη τε,
Δωρίς τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδής,
Ἱππώ τε Κλυμένη τε Ῥόδειά τε Καλλιρόη τε
Ζευξώ τε Κλυτίη τε Ἰδυῖά τε Πασιθόη τε
Πληξαύρη τε Γαλαξαύρη τ' ἐρατή τε Διώνη
Μηλόβοσίς τε Θόη τε καὶ εὐειδὴς Πολυδώρη,
Κερκηΐς τε, φυὴν ἐρατή, Πλουτώ τε βοῶπις,
Περσηΐς τ' Ἰάνειρά τ' Ἀκάστη τε Ξάνθη τε,
Πετραίη τ' ἐρόεσσα Μενεσθώ τ' Εὐρώπη τε,
Μῆτίς τ' Εὐρυνόμη τε Τελεστώ τε κροκόπεπλος
Χρυσηίς τ' Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψώ,
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε,
καὶ Στύξ, ἣ δή σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι· πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντῃ ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.
τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ τοὺς γείνατο πότνια Τηθύς·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτῷ ἀνδρὶ ἐνισπεῖν,
οἱ δὲ ἕκαστοι ἴσασιν, ὅσοι περιναιετάουσι.
Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.
Κρίῳ δ' Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν Πάλλαντά τε δῖα θεάων

Πέρσην θ', ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
 Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
ἀργέστην Ζέφυρον, Βορέην τ' αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
τοὺς δὲ μέτ' ἀστέρα τίκτεν Ἑωσφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα, τάτ' οὐρανὸς ἐστεφάνωται.
 Στὺξ δ' ἔτεκ' Ὠκεανοῦ θυγάτηρ Πάλλαντι μιγεῖσα
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισι·
καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα,
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη,
οὐδ' ὁδὸς ὅππῃ μὴ κείνοις θεὸς ἡγεμονεύῃ
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
ὣς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη
ἤματι τῷ ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν ἣν τὸ πάρος γε μετ' ἀθανάτοισι θεοῖσι.
τὸν δ' ἔφαθ', ὅςτις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν ἣ θέμις ἐστίν.
ἦλθε δ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.
τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρ' ἀπέδωκεν.
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἑοῦ μεταναιέτας εἶναι.
ὣς δ' αὔτως πάντεσσι διαμπερές, ὥςπερ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
 Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι

Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεί,
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
[μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου.]
γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.
[ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
ἡ δὲ καὶ ἀστερόεντος ἀπ' οὐρανοῦ ἔμμορε τιμῆς,
ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς,
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστιν.
ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων,
οὐδέ τί μιν Κρονίδης ἐβιήσατο, οὐδέ τ' ἀπηύρα
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει ὡς τοπρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.
οὐδ', ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς,
καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ·
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ καὶ Ζεὺς τίει αὐτήν
ᾧ δ' ἐθέλει, μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν·
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει ὅν κ' ἐθέλῃσιν·
οἵ δ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσωνται
ἀνέρες, ἔνθα θεὰ παραγίγνεται, οἷς κ' ἐθέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι·
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει·
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν,

ἔνθα θεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησι. —
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε, τοκεῦσι δὲ κῦδος ὀπάζει.
ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν οἷς κ' ἐθέλῃσι,
καὶ τοῖς οἳ γλαυκὴν δυςπέμφελον ἐργάζονται,
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ.
ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ὤπασε πολλήν,
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληΐδ' ἀέξειν·
βουκολίας τ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν,
ποίμνας τ' εἰροπόκων ὀΐων, θυμῷ γ' ἐθέλουσα,
ἐξ ὀλίγων βριάει, καὶ ἐκ πολλῶν μείονα θῆκεν.
οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσι.
θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
οὕτως ἐξ ἀρχῆς κουροτρόφος· αἵδε τε τιμαί.]

Ῥεῖα δ' ὑποδμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα, καὶ Ἥρην χρυσοπέδιλον,
ἴφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
καὶ τοὺς μὲν κατέπινε Κρόνος μέγας, ὅςτις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο,
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων
ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληΐδα τιμήν.
πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,

[καὶ κρατερῷ περ ἐόντι, Διὸς μεγάλου διὰ βουλάς·]
τοὔνεκ' ἄρ' οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τίσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο
παίδων θ' οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.
οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην ὅσαπερ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆϊ καὶ υἱέϊ καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.
ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Δίκτην· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει, πεπυκασμένῳ ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
[Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆϊ].
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐσκάτθετο νηδύν,
σχέτλιος, οὐδ' ἐνόησε μετὰ φρεσίν, ὥς οἱ ὀπίσσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε, βίῃ καὶ χερσὶ δαμάσσας,
τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.

Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς

ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης,
[νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.]
πρῶτον δ' ἐξήμεσσε λίθον, πύματον καταπίνων·
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησοῖο
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
[Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν
καὶ στεροπήν· τὸ πρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.]
Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα
ποικίλον, αἰολόμητιν, ἁμαρτίνοόν τ' Ἐπιμηθέα,
ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσι·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
παρθένον. ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε βαλὼν ψολόεντι κεραυνῷ
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης, πρόπαρ Ἑσπερίδων λιγυφώνων,
ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσι.
ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ
ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ

νυκτός, ὅσον πρόπαν ἦμαρ ἐδοι τανυσίπτερος ὄρνις.
τὸν μὲν ἄρ᾽ Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ᾽ ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ, καὶ ἐλύσατο δυσφροσυνάων,
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,
ὄφρ᾽ Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
πλεῖον ἔτ᾽ ἢ τοπάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
τοῦτον ἄρ᾽ ἁζόμενος τίμα ἀριδείκετον υἱόν·
καίπερ χωόμενος παύθη χόλου ὃν πρὶν ἔχεσκεν,
οὕνεκ᾽ ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.
καὶ γὰρ ὅτ᾽ ἐκρίνοντο θεοὶ θνητοί τ᾽ ἄνθρωποι
Μηκώνῃ, τότ᾽ ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προὔθηκε, Διὸς νόον ἐξαπαφίσκων.
τοῖς μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονα δημῷ
ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ,
τῷ δ᾽ αὖτ᾽ ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.
δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἰαπετιονίδη, πάντων ἀριδείκετ᾽ ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὸν δ᾽ αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,
ἦκ᾽ ἐπιμειδήσας, δολίης δ᾽ οὐ λήθετο τέχνης·
Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
τῶνδ᾽ ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ᾽ ἄφθιτα μήδεα εἰδὼς
γνῶ ῥ᾽ οὐδ᾽ ἠγνοίησε δόλον· κακὰ δ᾽ ὄσσετο θυμῷ
θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλε.
χερσὶ δ᾽ ὅγ᾽ ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφα.

χώσατο δὲ φρένας ἀμφί, χόλος δέ μιν ἵκετο θυμόν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ·
(ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.)
τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπελήθεο τέχνης.
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς·
ἐκ τούτου δὴ ἔπειτα, δόλου μεμνημένος αἰεί,
οὐκ ἐδίδου μελέοισι πυρὸς μένος ἀκαμάτοιο
θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
ἀλλά μιν ἐξαπάτησεν ἐῢς παῖς Ἰαπετοῖο,
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοΐλῳ νάρθηκι· δάκεν δέ ἑ νειόθι θυμόν,
[Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,]
ὡς ἴδ' ἐν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισι.
γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι· κατακρῆθεν δὲ καλύπτρην
δαιδαλέην, χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι·
[ἀμφὶ δέ οἱ στεφάνους, νεοθηλέας ἄνθεσι ποίης,
ἱμερτούς τ' ἐπέθηκε καρήατι Παλλὰς Ἀθήνη·]
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.
τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα.
τῶν ὅγε πόλλ' ἐνέθηκε, (χάρις δ' ἀπελάμπετο πολλή,)

θαυμάσια, ζώοισιν ἐοικότα φωνήεσσιν.
  Αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
ἐξάγαγ' ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι
κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης·
θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπύν, ἀμήχανον ἀνθρώποισιν.
  Ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων,
[τῆς γὰρ ὀλώϊόν ἐστι γένος καὶ φῦλα γυναικῶν,]
πῆμα μέγ' αἳ θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν,
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.
ὡς δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκουσι, κακῶν ξυνήονας ἔργων,
(αἳ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά,
οἳ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται)
ὣς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται,
χήτει γηροκόμοιο· ὅ γ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
  Ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.

οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
καὶ πολυΐδριν ἐόντα μέγας κατὰ δεσμὸς ἔρυκεν.
Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης·
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες
εἵατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠΰκομος Ῥεῖα Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
αντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοί,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοί, δωτῆρες ἐάων,
[οὓς τέκεν ἠΰκομος Ῥεῖα Κρόνῳ εὐνηθεῖσα·]
οἵ ῥα τότ' ἀλλήλοισι πόνον θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
νέκταρ τ' ἀμβροσίη τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,
πάντων τ' ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ,
[ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,]
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·

Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαΐ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε, δυσηλεγέος ἀπὸ δεσμοῦ,
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
  Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι', οὐκ ἀδάητα πιφαύσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, ὅ τοι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
ἄψορρον δ' ἐξαῦτις, ἀμειλίκτων ἀπὸ δεσμῶν,
σῇσιν ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
  Ὣς φάτ'· ἐπῄνησαν δὲ θεοί, δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμὸς
μᾶλλον ἔτ' ἢ τοπάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὕς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φόωςδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
[τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.]

οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι· δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν τ' αἰπεῖα ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὐδ' ἄρ' ἔτι Ζεὺς ἶσχεν ἑὸν μένος ἀλλά νυ τοῦγε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες· ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα,
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους, φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι
αὔτως, ὡς ὅτε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
πίλναιντ'· οἷος γάρ κε μέγιστος δοῦπος ὀρώροι

τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος,
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
σὺν δ' ἄνεμοί τ' ἔνοσίς τε κονίην ἐσφαράγιζον
[βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε]
ἐς μέσον ἀμφοτέρων, ὅτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων,
ἐκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
οἳ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε Βριάρεώς τε Γύης τ' ἄατος πολέμοιο,
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.
[ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιὼν δεκάτῃ ἐς Τάρταρ' ἵκοιτο·]
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται· βουλῇσι Διὸς νεφεληγερέταο,
[χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.]
τοῖς οὐκ ἐξιτόν ἐστι, πύλας δ' ἐπέθηκε Ποσειδῶν

χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν.
ἔνθα Γύης, Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τάτε στυγέουσι θεοί περ,
χάσμα μέγ', οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλη
[ἀργαλέη· δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι
τοῦτο τέρας· καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
ἕστηκεν· νεφέλης κεκαλυμμένα κυανέῃσι.]
Τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχετ' οὐρανὸν εὐρὺν
ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν,
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι
ἀλλήλας προςέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν
χάλκεον. ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται,
[ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἡ δ' Ὕπνον μετὰ χερσί, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοή, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.]
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν·
οὐρανὸν εἰςανιὼν οὐδ' οὐρανόθεν καταβαίνων.
τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης

ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ' ὃν πρῶτα λάβῃσιν
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες,
ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης,
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειής, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,
ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα
[ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης.]
Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι,
δεινὴ Στύξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ'· ἀμφὶ δὲ πάντῃ
κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
[παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις
ἀγγελίην πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται,]
καί ῥ' ὅτε τις ψεύδηται Ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ, πολυώνυμον ὕδωρ,
ψυχρόν, ὅ τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο,
ὑψηλῆς· πολλὸν δέ θ' ὑπὸ χθονὸς εὐρυοδείης
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας· δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίνῃς ἀργυρέῃς εἱλιγμένος εἰς ἅλα πίπτει,
ἡ δὲ μί' ἐκ πέτρης προρέει· μέγα πῆμα θεοῖσιν.

ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
κεῖται νήϋτμος τετελεσμένον εἰς ἐνιαυτόν,
οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλ' ὅγε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δέ ἑ κῶμα καλύπτει.
αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτόν,
ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος.
εἰνάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται οὐδ' ἐπὶ δαῖτας
ἐννέα πάντα ἔτεα· δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
εἰρέας ἀθανάτων, οἳ Ὀλύμπια δώματ' ἔχουσι.
τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ,
ὠγύγιον, τό θ' ἵησι καταστυφέλου διὰ χώρου.
[Ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τάτε στυγέουσι θεοί περ.
ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεος οὐδός,
ἀστεμφής, ῥίζῃσι διηνεκέεσσιν ἀρηρώς,
αὐτοφυής· πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων
Τιτῆνες ναίουσι, πέρην Χάεος ζοφεροῖο.
αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ' ἠδὲ Γύης· Βριάρεών γε μὲν ἠῢν ἐόντα
γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.]

Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεύς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη

Ταρτάρου ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην.
οὗ χεῖρες μὲν ἄαπτοι, ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι,
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
γλώσσῃσι δνοφερῇσι λελειχμότες, ἐκ δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε·
[πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο,]
φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
παντοίην ὄπ' ἱεῖσαι, ἀθέσφατον· ἄλλοτε μὲν γὰρ
φθέγγονθ' ὥςτε θεοῖσι συνιέμεν, ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου ὄσσαν, ἀγαύρου,
ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα, θαύματ' ἀκοῦσαι,
ἄλλοτε δ' αὖ ῥοίζεσχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,
καί κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
πόντος τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης.
ποσσὶ δ' ὕπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ὑπεστενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
βροντῆς τε στεροπῆς τε, πυρός τ' ἀπὸ τοῖο πελώρου,
[πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.]
ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα·
θῦε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει·
[τρέσσ' Ἀΐδης, ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,

ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.]
Ζεὺς δ᾽, ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ᾽ ὅπλα,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
πλῆξεν ἀπ᾽ Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθείς, στενάχιζε δὲ γαῖα πελώρη·
φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος
οὔρεος ἐν βήσσῃσιν Ἀΐτνης παιπαλοέσσης,
πληγέντος· πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεσπεσίῃ καὶ ἐτήκετο, κασσίτερος ὣς
τέχνῃ ὕπ᾽ αἰζηῶν ὑπό τ᾽ εὐτρήτου χοάνοιο
θαλφθείς, ἠὲ σίδηρος, ὅπερ κρατερώτατός ἐστιν,
οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
[τήκεται ἐν χθονὶ δίῃ ὑφ᾽ Ἡφαίστου παλάμῃσιν.]
ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
[ῥῖψε δέ μιν θυμῷ ἀκαχὼν ἐς Τάρταρον εὐρύν.]
Ἐκ δὲ Τυφωέος ἔστ᾽ ἀνέμων μένος ὑγρὸν ἀέντων,
[νόσφι Νότου Βορέω τε, καὶ ἀργέστεω Ζεφύροιο·
οἵ γε μὲν ἐκ θεόφιν γενεή, θνητοῖς μέγ᾽ ὄνειαρ.]
οἱ δ᾽ ἄλλοι μαψαῦραι ἐπιπνείουσι θάλασσαν·
αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θύουσιν ἀέλλῃ·
ἄλλοτε δ᾽ ἄλλῃ ἄεισι, διασκιδνᾶσί τε νῆας,
ναύτας τε φθείρουσι· κακοῦ δ᾽ οὐ γίγνεται ἀλκὴ
ἀνδράσιν, οἳ κείνῃσι συνάντωνται κατὰ πόντον·
αἱ δ᾽ αὖ καὶ κατὰ γαῖαν ἀπείριτον, ἀνθεμόεσσαν,
ἔργ᾽ ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,
πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.



Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν Ὀλύμπιον εὐρύοπα Ζῆν
ἀθανάτων· ὁ δὲ τοῖσιν ἐῢ διεδάσσατο τιμάς.

Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
πλεῖστα θεῶν τε ἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
αἱμυλίοισι λόγοισιν ἑὴν ἐσκάτθετο νηδὺν·
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
ἄλλος ἔχῃ Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι·
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν·
αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐσκάτθετο νηδύν,
[ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.]

Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἵτ' ἔργ' ὠρεύουσι καταθνητοῖσι βροτοῖσι,
Μοίρας θ', ᾗς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε διδοῦσι
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.

Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους,
[Ὠκεανοῦ κούρη, πολυήρατον εἶδος ἔχουσα,]
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν·
τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων

Parzen:
Klotho die den Lebensfaden spinnt
Lachesis die das Lebenslos bestimmt
Atropos die Unabwendbare

λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.
Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν,
ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀϊδωνεὺς
ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατ' ἄρ' αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν.
ἣ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε,
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν.
Αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα γείνατ' Ἀθήνην,
δεινήν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα
γείνατο, καὶ ζαμένησε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅςτε θαλάσσης
πυθμέν' ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηϊ
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτε
δεινούς, οἵτ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηϊ πτολιπόρθῳ·
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.
Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰςαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν

μιχθεῖσ᾽ ἐν φιλότητι Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ᾽ ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ᾽ ἄρ᾽ ἔτικτε βίην Ἡρακληείην
μιχθεῖσ᾽ ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ᾽ Ἥφαιστος, ἀγακλυτὸς ἀμφιγυήεις,
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ᾽ ἄκοιτιν.
χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
κούρην Μίνωος, θαλερὴν ποιήσατ᾽ ἄκοιτιν.
τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ᾽ Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱός,
ἲς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ᾽ ἄκοιτιν ἐν Οὐλύμπῳ νιφόεντι,
ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας
ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ἠελίῳ δ᾽ ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηῒς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ᾽ υἱὸς φαεσιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε θεῶν βουλῇσιν Ἰδυῖαν καλλιπάρῃον.
ἡ δέ νύ οἱ Μήδειαν ἐΰσφυρον ἐν φιλότητι
γείναθ᾽ ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.
Ὑμεῖς μὲν νῦν χαίρετ᾽ Ὀλύμπια δώματ᾽ ἔχοντες,
[νῆσοί τ᾽ ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.]
νῦν δὲ θεάων φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ᾽ ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίῳ ἥρωϊ μιγεῖσ᾽ ἐρατῇ φιλότητι

νειῷ ἔνι τριπόλῳ, Κρήτης ἐν πίονι δήμῳ,
ἐσθλόν, ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
πᾶσιν· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
τὸν δ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη, θυγάτηρ χρυσέης Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην καὶ Ἀγαυὴν καλλιπάρηον,
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης,
γείνατο καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
[Κούρη δ' Ὠκεανοῦ, Χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονέα, τὸν κτεῖνε βίη Ἡρακληείη
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιρρύτῳ εἰν Ἐρυθείῃ.]
Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστήν,
Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱόν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.
τόν ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς
νηοπόλον μύχιον ποιήσατο, δαίμονα δῖον.
Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῇσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος, ὀβριμοεργός.
τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.

καί ῥ᾽ ἦγε δμηθεῖσ᾽ ὑπ᾽ Ἰήσονι ποιμένι λαῶν
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.
　　Αὐτὰρ Νηρῆος κοῦραι, ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην,
Πηλέϊ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ᾽ Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.
　　Αἰνείαν δ᾽ ἄρ᾽ ἔτικτεν ἐϋστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ᾽ ἐρατῇ φιλότητι
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ὑληέσσης.
Κίρκη δ᾽, Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ᾽ Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε,
[Τηλέγονόν τε ἔτικτε διὰ χρυσέην Ἀφροδίτην.]
οἳ δ᾽ ἤτοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσιν ἄνασσον.
Ναυσίθοον δ᾽ Ὀδυσῆϊ Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ᾽ ἐρατῇ φιλότητι.
　　Αὗται μὲν θνητοῖσι παρ᾽ ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,

* * *

ΥΠΟΘΕΣΕΙΣ ΤΗΣ ΑΣΠΙΔΟΣ.

Α.

Τάφιοι στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βοῦς ἀνεῖλον τοὺς τῆς Ἀλκμήνης ἀδελφούς, τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ Ἀμφιτρύωνος βουλομένου αὐτῇ συνελθεῖν[1]*, οὐ πρότερον αὐτῷ ὑπέσχετο, πρινὴ παρὰ τῶν ἀδελφοκτόνων εἰςπράξηται τιμωρίαν*[2]*. ὁ δὲ ἐπιστρατεύσας ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα συνέρχονται αὐτῇ ἀμφότεροι, ὅ τε Ζεὺς καὶ ὁ Ἀμφιτρύων, ὁ μὲν ἐκ*[3]* τοῦ πολέμου ὑποστρέψας, Ζεὺς δὲ βουληθεὶς τοῖς ἀνθρώποις βοηθὸν γεννῆσαι. ἡ δὲ κύει ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς καὶ*[4]* ἐπὶ Κύκνον, Ἄρεος υἱόν, ἡνίοχον ἔχων Ἰόλαον, στρατεύεται, ὃς τοὺς τὰς δεκάδας*[5]* ἄγοντας εἰς Πυθὼ περιεσύλα. σκεπασθεὶς οὖν ἡφαιστοτεύκτῳ ἀσπίδι πρόσεισιν εἰς Τραχῖνα φρὸς Κήϋκα. συμβαλὼν δὲ τῷ Κύκνῳ αὐτὸν μὲν ἀναιρεῖ, τὸν δὲ Ἄρην, ὑπερασπίζοντα τοῦ υἱοῦ, κατὰ μηρὸν τιτρώσκει, καὶ οὕτως ἔρχεται πρὸς*

1) *αὐτῇ βουλομένου συνεισελθεῖν* Em. 2) *πρὶν ἢ τῷ ἀδελφοκτόνῳ εἴσπρᾶξαι τιμωρίαν* Em. 3) *ἀπὸ* Em. 4) *καὶ* om. Em. 5) Goettl.: lege *δεκάτας*. Sic Rank. Schoem. — *ἐσύλα* Em.

Κήϋκα. ἦν δὲ ὁ Κύκνος γαμβρὸς Κήϋκος ἐπὶ θυγατρὶ Θεμιστονόῃ[6]).

Β.

*Οἱ Τάφιοι καὶ οἱ Τηλεβόαι εἰς ἔριν ἐλθόντες πρὸς τοὺς ἀδελφοὺς τῆς Ἀλκμήνης ἐφόνευσαν αὐτούς. αὐτὴ δὲ τὸν ἑαυτῆς γάμον ἐκήρυττε γαμεῖσθαι τῷ δυναμένῳ διεκδικῆσαι τὸν θάνατον τῶν ἀδελφῶν αὐτῆς. περιερχομένη οὖν ἐπὶ τούτοις ἦλθεν ἐν Θήβαις, ὅπου ἐδούλευεν ὁ Ἀμφιτρύων τότε. κἀκεῖνος ὑπέσχετο αὐτῇ. * * **[7]) *ὁ Ἀμφιτρύων ὁ τῆς Ἀλκμήνης σύνευνος τὸν τῆς ἑαυτοῦ γυναικος πατέρα Ἠλεκτρύωνα ἀποκτείνας.*

Γ.

Τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ δ' Καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ϛ'[8]). *ὑπώπτευκε δὲ Ἀριστοφάνης, οὐχ ὁ κωμικός, ἀλλά τις ἕτερος, γραμματικός, ὡς οὐκ οὖσαν αὐτὴν*[9]) *Ἡσιόδου, ἀλλ' ἑτέρου τινὸς τὴν Ὁμηρικὴν ἀσπίδα μιμήσασθαι προαιρουμένου. Μεγακλῆς δὲ ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ*[10]). *ἄλογον γάρ φησι ποιεῖν Ἥφαιστον τοῖς τῆς μητέρος ἐχθροῖς ὅπλα παρέ-*

---

6) Sic Goettl. Rank. Pal. Schoem. cum codd. Par. AF (n. 2708. 2772) apud Rank. Vulg. *Θεμιστονόμῃ*. — *πρὸς Κήυκα τὸν πενθερὸν κύκνου τὸν γήμαντος Θεμιστονόην* Em. 7) Videtur addendum *καὶ ἐγένετο*. — 8) Em. A. Vulg. *ν' καὶ σ'*. Refinxit Heinr. monente Petito de legg. Att. p. 462. Ceterum pro *δ' καταλ.* cod. Rehd. distincte *τετάρτῳ Κ.* V. Marckscheffel. Hesiodi etc. p. 142. Verba *οὐχ ὁ — γραμματικός* desunt codd. Par. AEF (Par. 2708. 2773. 2772). Em. — 9) V1. pro *αὐτὴν* habet *τὴν ὁπλοποιίαν ταύτην*. — 10) *καὶ*

χοντα. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γʹ φησὶν αὐτοῦ[11]) εἶναι, ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα τῷ Ἡρακλεῖ. ὡςαύτως δὲ καὶ Στησίχορός[12]) φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

ἄλλως ἐπιτιμᾶται Ἡσιόδῳ Em. — 11) αὐτὴν Em. — 12) „The name is probably corrupt" Pal. — Sequitur apud Heinrich. et Goettl. Argumentum Δ e codd. Rehdig. et Flor. XXXI, 20. Omis. Rank. Pal. Schoemannus.

(Nicht von Hesiod)

ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ.

Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἤλυθεν ἐς Θήβας μετ' ἀρήϊον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος.
ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων
εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔτις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεόντων
τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.
ἡ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
ὡς οὔπω τις ἔτισε γυναικῶν θηλυτεράων·
ἦ μὲν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅγε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου, οὐδέ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐϋσφύρου Ἠλεκτρυώνης,
πρίν γε πόνον τίσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.

ὣς γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπιμάρτυροι ἦσαν·
τῶν ὅγ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅττι τάχιστα
ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι
ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐὺς πάϊς Ἀλκαίοιο,
κυδιόων λαοῖσι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὄφρα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῆσιν ἀρῆς ἀλκτῆρα φυτεύσαι.
ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐϋζώνοιο γυναικός,
ἐννύχιος· τάχα δ' ἷξε Τυφαόνιον· τόθεν αὖτις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς.
ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα·
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ,
αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,
ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε.
οὐδ' ὅγ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας
ὦρτ' ἰέναι, πρὶν ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
νούσου ὕπ' ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
ὥς ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολυπεύσας
ἀσπασίως τε φίλως τε ἑόν δόμον εἰσαφίκανε.
παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι,
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,

οὐκέθ' ὁμὰ φρονέοντε· κασιγνήτω γε μὲν ἤστην·
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην.
[τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι,
αὐτὰρ Ἰφικλῆα δορυσσόῳ Ἀμφιτρύωνι,
κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.]

Ὃς καὶ Κύκνον ἔπεφνεν, Ἀρητιάδην μεγάθυμον.
εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
αὐτὸν καὶ πατέρα ὅν, Ἄρην, ἆτον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας ὣς πυρὸς αἰθομένοιο,
ἑσταότ' ἐν δίφρῳ· χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι
νύσσοντες χηλῇσι, κόνις δέ σφ' ἀμφιδεδήει
κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον,
ἵππων ἱεμένων· κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήϊον ἡνίοχόν τε
χαλκῷ δῃώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων·
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην
πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου
λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ' ὣς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνῳ
ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι
πλὴν Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου;
[κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.]
ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον·
Ἥρως ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,

ἦ τι μέγ' ἀθανάτους μάκαρας, τοὶ Ὄλυμπον ἔχουσιν,
ἤλιτεν Ἀμφιτρύων, ὅτ' ἐϋστέφανον ποτὶ Θήβην
ἦλθε λιπὼν Τίρυνθον, ἐϋκτίμενον πτολίεθρον,
κτείνας Ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐρυμετώπων·
ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,
ἣ δίκη ἔσθ' ἱκέτῃσι, τίον δ' ἄρα κηρόθι μᾶλλον.
ζῶε δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ Ἠλεκτρυώνῃ,
ᾗ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ' οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ· τοῦ μὲν φρένας ἐξέλετο Ζεύς,
⟨ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας⟩
ᾤχετο, τιμήσων ἀλιτήμενον Εὐρυσθῆα,
σχέτλιος· ἦ που πολλὰ μετεστοναχίζετ' ὀπίσσω
ἣν ἄτην ἀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων ⟨μέγα δὲ φρεσὶ θάρσος ἀέξων⟩
ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,
μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος·
ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο.
Τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος·
Ἠθεῖ', ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα·
οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς εἰς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.

ἀλλ' ἄγε δύσεο τεύχε' ἀρήϊα, ὄφρα τάχιστα
δίφρους ἐμπελάσαντες Ἄρηός θ' ἡμέτερόν τε
μαρνώμεσθ', ἐπεὶ οὔτοι ἀτάρβητον Διὸς υἱὸν
οὐδ' Ἰφικλείδην δειδίξεται, ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκείδαο,
οἳ δή σφι σχεδόν εἰσι, λιλαιόμενοι πολέμοιο
φυλόπιδα στήσειν, τά σφιν πολὺ φίλτερα θοίνης.
Ὣς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη,
θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἥρως ὦ Ἰόλαε, διοτρεφές, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ' ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον Ἀρείονα κυανοχαίτην
πάντῃ ἀναστρωφᾶν, καὶ ἀρηγέμεν ὥς κε δύνηαι.
Ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκεν·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,
καλόν, χρύσειον, πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὁππότ' ἔμελλε
τοπρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοΐλην δὲ περὶ στήθεσσι φαρέτρην
καββάλετ' ἐξόπιθεν· πολλοὶ δ' ἔντοσθεν ὀϊστοὶ
ῥιγηλοί, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.
πρόσθεν μὲν θάνατόν τ' εἶχον καὶ δάκρυσι μῦρον,
μέσσοι δὲ ξεστοί, περιμήκεες, αὐτὰρ ὄπισθεν
μόρφνοιο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν.
εἵλετο δ' ὄβριμον ἔγχος ἀκαχμένον αἴθοπι χαλκῷ·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε,
δαιδαλέην, ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,

ἦτ' εἴρυτο κάρη Ἡρακλῆος θείοιο.
 Χερσί γε μὲν σάκος εἷλε παναίολον, οὐδέ τις αὐτὸ
οὔτ' ἔρρηξε βαλὼν οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
πᾶν μὲν γὰρ κύκλῳ κυανῷ λευκῷ τ' ἐλέφαντι
ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ
[λαμπόμενον, κυάνου δὲ διὰ πτύχες ἠλήλαντο.]
ἐν μέσσῳ δὲ δράκοντος ἔην φόβος οὔτι φατειός,
ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς·
τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
δεινῶν, ἀπλήτων, ἐπὶ δὲ βλοσυροῖο μετώπου
δεινὴ ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν,
σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας αἴνυτο φωτῶν,
οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.
[τῶν καὶ ψυχαὶ μὲν χθόνα δύνουσ' Ἄϊδος εἴσω
αὐτῶν, ὀστέα δέ σφι περὶ ῥινοῖο σαπείσης
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.]
 ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο,
ἐν δ' ὅμαδός τε φόβος τ' ἀνδροκτασίη τε δεδήει,
ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ Κὴρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν,
δεινὸν δερκομένη καναχῇσί τε βεβρυχυῖα.
 ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν, οὔτι φατειῶν,
δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν·
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης, τὰ δὲ δαίετο θαυματὰ ἔργα.
στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι·
κυάνεοι κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.

ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων
ἐς σφέας δερκομένων, κοτεόντων θ' ἱεμένων τε.
τῶν καὶ ὁμιληδὸν στίχες ἤϊσαν· οὐδέ νυ τοίγε
οὐδέτεροι τρεέτην· φρῖσσόν γε μὲν αὐχένας ἄμφω.
ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, [ἀπουράμενοι ψυχάς, κατὰ δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζ'· οἱ δ', αὐχένας ἐξεριπόντες,
κείατο] τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσι.
τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην, κοτέοντε μάχεσθαι,
ἀμφότεροι, χλοῦναί τε σύες χαροποί τε λέοντες.
ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα Δρύαντά τε Πειρίθοόν τε
Ὁπλέα τ' Ἐξάδιόν τε Φάληρόν τε Πρόλοχόν τε
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισιν·
ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
ἀμφὶ μέγαν Πετραῖον ἰδ' Ἄσβολον οἰωνιστὴν
Ἄρκτον τ' Οὔρειόν τε μελαγχαίτην τε Μίμαντα
καὶ δύο Πευκείδας, Περιμήδεά τε Δρύαλόν τε,
ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
καί τε συναΐγδην ὡςεὶ ζωοί περ ἐόντες
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.[2]
ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος[3] *οὔλιος Ἄρης*
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι[4] *κελεύων,*
αἵματι φοινικόεις, ὡςεὶ ζωοὺς ἐναρίζων,
δίφρῳ ἐπεμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἕστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,

τῇ ἰκέλη ὡςεί τε μάχην ἐθέλουσα κορύσσειν,
ἔγχος ἔχουσ᾽ ἐνὶ χειρὶ χρυσείην τε τρυφάλειαν,
αἰγίδα τ᾽ ἀμφ᾽ ὤμοις· ἐπὶ δ᾽ ᾤχετο φύλοπιν αἰνήν.
ἐν δ᾽ ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ᾽ ἄρα μέσσῳ
ἱμερόεν κιθάριζε Διὸς καὶ Λητοῦς υἱὸς
χρυσείῃ φόρμιγγι· [θεῶν δ᾽ ἕδος ἁγνὸς Ὄλυμπος·
ἐν δ᾽ ἀγορή, περὶ δ᾽ ὄλβος ἀπείριτος ἐστεφάνωτο
ἀθανάτων ἐν ἀγῶνι·] θεαὶ δ᾽ ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομένης εἰκυῖαι.
ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἂμ μέσον αὐτοῦ
[δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
νηχομένοις ἴκελοι· δοιοὶ δ᾽ ἀναφυσιόωντες]
ἀργύρεοι δελφῖνες ἐφοίτων ἔλλοπας ἰχθῦς.
τῶν δ᾽ ὕπο χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ᾽ ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
ἰχθύσιν ἀμφίβληστρον, ἀπορρίψοντι ἐοικώς.
ἐν δ᾽ ἦν ἠϋκόμου Δανάης τέκος, ἱππότα Περσεύς,
[οὔτ᾽ ἄρ᾽ ἐπιψαύων σάκεος ποσὶν οὔθ᾽ ἑκὰς αὐτοῦ,
θαῦμα μέγα φράσσασθ᾽ ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
τῶς γάρ μιν παλάμαις τεῦξε κλυτὸς Ἀμφιγυήεις]
χρύσεος· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἆορ ἔκειτο
χάλκεον ἐκ τελαμῶνος· ὁ δ᾽ ὥςτε νόημ᾽ ἐποτᾶτο·
πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου,
Γοργοῦς· ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
ἀργυρέη· θύσανοι δὲ κατηωρεῦντο φαεινοί,

χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
κεῖτ' Ἄϊδος κυνέη νυκτὸς ζόφον αἰνὸν ἔχουσα.

αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο,
ἱέμεναι μαπέειν. ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
δοιὼ ἀπῃωρεῦντ' ἐπικυρτώοντε κάρηνα.
λίχμαζον δ' ἄρα τώγε· μένει δ' ἐχάρασσον ὀδόντας
ἄγρια δερκομένω. ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας φόβος· οἱ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην πολεμήϊα τεύχε' ἔχοντες,
τοὶ μὲν ὑπὲρ σφετέρης πόλιος σφετέρων τε τοκήων
λοιγὸν ἀμύνοντες, τοὶ δὲ πραθέειν μεμαῶτες.
πολλοὶ μὲν κέατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
μάρνανθ'· αἱ δὲ γυναῖκες ἐϋδμήτων ἐπὶ πύργων,
χαλκέων, ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειάς,
ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν γῆράς τε μέμαρπον,
ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι
χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον· αἱ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,
δεινωποὶ βλοσυροί τε, δαφοινοί τ' ἄπλητοί τε
δῆριν ἔχον περὶ πιπτόντων· πᾶσαι δ' ἄρ' ἵεντο
αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτόν γε μεμάρποι
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
βάλλ' ὄνυχας μεγάλους, ψυχὴ δ' Ἀϊδόσδε κατῆεν

Τάρταρον ἐς κρυόενθ'. αἳ δὲ φρένας εὖτ' ἀρέσαντο
αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω,
ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι.
[Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἡ μὲν ὑφήσσων
Ἄτροπος οὔτι πέλεν μεγάλη θεός, ἀλλ' ἄρα ἥγε
τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.]
πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο.
δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
πὰρ δ' Ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή,
χλωρή, ἀϋσταλέη, λιμῷ καταπεπτηυῖα,
γουνοπαχής, μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
αἷμ' ἀπελείβετ' ἔραζ'· ἡ δ' ἄπλητον σεσαρυῖα
εἱστήκει, πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
δάκρυσι μυδαλέη. παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν·
χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης
ἤγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει·
τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
χερσὶν ἔνι δμωῶν· ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
πρόσθ' ἔκιον· τῇσιν δὲ χοροὶ παίζοντες ἕποντο.
τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδήν,
[ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.]
αἳ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ,
τοί γε μὲν αὖ γελόωντες ὑπ' αὐλητῆρι ἕκαστος

πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
ἀγλαΐαι δ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον. οἱ δ' ἀροτῆρες
ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
ἐστάλατ'. αὐτὰρ ἔην βαθὺ λήϊον· οἵγε μὲν ἤμων
αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα,
[βριθόμενα σταχύων, ὡςεὶ Δημήτερος ἀκτήν.]
οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιτνον ἀλωήν,
οἱ δ' ἐτρύγων οἴνας δρεπάνας ἐν χερσὶν ἔχοντες,
οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν· [ὑπὸ τρυγητήρων
λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων,
βριθομένων φύλλοισι καὶ ἀργυρέῃς ἑλίκεσσιν.
οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν.] παρὰ δέ σφισιν
ὄρχος
χρύσεος ἦν, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο,
σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι,
[τοί γε μὲν αὖ παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος]
βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
οἵγε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον. οἱ δ' ἐμάχοντο
πύξ τε καὶ ἑλκηδόν. τοὶ δ' ὠκύποδας λαγὸς ᾗρευν
ἄνδρες θηρευταί, καὶ καρχαρόδοντε κύνε πρό,
ἱέμενοι μαπέειν, οἱ δ' ἱέμενοι ὑπαλύξαι·
πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλοις
δῆριν ἔχον καὶ μόχθον. ἐϋπλεκέων δ' ἐπὶ δίφρων
ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους
ῥυτὰ χαλαίνοντες, τὰ δ' ἐπικροτέοντα πέτοντο
ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἀΰτευν.
οἱ μὲν ἄρ' ἀΐδιον δὴ ἔχον πόνον, οὐδέ ποτέ σφιν
νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον.
τοῖσι δὲ καὶ προὔκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,

χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.

ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς·
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. οἱ δὲ κατ' αὐτὸν
κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά τε πολλοὶ
νῆχον ἐπ' ἄκρον ὕδωρ, πὰρ δ' ἰχθύες ἐκλονέοντο.
θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
ἀρσάμενος παλάμῃσι. τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος
δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσα ἔπεα πτερόεντα προσηύδα·
Χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο·
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσιν ἀνάσσων,
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
ἄλλο δέ σοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν·
εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσιν ἴδῃς, ἔνθ' οὐτάμεν ὀξέϊ χαλκῷ·
ἂψ δ' ἀναχάσσασθαι· ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ' ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο.
Ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτης χερσὶν καὶ κῦδος ἔχουσα,
[ἐσσυμένως. τότε δή ῥα διόγνητος Ἰόλαος]

σμερδαλέον θ' ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὁμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ' ἀνασσείσασα· περιστονάχιζε δὲ γαῖα.
τοὶ δ' ἄμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,
Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος ἀϋτῆς.
τῶν ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν
ὀξεῖα χρέμισαν, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
τὸν πρότερος προσέειπε βίη Ἡρακληείη·
Κύκνε πέπον, τί νυ νῶϊν ἐπίσχετον ὠκέας ἵππους,
ἀνδράσιν οἵ τε πόνου καὶ ὀϊζύος ἴδριές εἰμεν;
ἀλλὰ παρὲξ ἔχε δίφρον ἐΰξοον ἠδὲ κελεύθου
εἶκε παρὲξ ἰέναι. Τρηχῖνα δέ τοι παρελαύνω
ἐς Κήϋκα ἄνακτα· ὁ γὰρ δυνάμει τε καὶ αἰδοῖ
Τρηχῖνος προβέβηκε, σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός·
τοῦ γὰρ ὀπυίεις παῖδα Θεμιστονόην κυανῶπιν.
ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρης θανάτοιο τελευτὴν
ἀρκέσει, εἰ δὴ νῶϊ συνοισόμεθα πτολεμίζειν.
ἤδη μέν τί ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
ἔγχεος ἡμετέρου, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντος
ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.
τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ,
οὐταμένου σάκεος, τὸ δὲ τέτρατον ἤλασα μηρόν,
παντὶ μένει σπεύδων, διὰ δὲ μέγα σαρκὸς ἄραξα·
πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
ἔνθα κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη,
χερσὶν ὕφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.
Ὣς ἔφατ'· οὐδ' ἄρα Κύκνος ἐϋμμελίης ἐμενοίνα

τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.
δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
παῖς τε Διὸς μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτος.
ἡνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους·
[τῶν δ' ὕπο σευομένων κανάχιζε πόσ' εὐρεῖα χθών.]
[ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτῶν
ῥίμφα κυλινδομένων, εἷος πεδίονδ' ἀφίκωνται,
ὣς οἵ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.]
πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ' Ἰαωλκός,
Ἄρνη τ' ἠδ' Ἑλίκη Ἄνθειά τε ποιήεσσα
φωνῇ ὕπ' ἀμφοτέρων μεγάλ' ἴαχον· οἵ δ' ἀλαλητῷ
θεσπεσίῳ σύνισαν· μέγα δ' ἔκτυπε μητίετα Ζεύς.
[κὰδ δ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας,
σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί.]
[οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθείς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην,
ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν·
τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.]
[ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
ἄρχεται, ᾧτε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὅτε τε χρόα Σείριος ἄζει,
ἦμος δὴ κέγχροισι πέρι γλῶχες τελέθουσι,

τούςτε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος·
τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.]
[ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντες ἐπὶ σφέας ὁρμήσωσι,
δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίγνετ' ὀδόντων·]
οἵ δ' ὥςτ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχεσθον
αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο,
πίονος, ἥντ' ἐδάμασσε βαλὼν αἰζήϊος ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται[2] ἄλλῃ,
χώρου ἄϊδρις ἐών· οἱ δ' ὀτραλέως[3] ἐνόησαν,
ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
ὣς οἳ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
ἔνθ' ἤτοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
κτεινέμεναι μεμαὼς σάκει ἔμβαλε χάλκεον ἔγχος,
[οὐδ' ἔρρηξεν χαλκόν· ἔρυτο δὲ δῶρα θεοῖο.]
Ἀμφιτρυωνιάδης δέ, βίη Ἡρακληείη,
μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλασ' ἐπικρατέως τ'· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ὅτε πέτρη
ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
[ὣς ἔριπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.]
τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
ὅςτε μάλ' ἐνδυκέως[4] ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅ ττι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·

ἐμ μένεος δ' ἄρα τοῦγε κελαινὸν πίμπλαται ἦτορ·
γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων ποσσὶ γλάφει, οὐδέ τις αὐτὸν
ἔτλη ἐςάντα ἰδὼν σχεδὸν ἐλθέμεν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης, ἀκόρητος ἀϋτῆς,
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὁ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,
μακρὰ δ' ἐπιθρώσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
ὑψηλός· τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
τόσσῃ ὃ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
κεκληγὼς ἐπόρουσεν· ὃ δ' ἐμμαπέως ὑπέδεκτο.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
δεινὰ δ' ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προςηύδα·
Ἄρες, ἐπίσχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους.
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν.
ἀλλ' ἄγε παῦε μάχης, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
Ὣς ἔφατ'· ἀλλ' οὐ πεῖθ' Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελα τεύχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ,
κακτάμεναι μεμαώς· καί ῥ' ἔμβαλε χάλκεον ἔγχος,
σπερχνὸν ἑοῦ παιδὸς κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
δριμὺ δ' Ἄρην ἄχος εἷλεν· ἐρυσσάμενος δ' ἄορ ὀξὺ

ἔσσυτ' ἐφ' Ἡρακλέα κρατερόφρονα· τὸν δ' ἐπιόντα
Ἀμφιτρυωνιάδης, δεινῆς ἀκόρητος ἀϋτῆς,
μηρὸν γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
οὔτασ' ἐπικρατέως· διὰ δὲ μέγα σαρκὸς ἄραξε
δούρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
τῷ δὲ Φόβος καὶ Δεῖμος ἐΰτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγύς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην· ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νίσσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κήϋξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιος κλειτοῦ βασιλῆος
[Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαωλκὸν
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαός,]
τιμῶντες Κήϋκα, φίλον μακάρεσσι θεοῖσι.
τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν Ἄναυρος,
ὄμβρῳ χειμερίῳ πλήθων· τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα κλειτὰς ἑκατόμβας
ὅστις ἄγοι Πυθοῖδε βίῃ σύλασκε δοκεύων.

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

[*Μοῦσαι Πιερίηθεν, ἀοιδῇσι κλείουσαι,*
δεῦτε, Δί' ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι·
ὅντε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε,
ῥητοί τ' ἄρρητοί τε Διὸς μεγάλοιο ἕκητι.
ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει,
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
κλῦθι ἰδὼν ἀΐων τε, δίκῃ δ' ἴθυνε θέμιστας.
~~*τύνη· ἐγὼ δέ κε, Πέρσῃ, ἐτήτυμα μυθησαίμην.*~~]

Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινέσσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔτις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης
ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι πολλὸν ἀμείνω·
ἥτε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἐγείρει.

εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃ σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' Ἔρις ἥδε βροτοῖσι.

Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ,
μηδέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπτεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧτινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν.

τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοι
κτήμασ' ἔπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔστιν
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκαις, αἵτ' ἐκ Διός εἰσιν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δίκασσαι.

Νήπιοι, οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥστε σέ κ' εἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,

ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης·
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐῢς παῖς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοΐλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι·
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
[Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅ ττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτοις δὲ θεοῖς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος, ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην,
καὶ πόθον ἀργαλέον καὶ γυιοβόρους μελεδῶνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείαν ἤνωγε, διάκτορον Ἀργειφόντην.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.]
αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι·

[πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.]
ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
[τεῦξε Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν]
θῆκε θεῶν κῆρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεὺς· μήποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
αὐτὰρ ὃ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.

Πρώην μὲν ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο,
νούσων τ' ἀργαλέων, αἵτ' ἀνδράσι κῆρας ἔδωκαν.
[αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.]
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
[αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.]
ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.

[οὕτως οὔτι πη ἔστι Διὸς νόον ἐξαλέασθαι.]
[Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
εὖ καὶ ἐπισταμένως, (σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν).]

[ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι.]

Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.
οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
ὥςτε θεοὶ δ' ἔζωον ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη, πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν,
[ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.]
αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς
ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων,
[οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντη φοιτῶντες ἐπ' αἶαν,]
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
[ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ·]
ἀλλ' ὅτ' ἀνηβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,

παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε᾽ ἔχοντες
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ᾽ ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ᾽ ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἣ θέμις ἀνθρώποισι κατ᾽ ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται,
δεύτεροι, ἀλλ᾽ ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ᾽, οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον· οἷσιν Ἄρηος
ἔργ᾽ ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ᾽ ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν,
ἄπλητοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
τοῖς δ᾽ ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ᾽ εἰργάζοντο· μέλας δ᾽ οὐκ ἔσκε σίδηρος.
καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ᾽ ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖτις ἔτ᾽ ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ᾽ ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ

τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης,
[τηλοῦ ἀπ' ἀθανάτων· τοῖσιν Κρόνος ἐμβασιλεύει.]
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.
Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας·
[ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.]
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντε ἔπεσσι,
[σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵγε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.]
οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου
οὔτ' ἀγαθοῦ, μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν

ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσί, καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυςκέλαδος, κακόχαρτος ὁμαρτήσει, στυγερώπης.
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν
ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

[Νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω· φρονέουσι καὶ αὐτοῖς.]
ὧδ' ἴρηξ προςέειπεν ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἡ δ' ἐλεόν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως προς μῦθον ἔειπε·
Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·
τῇδ' εἶς ᾗ σ' ἂν ἐγώ περ ἄγω, καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.
[ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται· πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.]
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.

Ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε·
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.

Αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
[τῆς δὲ Δίκης ῥόθος ἑλκομένης ᾗ κ' ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιῇς δὲ δίκῃς κρίνωσι θέμιστας.]
ἣ δ' ἕπεται κλαίουσα πόλιν καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵτε μιν ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.

Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς·
οὐδέ ποτ' ἰθυδίκῃσι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
οὐδ' ἄτη, θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
τοῖσι φέρει μὲν γαῖα πολὺν βίον, οὔρεσι δὲ δρῦς
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα τοκεῦσι·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νίσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.

Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.

Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅστις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.

Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
[οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε]

ἢ τῶνγε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅγε τεῖχος
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι φράζονται ὅσοι σκολιῇσι δίκῃσιν
ἀλλήλους τρίβουσι θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τρὶς γὰρ μυρίοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν.
ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ' ἀνθρώπων ἀδίκων νόον, ὄφρ' ἀποτίσῃ
[δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνωσι δίκας σκολιῶς ἐνέποντες.]
ταῦτα φυλασσόμενοι, βασιλῆες, ἰθύνετε δίκας
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.

SCHUTZENGEL
cf. v. 122

Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας
καί νυ τάδ', αἴ κ' ἐθέλῃσ', ἐπιδέρκεται, οὐδέ ἑ λήθει,
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.

Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον

ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει·
[ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.]

Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι,
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλάθεο πάμπαν.
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται. εἰ γάρ τίς κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
γιγνώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας νήκεστον ἀασθῇ,
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· ὀλίγη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τοπρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.

Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ,
φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ,
αἰδοίη, βιότου δὲ τεὴν πιμπλῇσι καλιήν·
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.

Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὁρμήν,
οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.

Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.

[ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς.]

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον,
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
εἰς ἔργον τρέψας μελετᾷς βίου, ὥς σε κελεύω.

Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
[αἰδώς, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.]

Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.

Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω.

εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλὰ
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ·
ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον
ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.

Ἶσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ
[κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων,]
ὅς τε δι' ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα,
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν·
τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν.

Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὴ σπονδῇς θυέεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ·
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν·
ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.

Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι·
τὸν δὲ μάλιστα καλεῖν, ὅστις σέθεν ἐγγύθι ναίει,
εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένοιτο,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.

Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.

Ἔμμορέ τοι τιμῆς ὅςτ' ἔμμορε γείτονος ἐσθλοῦ.

Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.

Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,
αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴ κε δύνηαι,
ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.

Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτησιν.

Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προςιόντι προςῖμεν·
καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.

Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκεν.

Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.

Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κἂν μέγα δοίῃ.

χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καί τε σμικρὸν ἐόν, τόγ' ἐπάχνωσεν φίλον ἦτορ.

Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

Ὃς δ' ἐπ' ἐόντι φέρει, ὁ δ' ἀλύξεται αἴθοπα λιμόν.

Οὐδὲ τόγ' ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει.

Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν.

Ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηΐζειν ἀπεόντος, ἅ σε φράζεσθαι ἄνωγα.

Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.

[Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.

πίστεις γάρ τοι ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.]

Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
ὃς δὲ γυναιξὶ πέποιθε, πέποιθ' ὅγε φηλήτῃσι.

Μουνογενὴς δὲ πάϊς οἶκον πατρώϊον εἴη
φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι.

Γηραιὸς δὲ θάνοι ἕτερον παῖδ' ἐγκαταλείπων.

Ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.

Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.

Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσιν,
ὧδ' ἔρδειν, καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων.
αἳ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα

κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται ταπρῶτα χαρασσομένοιο σιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντα θέλῃσθα
ἔργα κομίζεσθαι [Δημήτερος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται,] μή πως τὰ μέταξε χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς.
ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω· ἐργάζευ, νήπιε Πέρση,
ἔργα, τάτ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μήποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν.
δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις·
ἀχρεῖος δ' ἔσται ἐπέων νομός. ἀλλά σ' ἄνωγα
φράζεσθαι χρειῶν τε λύσιν λιμοῦ τ' ἀλεωρήν.

Οἶκον μὲν πρώτιστα γυναῖκά τε, βοῦν τ' ἀροτῆρα,
[κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο,]
χρήματα δ' ἐν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τε ἔργον.
μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφιν·
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει.
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

5 am wenigsten von Würmern angefressen. — 6 Zweig, Schößling. —
7 Mörser — 8 Mörserkeule — 9 Schlägel, Hacke, die Erdklöße zu zermalmen. —
10 drei Spannen lang. — 11 Radfelge (ἀψίς ἡ) — 12 zehn Handbreiten lang. —

13 Holz (καλά). —

Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
πολλὸν ἐλαφρότερος· (δὴ γὰρ τότε Σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ·)
τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥρια ἔργα.
ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονά θ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενος οὕτως·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦράν κε τάμοιο.
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ.
πόλλ' ἐπικαμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς,
εἰς οἶκον, κατ' ὄρος διζήμενος ἢ κατ' ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ' ἂν Ἀθηναίης δμῶος ἐν ἐλύματι πήξας,
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆι.
δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν, ἐπεὶ πολὺ λώϊον οὕτω·
εἴ χ' ἕτερον ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες·
δρυὸς ἔλυμα, γύην πρίνου, βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι, τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν,
[ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.]
οὐκ ἂν τώ γ' ἐρίσαντ' ἐν αὔλακι κὰμ μὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
τοῖς δ' ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,

1 in 4 Stücke gebrochen (Mund[...]) — 2 achtkiffig

ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔτι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι καὶ ἐπισπορίην ἀλέασθαι.
κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.

Φράζεσθαι δ', εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης·
ἥτ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας·
[ῥηΐδιον γὰρ ἔπος εἰπεῖν Βόε δὸς καὶ ἅμαξαν·
ῥηΐδιον δ' ἀπανήνασθαι Πάρα δ' ἔργα βόεσσιν.
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἅμαξαν,
νήπιος, οὐδὲ τόγ' οἶδ'· ἑκατὸν δέ τε δούρατ' ἀμάξης,
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήϊα θέσθαι.]

Εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς
αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
[Ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
νειὸς ἀλεξιάρη παίδων εὐκηλήτειρα.]

Εὔχεσθαι δὲ Διὶ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν,
ἀρχόμενος ταπρῶτ' ἀρότου, ὅτ' ἂν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεσάβων. ὁ δὲ τυτθὸς ὄπισθεν
δμῶος ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη,
σπέρμα κατακρύπτων· εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.

ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.
εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
    Εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόῳς χθόνα δῖαν,
ἥμενος ἀμήσεις ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων,
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
[ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.]
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τοπρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν·
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.
[ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιὸν μήθ' ὥριος ὄμβρος.]
    Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρα ἔργων
ἰσχάνει, ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλοι,
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.
πολλὰ δ' ἀεργὸς ἀνήρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.

Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.

Δείκνυε δὲ δμώεσσι, θέρευς ἔτι μέσσου ἐόντος·
„οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.“

Μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα,
τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵτ' ἐπὶ γαῖαν
πνεύσαντος Βορέαο δυςηλεγέες τελέθουσιν,
ὅςτε διὰ Θρῄκης ἱπποτρόφου εὐρέϊ πόντῳ
ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,

τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων.
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει.
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔτι,
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
ἲς ἀνέμου Βορέου· τροχαλὸν δὲ γέροντα τίθησι.
καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥτε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει,
οὔπω ἔργα ἰδυῖα πολυχρύσου Ἀφροδίτης·
εὖτε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
χρισαμένη νυχίη καταλέξεται ἔνδοθι οἴκου,
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει,
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἤθεσι λευγαλέοισιν.
οὐδέ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι·
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται

λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι,
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἶσοι,
οὗτ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
τῷ ἴκελοι φοιτῶσιν, ἀλευόμενοι νίφα λευκήν.

καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω,
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα·
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα·
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
πρωτογόνων δ' ἐρίφων, ὁπότ' ἂν κρύος ὥριον ἔλθῃ,
δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῆφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ·
ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος·
ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις·
ὅστε ἀρυσσάμενος ποταμῶν ἄπο ἀεναόντων,
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι
πυκνὰ Θρηϊκίου Βορέου νέφεα κλονέοντος.
τὸν φθάμενος, ἔργον τελέσας, οἶκόνδε νέεσθαι,
μήποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτά τε μυδαλέον θείῃ, κατά θ' εἵματα δεύσῃ.
ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.

τῆμος τὤμισυ βουσίν, ἐπ᾽ ἀνέρι δὲ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί.
[ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν
ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰςόκεν αὖτις
γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.]

Εὖτ᾽ ἂν δ᾽ ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι᾽ ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ᾽ ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος.
τὸν δὲ μέτ᾽ ὀρθογόη Πανδιονὶς ὦρτο χελιδὼν
ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
τὴν φθάμενος οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον.

Ἀλλ᾽ ὁπότ᾽ ἂν φερέοικος ἀπὸ χθονὸς ἂν φυτὰ βαίνῃ,
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων·
ἀλλ᾽ ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν.
φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ᾽ ἠῶ κοῖτον
ὥρῃ ἐν ἀμήτου, ὅτε τ᾽ ἠέλιος χρόα κάρφει.
τημοῦτος σπεύδειν, καὶ οἴκαδε καρπὸν ἀγινεῖν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη.
ἠὼς γὰρ ἔργοιο τρίτην ἀπομείρεται αἶσαν.
[ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
ἠώς, ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσί τ᾽ ἐπὶ ζυγὰ βουσὶ τίθησιν.]

Ἦμος δὲ σκόλυμός τ᾽ ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ᾽ ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
τῆμος πιόταταί τ᾽ αἶγες καὶ οἶνος ἄριστος,

μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες
εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος· ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε σκιὴ καὶ βίβλινος οἶνος,
μᾶζά τ' ἀμολγαίη, γάλα τ' αἰγῶν σβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον,
ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόσωπον,
κρήνης τ' ἀενάου καὶ ἀπορρύτου, ἥτ' ἀθόλωτος,
τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.

Δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠαρίωνος,
χώρῳ ἐν εὐαέϊ καὶ ἐϋτροχάλῳ ἐν ἀλωῇ.
μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν· αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθι οἴκου,
[θῆτά τ' ἄοικον ποιεῖσθαι, καὶ ἄτεκνον **ἔριθον**
δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·
καὶ **κύνα** καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου·
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται.]
χόρτον δ' ἐςκομίσαι καὶ συρφετόν, ὄφρα τοι εἴη
βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα καὶ βόε λῦσαι.

Εὖτ' ἂν δ' Ὠαρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανόν, Ἀρκτοῦρον δὲ ἴδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρση, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς.
δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας·
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι

δῶρα Διωνύσου πολυγηθέος. αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ' Ὑάδες τε τό τε σθένος Ὠαρίωνος
δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
[ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.]

Εἰ δέ σε ναυτιλίης δυςπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληϊάδες σθένος ὄβριμον Ὠαρίωνος
φεύγουσαι πίπτωσιν ἐς ἠροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
[γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.]
νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐνικάτθεο οἴκῳ,
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰςόκεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι,
ὥσπερ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρση,
πλωΐζεσκ' ἐν νηυσί, βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τεῖδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπών, ἐν νηῒ μελαίνῃ·
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσι.
νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.

[νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι,
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.]
[εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμόν,
βούλεαι δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ' Ἀχαιοὶ
μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.
ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
Χαλκίδα τ' εἰςεπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ
ἆθλ' ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.
τὸν μὲν ἐγὼ Μούσαις Ἑλικωνιάδεσσ' ἀνέθηκα,
ἔνθα με τοπρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων·
ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.]
    Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα,
εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι·
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε·
τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων·
εὔκηλος τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον, φόρτον τ' εὖ πάντα τίθεσθαι,

σπεύδειν δ' ὅ ττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον,
καὶ χειμῶν' ἐπιόντα, Νότοιό τε δεινὰς ἀήτας,
ὅςτ' ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ, ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν. —
ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν.
ἦμος δὴ τοπρῶτον, ὅσοντ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανείη
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα·
ἀργαλέος δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
ἁρπακτός· χαλεπῶς κε φύγοις κακόν· ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὡς ἀγορεύω.
μηδ' ἐνὶ νηυσὶν ἅπαντα βίον κοΐλῃσι τίθεσθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κῦρσαι.
[δεινὸν δ', εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας
ἄξονα καυάξαις, τὰ δὲ φορτί' ἀμαυρωθείη.]
μέτρα φυλάσσεσθαι· **καιρὸς** δ' ἐπὶ πᾶσιν ἄριστος.

Ὡραῖος δὲ **γυναῖκα** τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριήκοντα ἐτέων μάλα πόλλ' ἀπολείπων
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος,
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
παρθενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς.
τὴν δὲ μάλιστα γαμεῖν, ἥτις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφιιδών, μὴ γείτοσι χάρματα γήμῃς.

οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχης· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκεν.

[Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.]

Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δὲ σέ γ' ἄρχει
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τίνυσθαι μεμνημένος· εἰ δέ σέ γ' αὖτις
ἡγεῖτ' ἐς φιλότητα, δίκην δ' ἐθέλησι παρασχεῖν,
δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοθεν ἄλλον
ποιεῖται, σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.

Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον μηδ' ἐσθλῶν νεικητῆρα.

Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

Εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.

Μηδὲ πολυξείνου δαιτὸς δυςπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις δαπάνη τ' ὀλιγίστη.

Μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λειβέμεν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν μηδ' ἄλλοις ἀθανάτοισιν.
οὐ γὰρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.

Μηδ' ἀντ' ἠελίου τετραμμένος ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένος, ἔς τ' ἀνιόντα,
μήτ' ἐν ὁδῷ μήτ' ἐκτός ὁδοῦ προβάδην οὐρήσῃς,
μηδ' ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν·
ἑζόμενος δ' ὅγε θεῖος ἀνήρ, πεπνυμένα εἰδώς,
ἢ ὅγε πρός τοῖχον πελάσας εὐερκέος αὐλῆς.

Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθι οἴκου
ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
μηδ' ἀπὸ δυςφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.

Μηδέ ποτ' ἀενάων ποταμῶν καλλίρροον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.

Ὃς ποταμὸν διαβῇ, κακότητ' ἰδὲ χεῖρας ἄνιπτος,
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἄλγεα δῶκαν ὀπίσσω.

Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.

Μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.

Μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη.

Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
ἔσθειν μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔπι ποινή.

Μηδ' ἐπ' ἀκινήτοισι καθιζέμεν, οὐ γὰρ ἄμεινον,
[παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ,
μηδὲ δυωδεκάμηνον· ἶσον καὶ τοῦτο τέτυκται.]
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀΐδηλα· θεός τοι καὶ τὰ νεμεσσᾷ.

Μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔτοι λώϊόν ἐστιν.

Ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
φήμη γάρ τε κακὴ πέλεται κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίζουσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν
πεφραδέμεν δμώεσσι τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν ἠδ' ἁρμαλιὴν δατέασθαι,
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.

Αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς πάρα μητιόεντος.
πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ·
τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ·

ὀγδοάτη τ' ἐνάτη τε· (δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι·)
ἑνδεκάτη τε δυωδεκάτη τ', ἄμφω γε μὲν ἐσθλαί,
ἠμὲν ὄϊς πείκειν, ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνή, προβάλοιτό τε ἔργον.

Μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.

Ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν,
ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ' οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.

Οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃσι γενέσθαι
ἅρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων,
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον ἤπιον ἦμαρ·
ἐσθλὴ δ' ἀνδρογόνος· φιλέει δέ τε κέρτομα βάζειν,
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.

Μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.

Εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἔσται.

Ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, [κούρῃ δέ τε τετρὰς
μέσση. τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν ἐπὶ χεῖρα τιθείς.] πεφύλαξο δὲ θυμῷ

τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
[ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.]

Ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν.
[οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.]

Πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί.
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν
Ὅρκον τινύμενον, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.

Μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπτεύοντας ἐϋτροχάλῳ ἐν ἀλωῇ
βάλλειν. ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα,
νήϊά τε ξύλα πολλά, τάτ' ἄρματα νηυσὶ πέλονται.

Τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.

Εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λωΐον ἦμαρ.
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥδε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔποτε πάγκακον ἦμαρ.

Παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
[ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,]
νῆα πολυκλήϊδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσι.
τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέσσῃ· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γεινομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.

Αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ,

αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.

Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δὲ ἴσασιν.

[ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ·
τάων εὐδαίμων τε καὶ ὄλβιος ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.]

INDEX NOMINUM.

PINDARI CARMINA

CUM

DEPERDITORUM FRAGMENTIS SELECTIS.

ITERUM RECOGNOVIT

W. CHRIST.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCVI.

14 Olympia
12 Pythia
11 Nemea
8 Isthmia

45 Odes

326 small fragments

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO

EDITIONIS RECOGNITAE.

In editione minore Pindari carminum recognoscenda toti a maiore quae his ipsis diebus ex officina Teubneriana prodiit editione pependimus. Qua de causa si quis quas rationes in emendanda ac supplenda hac editione Bibliothecae Teubnerianae secuti simus accuratius cognoscere velit, eum ad Prolegomena maioris editionis delegamus. Hic paucis lineamentis adumbrare visum est, quibus rebus secundae hae curae a prioribus discrepent. Atque primum quidem apparatum criticum ita auximus, ut quae variae lectiones exstarent non compendiosa nota significaremus, sed quorum quaeque codicum fide niteretur diligenter referremus. Deinde fragmenta quo quodque loco traditum esset adnotavimus eorumque numerum receptis etiam iis, quibus non ipsa verba poetae sed sola versuum argumenta relata sunt, non mediocriter locupletavimus. Porro usui historicorum eorumque lectorum, qui non tam arte magnifica poetae animum delectare quam res ab eo tractatas cognoscere velint, ut consuleremus, et indicem nominum propriorum Pindari adiecimus et praeterquam quod carminibus Pindaricos fastos una cum vitis eius subtexuimus, in titulis singularum odarum, quo quaeque anno composita esse videretur, accurate quantum fieri potuit indicavimus. Denique in schematis notisque metricis nonnulla mutanda esse arbitrati sumus. Atque

syllabas ictu feriendas quod non iam in hac editione punctis notavimus vereor ut omnibus placeat; et profecto si dactylo-epitriticis numeris omnia carmina composita essent, nihil equidem mutassem; sed in colis logaoedicis de sede primarii ictus iudicia virorum musicorum adeo vacillant, ut non iam certis signis in rebus incertis uti voluerimus. Simili vero modo ne inconstantiae crimen incurram metuo, quod cum in hac editione syllabarum longarum trium pluriumve temporum notas adhibuissem, tamen solis in iis carminibus, quae a gradientibus choreutis cantata esse exploratum esset, tripodias ad ambitum binarum dipodiarum producere ausi simus. Sed in his spinis metricis aeque atque in oratione poetae coniecturis sollicitanda ut neque rationis lucem neque consilii audaciam fugimus, ita magis temeritatis quam timiditatis crimen vitandum esse duximus.

ΕΠΙΝΙΚΟΙ

ΟΛΥΜΠΙΟΝΙΚΑΙΣ.

Α΄.

+ Hiero I 478–67

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩ

ΚΕΛΗΤΙ Ol. 77 = 472 a. Ch.

Strophae.

∪ ⏗ –∪ ∪ ⏗ ∪ – | ⏗ ∪ –∪ ∪ ⏗ ⏓ |
∪ ∪∪ ⏗ ∪ – ⏗∪ ∪ –∪ ∪ ⏗∪ ∪ – ⏓ |
⏗ ∪ – ∪ ⏗ ∪ ⏓ |
⏗ ∪ –∪ ∪ ⏗ ⏓ |
⏗ ∪ – ∪ ⏗ ∪ ⏓ |
⏗ ∪ – ∪ ∪∪ | ∪ – ∪ ⏗ ∪ – ∪ ⏗∪ | ∪ – ⏗ ∪ – ∪ ⏓ |
⏗ ∪ – ∪ ⏗ ∪ – ∪ | ∪ ∪ – ⏗ ∪ ⏓ |
∪ ∪∪ ∪ ∪∪ ∪ ⏗ ∪ – ∪ ⏗ ∪ ⏓ |
∪ ∪∪ ⏗ ∪ – ∪∪ ∪ ⏓ |
∪ – ⏗ ∪ – ∪ – ∪∪ ∪ ⏓ |
∪ – ∪∪ ∪ – ∪ ⏗ ∪ ⏓ |

Schema metr.: lineis rectis colometria vetus codicum indicata est, virgulis caesura in omnibus strophis observata, linea obliqua in textu thesis pedis oppressa —

Epodi.

⏑ – ⏑́ ⏑ – ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ – ⏑́ | ⏑ – ⏑ ⏓
⏑ – ⏑́ ⏑ ⏑ – ⏑́ | ⏑ ⏑⏑ ⏑ ⏑́ ⏑ ⏓
⏑́ ⏑ – ⏑ ⏑́ | ⏑ – ⏑ ⏑ – – ⏑ ⏓
⏑ – ⏑́ | ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑ | ⏑́ ⏓
⏑⏑ ⏑́ ⏑ – ⏑ ⏑ | – ⏑́ ⏑ – ⏑ ⏓ |
⏑́ – ⏑ ⏑ ⏑́ ⏑ | – ⏑́ ⏑ – ⏑ ⏓
⏑ ⏑ ⏑ ⏑́ ⏑ ⏑ – ⏑́ ⏑ ⏓ |
⏑ – ⏑́ ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ – | ⏑́ ⏑ ⏑ – ⏑ ⏑́ – |

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ Στρ. α'.
χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει
νυκτὶ μεγάνορος ἔξοχα πλούτου·
εἰ δ' ἄεθλα γαρύειν
ἔλδεαι, φίλον ἦτορ,
μηκέτ' ἀελίου σκόπει
ἄλλο θαλπνότερον ἐν ἁμέ-
ρᾳ φαεννὸν ἄστρον ἐρή-μας δι' αἰθέρος,
μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐ-δάσομεν·
ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνος ἑστίαν,

θεμιστεῖον ὃς ἀμφέπει Ἀντ. α'.
σκᾶπτον ἐν πολυμήλῳ

LECTIONES VARIAE notatae sunt codicum *A* = Ambros. C 222, continet O. I—XII, *B* = Vatic. 1312, cont. O. I — I. VIII cum lacunis O. I 1—22. 47—68. V 9—24. P. I 1—II 56. I. V 58—VI 24. VIII 19—38. 64—77. *C* = Paris. 2774, cont. O. I — P. V 51, *D* = Medic. 32, 52, cont. O. I — fr. 1 — 3. *γαρύεν ACD* — 10. *ἱκομένους AD* et schol.: *ἱκόμενοι C*, *ἱκομένοις Byz.* — 12. *πολυμήλῳ* Thomas: *πολυμάλῳ ACD* —

Σικελίᾳ, δρέπων
μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν,
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν.
ἀλλὰ Δωρίαν ἀπὸ φόρ-μιγγα πασσάλου
λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενί- κου χάρις
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,
ὅτε παρ' Ἀλφεῷ σύτο δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

Συρακόσιον ἱπποχάρ- *Ἐπ. α'.*
μαν βασιλῆα. λάμ-πει δέ ϝοι κλέος
ἐν εὐάνορι Λυ-
δοῦ Πέλοπος ἀποικίᾳ·
τοῦ μεγασθενὴς ἐράσσατο γαι- άοχος
Ποσειδᾶν, ἐπεί
νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ
ἐλέφαντι φαίδιμον ὦ-μον κεκαδμένον.
ἦ θαυματὰ πολλὰ καί-πού τι καὶ βροτῶν
φάτις ὑπὲρ τὸν ἀλα-θῆ λόγον·
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις
ἐξαπατῶντι μῦθοι.

---

23. *συρακόσιον* v. l. schol.: *συρακουσίων ABC*, *συρακοσίων D* — *ἱπποχ.* lemma *B*: *ἱππιοχ. ABCD* — 24. *ἐν AB*, om. *CD*, *παρ' Byz.* — *εὐάνορος* $DA^s C^s$ — *ἐποικίᾳ* v. l. schol. — 26. *ἔξελε* Mosch.: *ἐξεῖλε ABCD* — 28. *τι καὶ*: *καὶ* (omisso *τι*) *B* — 29. *φάτις ABCD*: *φρένας Byz.*, *φάτιν* Boeckh. —

Χάρις δ', ἅπερ ἅπαντα τεύ- Στρ. β'.
χει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τι-
μὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις.
ἁμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς
ἀμφὶ δαιμόνων καλά· μεί-ων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι,
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι

δαμέντα φρένας ἱμέρῳ, Ἀντ. β'.
χρυσέαισιν ἀν' ἵπποις·
ὕπατον εὐρυτί-
μου ποτὶ δῶμα Διὸς μεταβᾶσαι·
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ
ματρὶ πολλὰ μαιόμενοι φῶτες ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι σε πυρὶ ζέοισαν εἰς ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,

---

31. ἅτεπερ *D* — 35. μάρτυροι *D* — σαφέστατοι coni. Hecker coll. *O* VI 20 — 42. ἀν' *AB*: κάν *CD*, τ' ἀν' coni. Schmid — 48. φθονερῶν τε *C* — 49. σε: τε codd. — εἰς ex schol. Mommsen: ἐπ' *ACD* ἀμφ' Mosch. —

τραπέζαισί τ' ἀμφιδεύματα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

ἐμοὶ δ' ἄπορα γαστρίμαρ- 'Επ. β'.
γον μακάρων τιν' εἰ-πεῖν. ἀφίσταμαι.
ἀκέρδεια λέλογ-
χεν θαμινὰ κακαγόρους.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμ-που σκοποὶ
ἐτίμασαν, ἦν
Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσ-θη, κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον, ἅν-ϝοι πατὴρ ὕπερ
κρέμασε καρτερὸν αὐ-τῷ λίθον,
τὸν αἰεὶ μενοι-νῶν κεφαλᾶς βαλεῖν
εὐφροσύνας ἀλᾶται.

ἔχει δ' ἀπάλαμον βίον Στρ. γ'.
τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρ-
τον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷς νιν ἄφθιτον
θέσσαν. εἰ δὲ θεὸν ἀνήρ τις
ἔλπεται λελαθέμεν ἔρ-δων, ἁμαρτάνει.

---

51. τ' om. *D* — ἀμφιδεύματα V^{ac}: ἀμφιδεύτατα *ACDE*, ἀμφίδευτα v. l. schol., ἀμφίδευρα i. e. ἀμφὶ δεύτερα *Athen.* 641 c — 53. ἄπορα *Byz.*: ἄπορον *ACD* — 54. κακαγόρους C^1D: κακαγόρος AC^2 — 58. ἅν coni. Hermann: τάν *ACD* — 61. ἀπάλαμον *Byz.*: ἀπάλαμνον *ACD* — 63. οἷς νιν coni. M. Schmidt: οἷσιν *AD*, οἷς *C* — 66. θέσσαν *Byz.*: θέσαν αὐτὸν *ACD*, θέν νιν Mommsen — λελαθέμεν coni. Mommsen: λαθέμεν *AC*, ληθέμεναι *D*,

τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί-ϝοι πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον,

Πισάτα παρὰ πατρὸς εὔ- 'Αντ. γ'.
δοξον Ἱπποδάμειαν
σχεθέμεν. ἐγγὺς ἐλ-
θὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· Φίλια δῶρα
Κυπρίας ἄγ' εἴ τι, Ποσεί-δαον, ἐς χάριν
τέλλεται, πέδασον ἔγχος Οἰνομάου-χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον·
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις
ματῆρας ἀναβάλλεται γάμον

θυγατρός. ὁ μέγας δὲ κίν- 'Επ. γ'.
δυνος ἄναλκιν οὐ- φῶτα λαμβάνει.
θανεῖν δ' οἷσιν ἀνάγ-
κα, τί κέ τις ἀνώνυμον

τι λασέμεν Byz.; fort. *τι ϝέλπ. λελαθέμεν* — 67. *οἱ* quod in vett. codd. post *τοὔνεκα* legitur, post *ἀθάνατοι* transpos. Tricl. — 69. *δ'* om. C^1 — 73. *ἐγγὺς* Bergk: *ἐγγὺς δ'* *ABCD* et schol., *ἄγχι δ'* *Byz.* — 75. *εὐτρίαιναν Byz.*: *εὐρυτρίαιναν* *ABCD* — 77. *εἴ τοι* *C* — 78. *ἔγχος*: *ἔντος* Ammonius — 80. *αὖλιν* *C* — 82. *ματῆρας* coni. Bergk: *μναστῆρας* (*μνηστ.* *D*) *ABCD*, *ἐρῶντας* *Byz.* et Philostr. imag. I 30 — 84. *τί* B^2C^2D et schol.: *τὰ* AB^1C^1 —

γῆρας ἐν σκότῳ καθήμενος ἕ-ψοι μάταν,
ἁπάντων καλῶν
ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶ-ξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀκράν-τοις ἐφάψατο
ἔπεσι. τὸν μὲν ἀγάλ-λων θεὸς
ἔδωκεν δίφρον-τε χρύσεον πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

ἕλεν δ' Οἰνομάου βίαν· *Στρ. δ'.*
παρθένον τε σύνευνον·
ἃ τέκε λαγέτας
ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πο-
λυξενωτάτῳ παρὰ βω-μῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰ- *Ἀντ. δ'.*
εἰ παράμερον ἐσλὸν
ὕπατον ἔρχεται
παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι

---

90. *τε* om. *C* — 92. *ἃ τέκε ABCD*: *τέκε τε* vel *τέκε δὲ* *Byz.* — *μεμαότας ABCD* et schol.: *μεμαλότας Byz.* — 99. *ἀκμαί*: *ἀκμά A* — 100. *ἀμφιβόητον A* — 102. *γ'* om. *CD* — 103. *βροτῷ* D^2: *βροτῶν* $ABCD^1$ — *στεφανῶται B* et glossa

κεῖνον ἱππείῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε
ϝίδριν, ἀλλὰ καὶ δύναμιν κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμ-νων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

σὺν ἅρματι θοῷ κλεΐ- 'Επ. δ'.
ξειν, ἐπίκουρον εὑ- ρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλ-
θὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλ-κᾷ τρέφει.
ἐπ' ἄλλοισι δ' ἄλ-
λοι μεγάλοι· τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπ-ταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑ-ψοῦ χρόνον πατεῖν,
ἐμέ τε τοσσάδε νι-καφόροις
ὁμιλεῖν, πρόφαν-τον σοφίᾳ καθ' Ἕλ-
λανας ἐόντα παντᾷ.

---

in *A* — 107. *μή τιν'*: *μήτι γ' D* — *ἀλλὰ καὶ* coni. Hermann: *ἅμα καὶ ABCD*, *ἄλλον ἢ* Mosch. — *καιριώτερον A* — 110. *τωὐτὸ* Goram — *κῦδος C* — 112. *γλυκερωτέραν D* — 113. *κλεΐξειν A*(?)*C*: *κλεΐζειν BD* — 115. *ἀλκὰν D* — 116. *ἐπ'* ex schol. *Byz.*: *ἐπ'* om. *ABCD* — fort. *ἄλλοισιν ἄλλοι* sine *δέ* — 118. *τοῦτον*: *λοιπὸν* coni. Herwerden — *ὑψοῖς D*.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩͺ

ΑΡΜΑΤΙ Ol. 76 = 476 a. Ch.

Strophae.

⏑ –́ ⏑ – –́ ⏑ – ⏓ |
⏑ ⏖ –́ ⏑ – –́ ⏑ | ⏖ –́ ⏑ ⏖ –́ ⏑ ⏓ |
– –́ ⏑ – –́ ⏑ ⏑ | ⏑ –́ ⏑ ⏖̄ –́ –́ | ⏑ – ⏖́ ⏑ ⏓ |
–́ ⏑ – ⏖́ ⏑ ⏓ |
– –́ ⏑ ⏖ –́ ⏑ – | ⏖́ ⏑ – –́ ⏑ ⏓ |
⏑ – –́ ⏑ ⏖ –́ | ⏑ ⏖̄ –́ ⏑ ⏓ |
⏑ –́ – ⏑ –́ – |
– –́ ⏑ – ⏖́ ⏑ – | ⏑ –́ ⏑ –⏑ ⏑ ⏓ |

Epodi.

– –́ ⏑ – –́ ⏑ ⏖̄ –́ ⏑ ⏓ |
–́ ⏑ – ⏑ – ⏖́ ⏑ – | ⏑ – –́ ⏑ – ⏓ |
⏖́ ⏑ – –́ ⏑ – | ⏑ – ⏖́ ⏑ – –́ ⏑ ⏓ |
– –́ ⏑ – –́ ⏑ ⏖̄ –́ ⏑ ⏖ –́ ⏓ |
⏑̄ –́ ⏑ ⏖ –́ ⏑ – | –́ ⏑ – ⏓
⏑ –́ ⏑ – ⏑ –́ ⏓ |

Schema metr.: numeri uncinis inclusi sunt editionis Boeckhianae secundae —

Ἀναξιφόρμιγγες ὕμνοι, Στρ. α'.
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἦτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔσ-
τασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπιν δίκαιον ξένων,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

καμόντες οἳ πολλὰ θυμῷ Ἀντ. α'.
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰὼν δ' ἔφεπε μόρσιμος, πλοῦ-
τόν τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων Ἐπ. α'.
ἐν δίκᾳ τε καὶ
παρὰ δίκαν ἀποί- ητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ δύναι-
το θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.

---

2. τίνα δ' ἡρ *A* — τίν' ἄνδρα *CD* — 4. ἀκροθίνια *C* — 5. δὲ om. *A* — νικαφόροις *C*[1] — 6. ὄπιν δικ. ξένων coni. Hermann: ὀπὶ δικ. ξένον codd. — 8. ὀρθόπτολιν *AD* — 11. δ' ἔφ. *ACD*: τ' ἔφ. *B* — μόρσιμος ἐπ' ὄλβον coni. Heyne, μοιρίδιος ὄλβον Schwickert — 18. τε om. *C* — ἂν om. *A* —

ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

ὅταν θεοῦ Μοῖρα πέμπῃ Στρ. β'.
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πέν-
θος δ' ἔπιτνεν βαρὺ·
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
δέ νιν Παλλὰς αἰεὶ
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ Ἀντ. β'.
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤ-
τοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἡσύχιμον ἁμέραν πότερα, παῖδ' ἀελίου,
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν·
ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώιον Ἐπ. β'.
τῶνδ' ἔχει τὸν εὔ-
φρονα πότμον, θεόρ-τῳ σὺν ὄλβῳ·

---

23. *πέμψῃ A* — 24. *δ' ὁ λόγος* Hartung — 25. *πάθον A* — *δ' ἔπιτνεν* Hermann: *δὲ πιτνεῖ* codd. — 28. *φιλέοντι δὲ μοῖσαι* (*μοῦσαι A*) post *ἀεὶ* addunt *ABCD*, eiec. Aristophanes grammaticus — 30. ante *μάλα* interpunxit Bergk — 33. *βροτῷ* coni. Naber — *γε* om. *B* — 34. *πεῖρας Byz.*: *πέρας ABCD* — 35. *πότερα* coni. Herwerden: *ὁπότε* codd. et schol. — 37. *δ' BCD*: *τ' A* — 40. *τόνδ'* C^1 —

ἐπί τι καὶ πῆμ' ἄγει παλιν-
τράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε Λᾶον μόριμος υἱὸς
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν
παλαίφατον τέλεσσεν.

ἰδοῖσα δ' ὀξεῖ' Ἐριννὺς — Στρ. γ'.
ἔπεφνέ Ϝοι σὺν ἀλλᾱλοφονίᾳ γένος ἀρήιον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνεί-
κει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει
τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς — Ἀντ. γ'.
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίπ-
πων δυωδεκαδρόμων
ἄγαγον. τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος
φέρει τῶν τε καὶ τῶν
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,

41. *ἄλλος χρόνος* A^1 — 42. *μόριμος* Tricl.: *μόρσιμος ABCD*, utrumque agnoscunt schol. — 45. *ἐριννὺς ABCD* — 46. *ἔπεφνε* Tricl.: *πέφνε* (*πέφνεν A*) *ABCD* — 47. *νέων* coni. Herwerden — 49. *Ἀδραστειδ. ABCD* — *δόμοιο A* — 50. *ἔχοντα* Aristarchus (?) et E^2: *ἔχοντι* $ABCDE^1$, quam lectionem Didymus probavit puncto post *ῥίζαν* posito — 52. *λυρᾶν τυγχ.* (omisso *τε*) *D* — 57. *παραλ. δυσφρ.* Tricl.: *δυσφρ. παραλ. ABCD* — *δυσφρονᾶν* coni. Dindorf: *δυσφροσύναν ABCD* — 59. *τε*: *δε A* —

ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ᾿Επ. γ΄.
ἀνδρὶ φέγγος· εἴ
γέ νιν ἔχων τις οἶδεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐνθάδ᾿ αὔ-
τις ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ᾿ ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

ἴσ᾿ ἐν δὲ νύκτεσσιν αἰεί, Στρ. δ΄.
ἴσα δ᾿ ἐν ἁμέραις ἅλιον ἔχοντες ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσ-
σοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν οἵτινες ἔχαιρον εὐορκίαις
ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ᾿ ἀπροσόρατον ὀκχέοντι πόνον.

ὅσοι δ᾿ ἐτόλμασαν ἐστρὶς ᾿Αντ. δ΄.
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου
τύρσιν· ἔνθα μακάρων

62. εἴ γε coni. Boeckh; εἰ δὲ codd., εὖτε Hermann, εὖ δέ νιν ἔχων τις οἴσει Herwerden — 63. αὖτις coni. Rauchenstein: αὐτίκ᾿ codd. et schol. — 64. τᾷ διὸς C — 66. ἐχθρὰ A^{ac} — ἀνάγκα A et schol. — 67. ἴσαις δὲ νύκτ. (ἴσαις δὲ ἐν νυκτ. B) . . . ἴσαις δ᾿ ἐν ἁμ. codd. vett. et schol., ἴσ᾿ ἐν δὲ . . . ἴσα δ᾿ ἐν ἁμ. coni. Schwickert — 69. δέκονται A: δέρκονται BCD, νέμονται Byz. — χαράσσοντες coni. Naber — ἀλκᾷ B; ἀλκᾷ χερῶν Mosch. — 71. κεινὰν Mosch.: κενεὰν ABCD — ταμίοις B, τίμιοι coni. Thiersch; παρὰ τιμαόροις Hartung — 74. τοῖς δ᾿ scholia cum lemmate cod. A — ἀπροσόρατον ABD: ἀπροσούρατον C, ἀπροόρατον O^1 — ἐκχέοντι A — 76. ἑκάτερθε C^1 — ἐχέμεν C — 77. ἔτειλαν Tricl. et schol.: ἔστειλαν ABCD

νᾶσος ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κροτάφους

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος, 'Επ. δ'.
ὃν πατὴρ ἔχει
μέγας ἑτοῖμον αὐ-τῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας ὑπέρ-τατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας Στρ. ε'.
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγ-
κῶνος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ ϝειδὼς φυᾷ·
μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον

78. νᾶσος Tricl. et paraphr.: νᾶσον ABCD — 79. περιπνέοισαν B — 82. κροτάφους coni. Karsten: στεφάνους ABC^1D, στεφάνοις C^2Byz., κεφαλάς coni. Pauw — 83. βουλαῖς ἐν ὀρθαῖσι AB: βουλαῖσιν ὀρθαῖσι C, βουλαῖς ὀρθαῖσι D — 84. μέγας coni. Pauw: γᾶς (γῆς AC^2) ABCD, Κρόνος Tricl., χθονὸς Mommsen, Διὸς Mommsen[2], ὅν τε Γᾶς ἔχει πάϊς ipse tentaveram — 85. πόσιος Aristarchus — ὑπέρτατον Tricl.: ὕπατον ABCD — ἐχοίσας παῖς θρόνον ABCD, παῖς eiec. Tricl. — 89. ἕκτορα σφάλε A — 90. εὔμαχον A — 96. γαρύετον codd. et schol.: γαρύεται coni. Mommsen —

Διὸς πρὸς ὄρνιχα θεῖον. Ἀντ. ε΄.
ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν
(90) ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀισ-
τοὺς ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν γε ϝετέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν ἀφθονέστερον τε χέρα

Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος Ἐπ. ε΄.
(96) οὐ δίκᾳ συναν-
τόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων κρύφον
τιθέμεν ἐσλῶν καλοῖς
ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,
(99) καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

---

101. αὐδάσομεν B^1 — ὅρκιον *C* — 102. γ᾽: τ᾽ C^{ac} — 104. τε πραπ. *A* — 107. κρύφον Aristarchus: κρύφιον *ABCD* — τιθέμεν coni. Hermann: τε θέμεν *ABCD* — ἐσλῶν καλοῖς Aristarchus: ἐσλὸν κακοῖς *ABCD* — 108. περιφεύγει *A* — 109. κἀκεῖνος *ABCD*.

ΟΛΥΜΠ. Γ′.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝῼ

ARMATI Ol. 76 = 476 a. Ch.

ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

Strophae.

∸ ⏖ – ⏖ – – ∸ ⏑ – | – ∸ ⏖ – ⏖ – |
– ∸ ⏖ – ⏖ – – ∸ ⏑ ⏓ |
– ∸ ⏖ – ⏖ – –, | ∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓ |
– ∸ ⏑ – –, | ∸ ⏑ – – ∸ ⏑ – – | ∸ ⏖ – ⏖ – – ∸ ⏑ ⏓ |
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – ⏓ |

Epodi.

∸ ⏑ – ⏓ ∸ ⏑ – – | ∸ ⏖ – ⏖ – |
∸ ⏑ – – ∸ ⏖ – ⏖ – | – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ –, – | ∸ ⏖ – ⏖ – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ –, – ∸ ⏑ – ⏓, | ∸ ⏖ – ⏖ ⏓
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – |

Στρ α′.

Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντο-πόδων

ἵππων ἄωτον. Μοῖσα δ' οὕτω μοι παρεσταίη νεοσί-
γαλον εὑρόντι τρόπον·
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

Ἀντ. α'.

ἀγλαόκωμον. ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι στέ-
φανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε
θέσιν·
Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως, ἅ τε Πίσα
με γεγωνεῖν, τᾶς ἄπο
θεόμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,

Ἐπ. α'.

ᾧ τινι κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας,
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας· τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,

Στρ. β'.

δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ·
πιστὰ φρονέων Διὸς αἴτει πανδόκῳ
ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στεφανόν
τ' ἀρετᾶν.

---

4. *μοῖσαι C* — *μοι παρεσταίη* coni. Naber: *ποι* (*τοι D*) *παρέστα* (*παρέσται D*) *μοι ABCD* — 9. *παιδὶ*: *πὰρ παιδὶ B*[1] — *πρεπόντως*: *Θήρωνος B* — *με γεγωνεῖν* codd. et schol.: *ἓ γεγωνεῖν* coni. Hartung, *με γεγωνεῖ* coni. Pauw — 10. *θεόμοροι P*: *θεόμοιροι ABCD* — 13. *βάλλη D* — 14. *σκιερᾶν A* — *Ἀμφιτρυωνιάδας Byz.*: *Ἀμφιτρυωνίδας ABCD* — 15. *οὐλυμπ.* Mosch.: *ὀλυμπ. ABCD*, — 17. *αἴτει* $B^{pc}CD^{s}$: *αἰτεῖ AB*[1], *ἔτει D* — 18. *ἄλσει*: *Ἄλτει* coni. Koene — *σκιερόν CD* —

ἤδη γὰρ αὐτῷ πατρὶ μὲν βωμῶν ἁγισθέντων διχό-
μηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα·

Ἀντ. β'.

καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρο-
νίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν
αὐγαῖς ἀελίου.
δὴ τότ' ἐς γαῖαν πόρευεν θυμὸς ὁρμᾷ

Ἐπ. β'.

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμ-
πτων μυχῶν,
εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα
ἀντιθεῖσ' Ὀρθωσία ἔγραψεν ἱεράν.

Στρ. γ'.

τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν
Βορέα
ψυχροῦ. τόθι δένδρεα θάμβαινε σταθείς.

---

19. αὐτῷ *B*: αὐτῶ *ACD*, αὐτοῦ πατρὸς C^s, αὐτῷ et αὐτοῦ schol. — 21. μεγάλαν *A* — 23. δένδρ' *D* — 25. πορεύεν *A*: πορεύειν *BCD* — ὁρμᾷ: ὥρμα *A*, ὥρμαιν' *BCD*, πόρευ' ἔνθυμος ὁρμά coni. M. Schmidt — 26. Ἰστρίαν νιν *ABCD*: Ἰστρία νιν Aristarchus interpunctione in fine antistrophae posita — 29. χρυσεόκ. *A* — fort. ἄξειν — 30. Ὀρθωσίας coni. Ahrens — 31. ἴδε C^{ac} *D*: εἶδε *AB*C^{pc} — κἀκείν. *ABCD* — πνοιαῖς *ABCD*: πνοιᾶς ed. Rom.

τῶν νιν γλυκὺς ἵμερος ἔσχεν· δωδεκάγναμπτον περὶ
τέρμα δρόμου
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος
ἀντιθέοισιν νίσσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

Ἀντ. γ.

τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα
νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πὰρ θυμὸς ὀτρύνει φάμεν
Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος, εὐίππων διδόντων Τυνδαρι-
δᾶν, ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

Ἐπ. γ'.

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοι-
έστατον,
νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ' ἐστὶ σοφοῖς
ἄβατον
κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.

---

33. *περὶ* om. C^{ac} — 34. *εἰς* *A* — *νίσεται* *ABCD* — 35. *διδύμνοις* coni. Hermann: *διδύμοις* *A*, *διδύμοισι* *BCD* — 36. *ἐπέτρεπεν* *CD* — 37. *ῥιψαρμάτου* schol. — 38. *πὰρ* coni. Boeckh: *πᾷ* (*πα* $A^{pc}D$) *ABCD* et schol., *καὶ* coni. Schroeder — 39. *κῦδος γ'* *A* — 40. *ξεν.* *ABCD* — 42. *αἰδοιέστατος* *A* — 43. *γε* *BC*: *δὲ* *AD* — 45. *μιν* (*νιν* C^1) C^1D: *μὴν* *A* (c. glossa *δή*) BC^2, *μὴ* C^3 — *κεῖνος* D^{ac} et v. l. schol.; *κεινὸν οἶμον* coni. Herwerden. —

ΟΛΥΜΠ. Δ′.

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙῼ

ΑΠΗΝῌ Ol. 82 = 452 a. Ch.

Strophae.

ω ∸ ⏑ –⏑ ⏑ ∸ –|⏑ ⏑ ∸⏑ ⏑ –,| ∸ ⏑ – ⏑ ∸ ⏓|
⏑ ⏑ –⏑ ⏑ ∸ –⏑ ⏑ ∸ –|⏑ ∸⏑ ⏑ – ⏑ ∸ ⏓|
∸ –⏑ ⏑ ∸ –⏑ ⏑ ∸ –|
∸ – ∸ – ∸ –
⏑ ∸ ⏑¦– ⏑ ∸⏑ ⏑ –¦⏑ ∸ ⏑ – ⏑ ∸ ⏓|
∸ – ⏑ ∸⏑ ⏑ – ∸ ⏑ –|
∸ ⏑ –⏑ ⏑ ∸ ω ⏑ ∸¦⏑ ⏑ –
∸ – ⏑ ∸ ⏑ ⏓|
∸ –⏑ ⏑ ∸ –|
⏒ ∸,⏑ ⏑ – ⏑ ∸ ⏑ – ⏑ ∸ ⏓|

Epodi.

– ∸⏑ ⏑ – ⏑ ∸ ⏓|
∸⏑ ⏑ – ⏑ ∸ –|
⏑ ∸ ⏑ – ⏑ ∸ ⏑ –|
∸ –⏑ ⏑ ∸⏑ ⏑ – ∸|⏑ ⏓
⏑ ∸ ⏑ –⏑ ⏑ ∸ –|⏑ ∸ ⏑ ω ⏑ –|
∸⏑ ⏑ –⏑ ⏑ ∸ ⏓|
∸ –⏑ ⏑ ∸⏑ ⏑ ⏓|
⏑ ∸ – ⏑ ∸ ⏑ –|⏑ ∸ ⏑ ⏓
ω ∸¦⏑ ⏑ – ∸⏑ ⏑ –⏑ ⏑ ∸¦⏑ – ⏑ ∸ ⏑ ⏓|

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Στρ.
Ζεῦ· τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων. —
ξείνων δ' εὖ πρασσόντων,
ἔσαναν αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα
Τυφῶνος ὀβρίμου,
Οὐλυμπιονίκαν
δέξαι Χαρίτων ἕκατι τόνδε κῶμον,

χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Αντ.
Ψαύμιος γὰρ ἵκει
ὀχέων, ὃς ἐλαίᾳ στεφανωθεὶς
Πισάτιδι κῦδος ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς·
ἐπεί νιν αἰνέω μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις
καὶ πρὸς ἡσυχίαν φιλόπολιν καθαρᾷ
γνώμᾳ τετραμμένον.

---

6. ὦ om. *ABCD*, add. N Tricl. — 7. ἵππον *A*C^m — ὀβρ. *ABD*: ὀμβρ. *C*; cf. P. IX 27 — 9. οὐλ. *Byz.*: ὀλ. *ABCD* — 10. δέξαι *ABCD*: δέκευ Tricl. — χάριτων ἕκατι Tricl.: χαρίτων γ' ἕκατι *A*, χαρίτων θ' ἕκατι *BCD* et schol. — τόνδε καὶ ὦμον C^{ac} — 11. ὕμνον χρονιώτατον *A* — Ψαύμιδος Tricl. et schol. — ἵκει *BC*: ἥκει *AD* — 12. ante ὀχέων interpunxit Wiskemann — 17. φιλόπτολιν *A* —

οὐ ψεύδεϊ τέγξω
λόγον· διάπειρά τοι βροτῶν ἔλεγχος·

ἅπερ Κλυμένοιο παῖδα 'Επ.
Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον
ἔειπεν Ὑψιπυλείᾳ
μετὰ στέφανον ἰών·
Οὗτος ἐγὼ ταχυτᾶτι·
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν
πολιαὶ θαμὰ καὶ
παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον.

---

21. ἅπερ AD^{ac}: ἅτε *C*, ἅπερ καὶ BD^{pc} — 26. οὗτος μὲν ἐγὼ *A* — οὗτος ἐγώ· ταχυτᾶτι χεῖρες Gurlitt interpunxit — 27. χερ. *C* — 29. θαμὰ καὶ *BCD* et schol.: θαμάκι *A* — ἁλικίαις *A*.

[ΟΛΥΜΠ. Ε'.] unecht

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

ΑΠΗΝΗι Ol. 82 = 452 a. Ch.

Strophae.

⏓ – –∪ ∪ ⏓ –| ∪ ∪ ⏓ ∪ – ⏓ ∪ ⏑|
⏓ – ⏓∪ ∪|–∪ ∪ ⏓∪ ∪ – | ⏓ ∪ – ∪ ⏓ ⏑|
∪∪–∪ ∪ ⏓ ∪ – ⏓ ∪ – | ⏓ ∪ – ∪ ⏓ ⏑

Epodi.

⏓ – ⏓∪ ∪ –∪ ∪ ⏓∪ ∪| – ∪, ⏓ ∪ – ∪| ⏓ ⏑
⏓ – ⏓∪ ∪ –∪ ∪|⏓∪ ∪ – ⏓ ∪ – ⏓ ∪ –| ⏓ ∪ – ∪ ⏓ ⏑|

Ὑψηλᾶν ἀρετᾶν *Στρ. α'.*
καὶ στεφάνων ἄω-τον γλυκὺν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ,
καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ' ἀπή-νας δέκευ
Ψαύμιός τε δῶρα·

ὃς τὰν σὰν πόλιν αὔ- *Ἀντ. α'.*
ξων, Καμάρινα, λα-οτρόφον

---

2. οὐλ. *Byz.*: ὀλ. *ABCD* — 4. καμάρινα Tricl. et fortasse iam Aristarchus: καμάριναν *ABCD* —

βωμοὺς ἓξ διδύμους· ἐγέραρεν ἑορ-
ταῖς θεῶν μεγίσταις,
ὑπὸ βουθυσίαις· ἀέθ-λων τε πεμ-
παμέροις ἁμίλλαις,

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε· 'Επ. α'.
τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄ-
κρων' ἐκά-ρυξε καὶ
τὰν νέοικον ἕδραν.

ἵκων δ' Οἰνομάου Στρ. β'.
καὶ Πέλοπος παρ' εὐ-ηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀεί-
δει μὲν ἄλσος ἁγνὸν
τὸ τεόν, ποταμόν τε Ὤ-ανον, ἐγ-
χωρίαν τε λίμναν,

καὶ σεμνοὺς ὀχετούς, 'Αντ. β'.
Ἵππαρις οἷσιν ἄρ-δει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως
ὑψίγυιον ἄλσος,
ὑπ' ἀμαχανίας ἄγων - ἐς φάος
τόνδε δᾶμον ἀστῶν. —

αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος· δαπάνα τε 'Επ. β'.
μάρναται πρὸς ἔργον

5. ἐγέραρεν *C*: γέραρεν *BD*, ἐγέραιρεν *A* — 6. πεμπαμέροις Tricl.: πεμπταμέροις *ABCD*, πενθαμέροις *E*, πεμπαμέρους ἁμίλλας Bergk — 9. ἥκων *A* — εὐηλάτων *CD* — 10. ἀείδει: ἀέξει coni. Hecker — 11. Ὤανον A^{ac} et *Byz.*: ὄανον $A^{pc}D$, ὄανιν *C*, Ἴανον coni. Pais — 13. κολλᾷ δὲ Bergk — ὑψίγυον *AD* — 14. ὑπ' *ACD*: ἀπ' Tricl. — ἀμαχανίαις C^{ac} —

κινδύνῳ κεκαλυμμένον· ηὺ δ' ἔχον-
τες σοφοὶ καὶ πολί-
ταις ἔδοξαν ἔμμεν.

Σωτὴρ ὑψινεφὲς *Στρ. γ'.*
Ζεῦ, Κρόνιόν τε ναί-ων λόφον
τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖ-
όν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις
ἀπύων ἐν αὐλοῖς,

αἰτήσων πόλιν εὐ- *Ἀντ. γ'.*
ανορίαισι τάν-δε κλυταῖς
δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσει-
δανίαισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔ-
θυμον ἐς τελευτάν,

υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα *Ἐπ. γ'.*
δ' εἴ τις ὄλβον ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν
προστιθείς, μὴ ματεύ-
σῃ θεὸς γενέσθαι.

---

16. ηὺ Hermann: εὖ *ACD*, εὖ δὲ τυχόντες Boeckh — ἔμμεναι *A* — 20. εὐανορίαις *A* — 21. δαιδάλειν *C* — οὐλ. *D* — ποσειδανίαισιν Boeckh cum parte scholiorum: ποσειδανίοισιν (ποσειδων. *A*) *ACD* — 24. κτεάνεσι *A* — προτιθ. *C*.

(erkl. v. Buchholz)

ΟΛΥΜΠ. ϛ.

ΑΓΗΣΙᾼ ΣΥΡΑΚΟΣΙῼ

ΑΠΗΝῌ Ol. 78 = 468 a. Ch.

Strophae.

– –́ ⏑ – – –̀ ⏑ – | – –́ ⏖ – ⏖ ⏓ |
–́ ⏖ – ⏖ – – –́ ⏖ ⏓ |
–́ ⏖ – ⏖ – – –́ ⏑ – ⏓ |
–́ ⏑ – – –̀ ⏑ – | – –́ ⏖ – ⏖ – ⏓ |
– –́ ⏑ – – –́ ⏖ – ⏖ – | ⏑ ⏓
⏑ – – –́ ⏑ – – –̀ ⏑ – | – –́ ⏖ – ⏖ – ⏓ |
–́ ⏖ – ⏖ – – –́ ⏑ – | – –̀ ⏑ – – –̀ ⏑ – ⏓ |

Epodi.

–́ ⏖ – ⏖ – – –́ ⏑ – | – –́ ⏖ – ⏖ ⏓ |
–́ ⏑ – – –̀ ⏑ – – –́ ⏖ – | ⏖ –̀ ⏖ – | – –́ ⏖ ⏓
–́ ⏖ – | – –́ ⏖ – | – –́ ⏑ – – –̀ ⏑ ⏓ |
–́ ⏑ – – –̀ ⏑ – | ⏓ –́ ⏖ – ⏖ ⏓ |
–́ ⏖ – ⏖ – | – –́ ⏖ – ⏖ – |
–́ ⏖ – ⏖ – – | –́ ⏖ – ⏖ ⏓
–́ ⏑ – | –́ ⏑ – – –̀ ⏑ – – –̀ ⏑ – ⏓ |

Στρ. α΄.

Χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου
κίονας, ὡς ὅτε θαητὸν μέγαρον

---

1. εὐτυχεῖ *C* — 2. ὥς τε *C* —

πάξομεν· ἀρχομένου δ' ἔργου πρόσωπον
χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας,
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,
συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν, τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;

Ἀντ. α'.

ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων
Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ
οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις
τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι πονηθῇ.
Ἁγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ
ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς Ἀμφιάρηον
φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.

Ἐπ. α'.

ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαϊονίδας
εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς,

---

3. *ἀρχομένου* codd. et schol.: *ἀρχομένους* v. l. in Luciani Hipp. 7 — 5. *βωμῶ* (*ου* supra *ω* scripto) *A* — 6. *συρακουσᾶν* *A* — *κεν*: *καὶ* *A* — 7. *ἱμερτᾶι ἀοιδᾶι* (vel -*ᾶς* -*ᾶς*) C^{ac} — 10. *οὔτ' ἐν ἀνδρ.* *A* — *οὔτε ναυσὶ* (omisso *ἐν*) *C* — 11. *ποναθῇ* *ABD*, cf. P. IX 93 — 12. *ἐνδίκου* coni. Herwerden — 13. *γνώμας* coni. Hecker — *ἀμφιάραον* AC^{pc} — 14. *ἐφθέγξατ'* *A* — 15. *τελεσθέντων*] *τε νησθέντων* coni. Bergk, *τε δαισθέντων* Herwerden, *τελεσθεισᾶν* Wilamowitz — *ταλαον.* *A* — 16. *θήβαισι* *C*: *θήβησι* *A* *θήβαις* *BD* —

ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι.
τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
οὔτε δύσηρις ἐὼν οὔτ' ὤν φιλόνεικος ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ ϝοι σαφέως
μαρτυρή- σω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.

Στρ. β'.

Ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων,
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνάμεν
αὐταῖς·
πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερον
ἐλθεῖν ἐν ὥρᾳ·

Ἀντ. β'.

ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται
παῖδα ϝιόπλοκον Εὐάδναν τεκέμεν.
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν
ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,

17. τ' om. *A* — δορὶ *A* — 18. συρακουσίῳ *AC* — 19. δύσηρις Ald.: δύσερις *ABCD* — φιλόνικος coni. Bergk — 21. ἐπιτέρψ. *A* — 23. αἳ εἰς τάχος *B* — 24. βάσωμεν A^{ac} — ἀνδρὸς coni. Hartung — 27. ὕμνον *D* — ἀναπεπτάμεν' *A* — 28. σάμερόν γ' Tricl., σάμερόν μ' Boeckh — 29. ποσειδάονι *C* — 30. παῖδα ἰόπλοκον Bergk: παῖδ' ἰοπλόκαμον *ABCD*, παῖδ' ἰοβόστρυχον Tricl. — τεκέσθαι A^{i} — 31. κρύψε: κρύψαι A^{i}, κρῦψαι *C*, κρύψας? $C^{\text{in ras.}}$ —

ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ· λάχε τ' Ἀλφεὸν
οἰκεῖν·
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκείας πρῶτον ἔψαυσ'
Ἀφροδίτας.

Ἐπ. β'.

οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα θεοῖο
γόνον·
ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις χόλον οὐ
φατόν, ὀξείᾳ μελέτᾳ
ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας.
ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα
κάλπιδά τ' ἀργυρέαν, λόχμας ὑπὸ κυανέας
τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ Χρυσοκόμας
πραΰμη- τίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας·

Στρ. γ'.

ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς Ἴαμος
ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα
λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ
ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεὶ
πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος, ἅπαντας ἐν οἴκῳ
εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι· Φοίβου γὰρ αὐτὸν
φᾶ γεγάκειν

Ἀντ. γ'.

πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις

---

34. ἔλαχέ τ' *B*, ἔλαχέν τ' *D* — 37. Πυθῶνάδ': πυθῶν' *D* in lit. — 38. πάθους *B* — 40. λόχμας ὑπὸ κυανέας *BCD* et schol.: λόχμαις ὑπὸ κυανέαις *A* — 42. εἰλείθ. *ABCD* — 43. τ' om. *A* — 45. δὲ om. C^{ac} — αὐτὸν om. *C* — 50. πατρός: πατρός γε *A* —

ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάννε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι
οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενημένον. ἀλλ' ἐν
κέκρυπτο γὰρ σχοίνῳ βατείᾳ τ' ἐν ἀπειράτῳ,
ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖσθαί νιν χρόνῳ σύμπαντι μάτηρ

Ἐπ. γ'.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν,
ὃν πρόγονον, καὶ τοξοφόρον Δάλου θεοδμάτας σκοπόν,
αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλασσέν τέ νιν· Ὄρσο, τέκνον,
δεῦρο πάγ- κοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν.

Στρ. δ'.

ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου.
ἔνθα ϝοι ὤπασε θησαυρὸν δίδυμον

---

51. οὐδέπω τέκεν λείψειν *A* — 53. γεγεναμένον (γεγενν. *A*) *ABCD* — ἀλλ' ἐγκέκρυπτο *BCD*, ἀλλ' ἐκρύπτετο *A* — 54. σχίνῳ *B* — ἀπειράτῳ *D* post corr.: ἀπειράντῳ *ABC*, ἀκηράτῳ Schmidt, ἀπειρίτῳ Bergk — βατιᾷ Wilamowitz — 55. ξανθαῖσί τε καὶ *A* — βεβρεγμένος] schol.: Ζηνόδοτος γράφει . . . ἀντὶ τοῦ βεβρεγμένος, quo in scholio πεφραγμένος excidisse putat Rauchenstein — 58. μέσσῳ 'γκαταβὰς Herwerden — 59. θεοδμάτου *A* — 62. μετάλλασσε *A*: μετάλλασεν (-σε *B*) *BCD*, μετάνστασεν coni. Bergk, μεταλλάσσαντί ἰν Hermann — τέκνον *ABCD*: τέκος lemma *B* — 63. χώραν *A*: χῶρον *BCD* —

μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωτον, εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν
Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν, πατρὶ
ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον
ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι
κέλευσεν.

Ἀντ. δ'.

ἐξ οὗ πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν.
ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετὰς
ἐς φανερὰν ὁδὸν ἔρχονται· τεκμαίρει
χρῆμ' ἕκαστον. μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων
τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον
ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρους, Ἁγησία, μάτρωες
ἄνδρες

Ἐπ. δ'.

ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας ἔχει
μοῖράν τ' ἀέθλων
Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ· κεῖνος, ὦ παῖ Σωστράτου,

---

67. ἄγνωτον A: ἄγνωστον BCD et schol. — 68. πατρὶ Hermann: πατρί δ' A, πατρί θ' BCD — 69. κτίσει B — τε μέγιστόν τε B — 70. αὖ A: αὐτῷ BCD — κέλευσέ νιν A — 72. ὄλβος ἅμ' ACD^{ac}: ὄλβος δ' ἅμ' BD^{pc} — 74. μῶμος δ' ἐξ codd., δ' eiec. Boeckh, μῶμος ἐκ δ' coni. Schmid — 75. τοῖς, οἷς] τοῖσιν coni. Hermann — πρώτοις $AC^{pc}D$: πρῶτον BC^{ac} — 76. ποτιστάξῃ coni. Bergk: ποτιστάξει CD, ποτιστάζει AB — μορφά C, μοῖραν coni. Hecker — 77. ὄρους Mosch: ὄροις $ABCD$, ὄρος legisse videntur schol. — 78. δώρησαν B^2CD; ἐδωρήσαντο θέων coni. Herwerden — 80. τιμὰν A

σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν᾽ ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς,
ἅ μ᾽ ἐθέλοντα προσέλκει καλλιρόοισι πνοαῖς·
ματρομά- τωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα,

Στρ. ε΄.

πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,
Αἰνέα, πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι,
γνῶναί τ᾽ ἔπειτ᾽, ἀρχαῖον ὄνειδος ἀλαθέσιν
λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
ἠυκόμων σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·

Ἀντ. ε΄.

εἰπὸν δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας·
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
ἄρτια μηδόμενος, φοινικόπεζαν
ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτάν,
καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν
λύραι μολπαί τε γινώσκοντι. μὴ θράσσοι χρόνος ὄλβον ἐφέρπων.

---

82. *λιγυρᾶς ἀκόνας* transposuit Hartung; ante *λιγυρᾶς ἀκόνας* interpungendum censet Wilamowitz — 83. *προσέλκει* *Byz.*: *προσέρπει ABC*, *προσέρποι D* — 86. *πίνομαι* coni. Meineke; *πίνομεν . . . πλέκειν* coni. Naber — 88. *Ἥραν*: *Ἑρμᾶν* coni. Bornemann — 90. *ἐσσὶ*: *ἔστι* coni. Wilamowitz — 91. *ἀφθόγγων A*, *ἀγαφθέκτων CD* — 92. *εἰπὸν* Boeckh: *εἶπον* codd. — *δ᾽ ἐμὲ μνᾶσθαι* coni. Iurenka — *συρακουσᾶν A* — 93. *σκάπτρῳ BD* — 95. *ἑορτὰς A* — 97. *λύραι* codd.: *πνοαί* schol.; *μολπαί ABD*: *πολλαί C*; *λύραι πνοιαί* coni. Lehrs —

σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἀγησία δέξαιτο κῶμον

Ἐπ. ε'.

οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων τειχέων ποτινισσόμενον,
ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας. ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ
νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. θεὸς
τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.
δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων
ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
Ἀμφιτρί- τας, ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.

θράσσοι Boeckh: θραύσοι A B C D, θραύσαι Hermann — 98. εὐκράτοις (η scripto supra κ) A — 99. ποτινισόμ. ABCD — 100. λείποντ' Tricl.: λιπόντ' ABCD — πέλονταί γ' (τ' C) ἐν AC — 101. ἀπεσκῆφθαι A — 102. τῶν δ' ἐκείνων ABCD, τῶν τε κείνων Heyne — 103. ποντομέδων coni. Boeckh — εὔθυνε πλόον καμάτων δ' A — 105. δ' om. A — ἄεξ' BCD: δέξ' A — εὐερπὲς D, εὐπρεπὲς E.

ΟΛΥΜΠ. Ζ΄.

ΔΙΑΓΟΡᾼ ΡΟΔΙῼ

ΠΥΚΤῌ Ol. 79 = 464 a. Ch.

Strophae.

⏖ – – ∸ ⏑ – | – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏑ – ⏓ ∸ ⏑ – – | ∸ ⏑ ⏓
– ∸ ⏑ ⏓ |
⏒ ∸ ⏑ – – ∸ ⏑ – – | ∸ ⏖ – ⏖ – | – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏖ – ⏖ – – ∸ ⏑ – – | ∸ ⏖ – ⏖ ⏓ |
⏖ – – ∸ ⏑ – – | ∸ ⏖ – ⏖ – ⏓ |

Epodi.

∸ ⏖ – ⏖ – | – ∸ ⏖ – ⏖ – – ∸ ⏑ ⏓ |
∸ ⏑ – – ∸ ⏑ – – | ∸ ⏖ – ⏖ – ∸, | ⏑ ⏓
∸ ⏖ – | ⏖ ⏑ – ⏖ ∸ ⏖ – | – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏑ – – ∸ ⏑ – ⏓ |
∸ ⏖ – ⏖ – | ⏓ ⏖ ⏑ – – ∸ ⏖ – ⏖ ⏓ |
⏖ – ∸ ⏖ – | ⏖ – – ∸ ⏑ ⏓ |
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – |

Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν Στρ. α΄.
ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ

---

1. *ἀφνεᾶς A* — 2. *καγχλ. A* — *ἀμπέλου καχλάζοισαν δρόσον* Planudes in schol. Hermog. ap. Walz t. VII p. 486 —

δωρήσεται,
νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε πάγχρυσον
κορυφὰν κτεάνων,
συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν· ἐν δὲ φίλων
παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·

Ἀντ. α'.

καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
ἱλάσκομαι
Ὀλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν· ὁ δ' ὄλβιος, ὃν φᾶ-
μαι κατέχοντ' ἀγαθαί.
ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἁδυμελεῖ
ἅμα μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.

Ἐπ. α'.

καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν τὰν
ποντίαν
ὑμνέων παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον,
εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφειῷ στε-
φανωσάμενον
αἰνέσω πυγμᾶς ἄποινα
καὶ παρὰ Κασταλίᾳ, πατέρα τε Δαμάγητον ἀδόντα Δίκᾳ,
Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας
ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.

---

3. δωρήσατο coni. Naber — 4. προπέμπων v. l. schol. — 5. συμποσίου *BCD*: συμποσίω (supra ω scripto ου) *A*, συμποσίῳ Mommsen — ἑὸν: νέον coni. Bergk — 10. ὀλ. *A B C D*: οὐλ. *Byz.* — 11. ζωοφθάλμιος *C* — 12. ἅμα lemma in *A*: θαμὰ codd. — ἐν ἔντ. *AC*: ἔντ. (omisso ἐν) *BD* — 14. Ἀμφιτρίτας v. l. schol. — 15. εὐθύμαχον *A* — ἀλφεῷ *A* — 18. εὐρυχόρου *B*: εὐρυχώρου (-ροιο *C*) *A C D* — 19. ἐμβόλῳ *B*: ἐμβόλω *ACD*; εὔβολον Theotimum legisse testantur schol. —

Στρ. β'.

ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,
Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς
εὔχονται· τὸ δ' Ἀμυντορίδαι
ματρόθεν Ἀστυδαμείας· ἀμφὶ δ' ἀνθρώπων φρασὶν
ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται· τοῦτο δ' ἀμάχανον εὑρεῖν,

Ἀντ. β'.

ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον
σκάπτῳ θενὼν
σκληρᾶς ἐλαίας ἔκτανεν Τίρυνθι Λικύμνιον ἐλθόντ' ἐκ
θαλάμων Μιδέας
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς. αἱ δὲ φρενῶν
ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν· μαντεύσατο δ' ἐς θεὸν ἐλθών.

Ἐπ. β'.

τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασ-σον
νομόν,
ἔνθα ποτὲ-βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις
νιφάδεσσι πόλιν,

20. τοῖσιν ABD^{pc} schol.: τοί νυν CD^{ac} — 21. ἀγγέλων CD^{ac} — 24. φρεσὶν CD^{i} — 26. καὶ om. A — φέρτερον A — 29. ἔκτανεν D: ἔκτανε B, ἔκταν' ἐν AC — 32. ναῶν: νωμᾶν et infra εὐθὺν Hermann — 33. εὐθὺν γρ. E: εὔθυν' $ABCD$; εἰς A; ὄρσαι ἐς coni. Mommsen; at cf. P. IV 6 — 34. βρέχει lemma in A — χρυσέαις $Byz.$: χρυσέαισι $ABCD$ —

ἀνίχ' Ἁφαίστου τέχναισιν
χαλκελάτῳ πελέκει πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν
ἀνορού-σαισ' ἀλάλαξεν ὑπερμάκει βοᾷ·
[Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.]

Στρ. γ'.

τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας
μέλλον ἔντειλεν φυλάξασθαι χρέος
παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα, καὶ σεμνὰν θυσίαν θέμενοι
πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ' ἐγχειβρόμῳ. ἐν δ' ἀρετὰν
ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι Προμαθέος αἰδώς.

Ἀντ. γ'.

ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος
καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν
ἔξω φρενῶν.
καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ· τεῦξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλει. κείνοις ὁ μὲν ξανθὰν ἀγαγὼν νεφέλαν
πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν

---

37. ἀνορ.: ἐνορ. E^{ac} — 40. ἐνέτειλε A — 42. ὡς τᾷ θεῷ coni. Kayser — πρῶτον C — 43. ἰάναι. κόρα (sine εν) BD^{pc} — 45. ἀτέκμαρτα coni. Schmid: ἀτέκμαρτον $ABCD$ — 46. παρέλκει πρ. ὀρθᾶν ὁδῶν ἔξω φρένας coni. Bergk — 48. ἀπείροις A^{i} — 49. κείνοις ὁ μὲν Mingarelli: κείνοισι μὲν $ABCD$ — νεφέλαν ζεὺς $ABCD$, ζεὺς eiec. Mosch. —

'Επ. γ'.

πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρα-
τεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι φέρον.
ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία μείζων ἀδό-
λως τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου· Στρ. δ'.
καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,
ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμ πάλον μέλλεν θέμεν. ἀλλά
νιν οὐκ εἴασεν, ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πε-
δόθεν
πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.

'Αντ. δ'.

ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν
μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα
νιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ

53. ἀδόλως unus ex scholiastis legisse videtur: ἄδολος codd. — 56. ἔμμεναι *A* — 57. ἁλμυροῖσι *BCD* — 58. ἔνριψεν coni. Naber — 59. χλωρᾶς *A* — λεῖπον *A* — 61. ἄμ πάλον Boeckh: ἄμπαλον *ABCD* — 67. φαενὸν C^{ac}, φανὸν Hermann

ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύταθεν δὲ λόγων κορυφαὶ
ἐν ἀλαθείᾳ πετοῖσαι. βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

Ἐπ. δ'.

νᾶσος, ἔχει τέ νιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων· ἔνθα Ῥόδῳ ποτὲ μιχ-θεὶς τέκεν
ἑπτὰ σοφώ- τατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παρα- δεξαμένους
παῖδας, ὧν εἷς μὲν Κάμειρον
πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ'. ἀπάτερθε δ' ἔχον,
διὰ γαῖ-αν τρίχα δασσάμενοι πατρωίαν,
ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι. — —

Στρ. ε'.

τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,
ὥσπερ θεῷ,
μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις. τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐ- τυχέων,
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.

---

68. *γέρας BD*: *μέρος AC* et *γρ. B* — *τελεύταθεν γρ. B* et lemma in *BC*: *τελεύτασαν ABCD* — 73. *μὲν* om. *B* — *Κάμιρον* schol. *A*, ut scriptum est in vetustis titulis — 74. *πρεσβύτατος* a nonnullis scriptum fuisse testantur schol. — *ἰάλυσσον D* — *ἔτεκεν* Tricl.: *τέκεν AD*, *τέκε BC* — *Λίνδον δ' C* — *ἔχον A*: *ἔχοντα B*, *ἔχοντι CD* — 75. *γᾶν τριχθὰ A* — 79. *θεοῖς A* — 80. *μάλων A* — *κνισσ. BCD* — 81. *τ' ἐν*: *τοι ἐν C* — 82. *κραναισῖιν ἐν C* —

'Αντ. ε'.

ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ' ἐν Ἀρκαδίᾳ
ἔργα καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι
Βοιωτίων,
Αἴγινα Πελλάνα τε νικῶνθ' ἑξάκις· ἐν Μεγάροισίν τ'
οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀτα-
βυρίου
μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,

'Επ. ε.

ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ ϝοι αἰδοίαν
χάριν
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξείνων· ἐπεὶ ὕβριος ἐχ-θρὰν
ὁδὸν
εὐθυπορεῖ, - σάφα δαεὶς ἅ τε ϝοι πατέρων ὀρθαὶ φρένες
ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι σὺν χαρίτεσ-
σιν ἔχει
θαλίας - καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι.

---

85. Βοιωτίων *A*: βοιωτῶν *BD*, βοιωτίας *C* — 86. Αἴγινα Πελλάνα τε Tricl.: πελλάνα (πελλάνᾳ *B*) τ' αἴγινά (αἰγίνᾳ *B*) τε *ABCD*, Πέλλανά τ', Αἰγίνᾳ τε Boeckh, Πέλλανά τ' Οἰνώνα τε coni. Bergk — μεγάροισι δ' *A* — ἕτερον *BCD*: ἑτέρου *A* — 89. δίδου *A* — 92. ἔχρεον *A* — κοινὸν: κλεινὸν coni. Herwerden — 93. ἐρατιδᾶν Tricl.: ἐραστειδᾶν *ABCD* et schol. — τοι] τὲ *A* — θαλίας ἔχει *A* — 94. μιᾷ μοίρᾳ *AC*: μοίρᾳ μιᾷ *BD*.

ΟΛΥΜΠ. Η'.

ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤῌ

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ Ol. 80 = 460 a. Ch.

Strophae.

–́ ⏑ – – –́ ⏖ – | ⏖ –́ – –́ ⏑ ⏓ |
– –́ ⏑ – – –́ ⏖ – ⏖ –́ ⏓ |
–́ ⏑ – ⏓ –́ ⏖ – ⏖ –́ | – –́ ⏖ – ⏖ –́ ⏓ |
–́ ⏖ – ⏖ –́ | – –́ ⏑ ⏓
–́ ⏖ – ⏖ ⏓ |
⏖ – – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ ⏓ |

Epodi.

– –́ ⏖ – ⏖ –́ – –́ ⏑ ⏓ |
–́ ⏖ – ⏖ –́ ⏓ | –́ ⏖ – ⏖ ⏓
–́ ⏖ – ⏖ –́ ⏓ –́ ⏑ ⏓ |
–́ ⏖ – ⏖ –́ ⏓ |
–́ ⏖ – ⏖ –́ – | –́ ⏖ – ⏖ –́ ⏓ |
–́ ⏖ – ⏖ –́, | ⏓ –́ ⏖ – ⏖ –́ ⏓ –́ ⏑ ⏓ |
–́ ⏑ – –́ ⏖ – ⏖ ⏓ |
⏓ –́ ⏑ – – –́ ⏑ ⏓ |

Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Οὐλυμπία, *Στρ. α'.*
δέσποιν' ἀλαθείας, ἵνα μάντιες ἄνδρες

---

1. *χρυσεοστ. A — οὐλ. Byz., ὀλ. ABCD —*

ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικε-
ραύνου,
εἴ τιν᾽ ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν·

Ἀντ. α΄.

ἄνεται δὲ πρὸς χάριν εὐσεβείας ἀνδρῶν λιταῖς.
ἀλλ᾽ ὦ Πίσας εὔδενδρον ἐπ᾽ Ἀλφεῷ ἄλσος,
τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι. μέγα τοι κλέος
αἰεί,
ᾧτινι σὸν γέρας ἕσπητ᾽ ἀγλαόν.
ἄλλα δ᾽ ἐπ᾽ ἄλλον ἔβαν
ἀγαθῶν, πολλαὶ δ᾽ ὁδοὶ
σὺν θεοῖς εὐπραγίας·

Ἐπ. α΄.

Τιμόσθενες, ὔμμε δ᾽ ἐκλάρωσεν πότμος
Ζηνὶ γενεθλίῳ· ὃς σ᾽ ἐν μὲν Νεμέᾳ πρόφατον,
Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν Ὀλυμπιονίκαν.
ἦν δ᾽ ἐσορᾶν καλός, ἔργῳ τ᾽ οὐ κατὰ ϝεῖδος ἐλέγχων
ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·
ἔνθα Σώ- τειρα Διὸς ξενίου
πάρεδρος ἀσκεῖται Θέμις

3. ἀργεικ. *B*, ἀρτικ. *C*ac — 7. ἔκ τε μόχθων coni. Hermann — 8. λιταί v. l. schol. — 9. ἄλσος ἔχων *A* — 11. ἕσπητ᾽ *GN*: ἕσπετ᾽ *ABC*, ἕσποιτ᾽ *D* lit. — 12. ἐπ᾽ ἄλλων *A*, ἐπ᾽ ἄλλαν *C* — 16. ὅς σ᾽ ἐν μὲν Boeckh: σὲ μὲν ἐν (sine ὃς) *AB*, ὃς σὲ μὲν ἐν *CD* et *A* m. rec. — πρόφατον Tricl.: πρόφαντον *AB CD*, προφανῆ Schneidewin, ὃς σὲ πρόσφατον ἐν Νεμέᾳ Hermann — 17. πὰρ *B*: παρὰ *ACD* — 18. ἔθηκεν *A* — 20. ἐξένν. *AB* —

Στρ. β'.

ἔξοχ' ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν,
δυσπαλές· τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις
κίονα δαιμονίαν·
ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι·

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ· Ἀντ. β'.
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι καλέσαντο συνεργὸν
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις
λάβρον ἀμπνεῦσαι καπνόν.

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη, νέον Ἐπ. β'.
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον·
εἷς δ' ἐσόρουσε βοάσαις.

---

23. ὅ τι: ὅθι unus ex scholiastis, ut videtur — πολλᾷ *B*: πολλὰ *ACD* — ῥέπῃ Bergk: ῥέποι *ABCD*, ῥέπει *Byz.* c. dett. — 24. διακρῖναι *A* — 25. καὶ τάνδ': fortasse καὶ τὰν vel ταύταν — 26. παντοδαποῖς *BD* — 32. τεῦξαι *ABCD*: τεύξειν *Byz.* — 36. λαῦρον *AC* — 37. κτίσθη νέον, *C* et Boeckh² — 38. ἐσαλόμενοι *D*ᵃᶜ, ἐφαλλόμ. coni. Hecker — γε τρεῖς *A* — οἱ μὲν δύο *A* — κάππετον *BCD*ˡⁱᵗ· — 39. αὖ *B* — τ' malo cum Bergkio — ἀτυζομένω *D*ᵃᶜ: ἀτυζόμενοι *AB*, ἀτιζομένω *CD*ᵖᶜ — 40. δ' ἐσορ. *CD* et schol.: δ' ἀνορ. *B*, δ' ὄρ. *A*; fort. δ' ἐνορ. —

ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·
«Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός·

Στρ. γ'.

οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ἄρξεται
καὶ τετράτοις.» ὣς ἆρα θεὸς σάφα Ϝείπαις
Ξάνθον ἤπειγ' ἢ καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον ἐλαύνων.
Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τάνυεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις,

Ἀντ. γ'.

καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν.
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν

---

41. ὁρμαίνων codd. et schol.: εἰσορῶν coni. Hartung, ἀμφαίνων Fritzsche, fort. αὐγάζων — 42. τεᾶς coni. Schmid — 44. βαρυκτύπου *A* — 45. πρώτοισιν *B D* — ἄρξεται] ῥήξεται coni. Bergk — τερτάτοις coni. Ahrens — 46. σαφὲς A^s — 47. ξάνθον τε *A*, ξάνθον δ' *D* (ον δ' lit.) — ἤπειγ' ἢ Bergk: ἤπειγε (-γεν) codd. et schol. — εὐίπποις *B* — ἐς om. *B* — 48. ποντίῳ C^{ac} — 52. δαιτικλυτάν Bergk: δαῖτα κλυτάν *A B C D*, quo recepto post δειράδ' i. e. δειράδι interpunxerunt — 54. μελησίᾳ *A B*: μελησία *C D* — ὕμνων A^{pc} — 55. βαλλέτω *A* — 58. μαχᾶν: μέτα coni. Kayser, λαχεῖν Schneidewin —

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι *Ἐπ. γ'.*
εἰδότι ῥᾷτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐ-τῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

Στρ. δ'.

ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ' οὐκ ἀμπλακὼν
ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπίκρυφον οἶμον,
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον.
Ἀίδα τοι λάθεται
ἄρμενα πράξαις ἀνήρ. — —

Ἀντ. δ'.

ἀλλ' ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ' ἀγώνων.
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
καν νόμον ἐρδομένων·
κατακρύπτει δ' οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

---

59. *ἐν παγκρατίῳ* B[s] C[1] D[i] — *δέ τι* A[i], *δέ τοι τι* B — 65. *μὲν γὰρ* A — 78. *ἐρδομένων* coni. Schmid: *ἐρδόμενον* codd. —

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων Ἐπ. δʹ.
Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ' ἐπ' ἐσλοῖς
ἔργ' ἐθέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ· Νέμεσιν διχόβουλον μὴ
θέμεν·
ἀλλ' ἀπή- μαντον ἄγων βίοτον
αὐτούς τ' ἀέξοι καὶ πόλιν.

---

82. ἐννέποι *ABCD* — 85. ἔργ' ἐθέλοι Boeckh: ἔργα θέλοι codd. — 86. ἀμφὶ τῶν καλ. *C* — μοῖραν *D* — 87. ἄγων A^{s} *BCD*: ἔχων A^{1}.

Prometheus

Deukalion   Pyrrha

Protogeneia   Zeus

Opus I. (Ηπειός)

Lokros   Zeus   Kambyse

Opus II.
K. d. Lokrer

ΟΛΥΜΠ. Θ′.

ΕΦΑΡΜΟΣΤΩι ΟΠΟΥΝΤΙΩι

ΠΑΛΑΙΣΤΗι Ol. 81 = 456 a. Ch.

Strophae.

```
   ⏖ –⏑ ⏑ ⏗ ⏑ ⏓|
   ⏓ –⏑ ⏑ ⏗ ⏑ –|  ⏗ ⏒ –⏑ ⏑ ⏗ ⏑ – ⏑ ⏗   ⏓|
 ⏗ ⏒ –⏑ ⏑ ⏗ ⏑ –|⏒ ⏗⏑ ⏑ – ⏓|
 ⏗ – –⏑ ⏑ ⏗ ⏑ –|– ⏗⏑ ⏑ – ⏓|
 ⏗ ⏒ –⏑ ⏑ ⏗ ⏑ –|– ⏗⏑ ⏑ – ⏓|
 ⏗⏑ ⏑ – ⏒ ⏗⏑ ⏑ –|– ⏗⏑ ⏑ – ⏓|
 ⏗ ⏒ –⏑ ⏑ ⏗ ⏑ ⏓|
– ⏗⏑ ⏑ – –|
⏑ ⏗⏑ ⏑ – ⏑ ⏗   –|⏑ ⏓
– ⏗⏑ ⏑ –   ⏗|⏑ – ⏒ ⏗⏑ ⏑ – ⏓|
```

Epodi.

```
⏑ ⏗ ⏑ – ⏑ ⏗ ⏑ ⏓|
   ⏖ – ⏑ ⏗ ⏑ – ⏑ ⏗   ⏓|
   ⏖ –⏑ ⏑ ⏗   ⏓
– ⏗|– –⏑ ⏑ ⏗ ⏑ –   ⏗   ⏓|
 ⏗⏑ ⏑ –   ⏗   –   ⏗   ⏓|
– ⏗⏑ ⏑ –⏑ ⏑ ⏗⏑ ⏑ –|
– ⏗ ⏑ –⏑ ⏑ ⏗⏑ ⏑ –|   ⏗   ⏓
– ⏗ ⏑ – ⏒ ⏗|⏑ –⏑ ⏑ ⏗, ⏒|⏗ ⏑ –⏑ ⏑ ⏗ ⏑ – ⏓|
```

Τὸ μὲν Ἀρχιλόχου μέλος Στρ. α'.
φωνᾶεν Ὀλυμπίᾳ,
καλλίνικος ὁ τριπλόος κεχλαδώς,
ἄρκεσε Κρόνιον παρ' ὄχθον ἀγεμονεῦσαι
κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·
ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων
Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι
ἀκρωτήριον Ἄλιδος
τοιοῖσδε βέλεσσιν,
[τὸ δή ποτε Λυδὸς ἥ-ρως Πέλοψ
ἐξάρατο κάλ-λιστον ἕδνον Ἱπποδαμείας·]

πτερόεντα δ' ἵει γλυκὺν Ἀντ. α'.
Πυθῶνάδ' ὀιστόν· οὔ-
τοι χαμαιπετέων λόγων ἐφάψεαι,
ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων
κλεινᾶς ἐξ Ὀπόεντος, αἰνήσαις ϝε καὶ υἱόν,
ἃν Θέμις θυγάτηρ τέ ϝοι Σώτειρα λέλογχεν
μεγαλόδοξος Εὐνομία, θάλλει δ' ἀρεταῖσιν
σόν τε, Κασταλία, πάρα
Ἀλφεοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄω-τοι κλυτὰν
Λοκρῶν ἐπαεί- ροντι ματέρ' ἀγλαόδενδρον.

---

2. φωνᾷ ἐν B (D^{ac}?) et v. l. schol. — κεκλαδώς A — 4. φίλος B — 8. τοιοῖς δ' ἐν D — βέλεσσι (βέλεσι OX, βελέεσσι γρ. E) $E^{s}OPXV$: μέλεσι (μέλεσσιν C) $ABCD$, utrumque interpretantur scholia — 11. δ': θ' malo — 14. κλειτᾶς A — 16. ἀρεταῖσιν σόν τε Κασταλία Bergk: ἀρεταῖς ἶσόν τε κασταλία (-λίᾳ BC) $A^{s}BCD$ et schol., ἀρεταῖσιν ἔν τε κασταλίᾳ A^{1} — 18. παρ' Ἀλφειοῦ ACD^{s} — 20. ἐπαείρονται C^{s}, ἐπαίροντι D —

ἐγὼ δέ τοι φίλαν πόλιν 'Επ. α'.
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
καὶ ἀγάνορος ἵππου
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'· ἀγαθοὶ
δὲ καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες

ἐγένοντ'· ἐπεὶ ἀντίον Στρ. β'.
πῶς ἂν τριόδοντος Ἡ-
ρακλέης σκύταλον τίναξε χερσίν,
ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν,
ἤρειδεν τέ νιν ἀργυρέῳ τόξῳ πολεμίζων
Φοῖβος, οὐδ' Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν ἐς ἀγυιὰν
θνασκόντων; ἀπό μοι λόγον
τοῦτον, στόμα, ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς
ἐχθρὰ σοφία· καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

μανίαισιν ὑποκρέκει. Ἀντ. β'.
μὴ νῦν λαλάγει τὰ τοι-
αῦτ'· ἔα πόλεμον μάχαν τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας

21. δὲ φίλ. (omisso τοι) *A* — 25. ταύταν codd.: κλυτάν coni. Wilamowitz — 28. ἀγαθοὶ δὲ φύσει καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες ἐγένοντο Aristid. t. II p. 35 Dind. — 31. ἤρεισε *D* — 32. τε: δὲ coni. Hermann — πελεμίζων coni. Thiersch — 34. ἐς: πρὸς *B* —

ἄστει γλῶσσαν, ἵν' αἰολοβρόντᾳ Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε
δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον
κτισσάσθαν λίθινον γόνον·
Λαοὶ δ' ὀνύμασθεν.
ἔγειρ' ἐπέων σφιν οἶ-μον λιγύν,
αἴνει δὲ παλαι- ὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων

νεωτέρων. λέγοντι μὰν 'Επ. β'.
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος, ἀλλὰ
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ' ἔσσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι,
ἀρχᾶθεν 'Ιαπετιονίδος φύτλας
κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν,
ἐγχώριοι βασιλῆες αἰεί·

πρὶν 'Ολύμπιος ἁγεμὼν Στρ. γ'.
θύγατρ' ἀπὸ γᾶς 'Επει-
ῶν 'Οπόεντος ἀναρπάσαις ἕκαλος
μίχθη Μαιναλίαισιν ἐν δειραῖς καὶ ἔνεικεν
Λοκρῷ, μὴ καθέλοι νιν αἰὼν πότμον ἐφάψαις

---

42. *γλῶσσαν*: *Μοῖσαν* coni. Hecker coll. N. III 28 — 43. *καταβάντες* *A* — 45. *κτίσσασθαν* Mommsen: *κτισάσθαν* *A*, *κτησάσθαν* (-*σθην* *C*) *BCD* — 47. *σφίσιν* *AC* — *οἶμον*: *οὖρον* coni. Gedicke — 52. *ἀνάπωτιν* Tricl.: *ἄμπωτιν* *ABCD* — 53. *κἀκείνων* *A* — *ἔσσαν* *Byz.*: *ἔσαν* *ABCD*, *δὴ 'σαν* Bergk — 55. *ἰαπετιονίδος* *E*: *ἰαπετεονίδος* (-*ιδεις* *D*) *ABCD* — 56. *κορᾶν* *Byz.*: *κουρᾶν* *ABCD*, *κόρων* coni. Jurenka — *καὶ* *ABCD*: *τε* Mosch. — *φερτάτου* coni. Homan — *Κρονιδᾶν* codd. et schol.: *Λελέγων* coni. Hermann — 58. *θυγατέρ'* *AC*, *τὰν παῖδ'* Tricl. — *ἁρπ.* *A* — 60. *καθέλοιμι αἰ.* lemma in *A* —

ὀρφανὸν γενεᾶς) ἔχεν δὲ σπέρμα μέγιστον
ἄλοχος, εὐφράνθη τε ϝιδὼν ἥρως θετὸν υἱόν,
μάτρωος δ' ἐκάλεσσέ νιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφατον ἄνδρα μορ-φᾷ τε καὶ
ἔργοισι· πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.

ἀφίκοντο δέ ϝοι ξένοι — Ἀντ. γ'.
ἔκ τ' Ἄργεος ἔκ τε Θη-
βᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων
Αἰγίνας τε **Μενοίτιον**· τοῦ παῖς ἅμ' Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ' ἀλκάεντας Δαναοὺς τρέψαις ἁλίαισιν
πρύμναις Τήλεφος ἔμβαλεν·
ὥστ' ἔμφρονι δεῖξαι
μαθεῖν **Πατρόκλου** βια-τὰν νόον.
ἐξ οὗ Θέτιος - γοῦνος οὐλίῳ νιν ἐν Ἄρει

παραγορεῖτο μή ποτε — Ἐπ. γ'.
σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς. — —
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον

61. ἔσχεν (ἔσχε *D*) *CD* — 65. ὑπέρφυτον *A* — 68. καὶ om. *D* — 69. υἷα *Byz.* — 71. Ἀχιλεῖ *A* — 76. γοῦνος coni. Mingarelli: γόνος codd., γ' ὄζος Bergk, βλαστὸς Hermann — οὐλία C^1 — 78. ἀντιοῦσθαι coni. Naber — 79. δαμασιμβρότας B^1 — 80. εὑρησ. *B*: εὑρεσ. *ACD* — 83. ἕσποιτο· προξενίᾳ (αἰεὶ ante προξ. minio add. *C*) *BCD* et schol.: ἕσποιτ' αἰεὶ προξ. (ξενίᾳ

τιμάορος· Ἰσθμίαισι Λαμπρομάχου
μίτραις, ὅτ' ἀμφότεροι κράτησαν

μίαν ἔργον ἀν' ἁμέραν. Στρ. δ'.
ἄλλαι δὲ δύ' ἐν Κορίν-
θου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις.
οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσσαις
διήρχετο κύκλον ὅσσα βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.

τὰ δὲ Παρρασίῳ στρατῷ Ἀντ. δ'.
θαυμαστὸς ἐὼν φάνη
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
τύμβος εἰναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν.
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι·

lemma) *A*, unde ἕσποιτ' αἰεί. ξενίᾳ Mommsen collato P. x 64. N. vii 65 — ἦλθον *Byz.*: ἤλυθον *ABCD* — 84. μίτραισιν *A* — 86. ἐγένοντο δ' *D* — χάρμα *A* — 87. τᾶ δε *A* — 89. οἷον: οἷος coni. Jurenka — δ' om. *A* — 92. ἀπτωτὶ ex schol. Bergk — 98. Πελλάνᾳ schol.: πελλάνα *ABCD* — αὐτῷ ex αὐτοῦ *B* — 99. εἰναλία *Z*: ἐναλία *ABCD*, ut P. ii 79. iv 27. 39. 204. xi 40. xii 12, unde ἐνναλία Schroeder — 100. πολὺ (οι supra υ scripto) *A* — 102. ἀρέσθαι *A*: ἀνελέσθαι *BCD*, αἱρεῖσθαι Aristid. ii 35 —

ἄνευ δὲ θεοῦ σεσιγαμένον
οὐ σκαιότερον χρῆμ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι

ὁδῶν ὁδοὶ περαίτεραι, 'Επ. δ'.
μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα· σοφίαι μὲν
αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,
ὄρθιον ὤρυσαι θαρσέων,
τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν,
Αἶαν, τεόν τ' ἐν δαιτὶ Ϝιλιάδα
νικῶν ἐπεστεφάνωσε βωμόν.

103. *ἄνευ δὲ A* et schol.: *ἄνευθε δὲ BCD*, *ἄνευθε* Boeckh — 106. *ἄμμε* codd. dett. et schol.: *ἄμε E*, *ἅμα CD*, *ἅμα (ἄμε?) A*, *ἁμέρα B*, sed *ρα* s. l. — 108. *τοῦτον C* — 109. *ὤρυσαι* B^2 *CD*, *ὤρουσαι B* sed videtur *ω* ex *α* factum esse, *ὄρουσαι A*; *ὄρθι' ἀῦσαι θαρσέω* coni. Wilamowitz — 112. *Αἶαν τεόν τε* (*ἐν* omisso) coni. Hermann, *Αἰάντειόν τ' ἐν* codd., — *'Ιλιάδα BC*[1] et schol.: *Οἰλιάδα AD*, *ἰολιάδου* vel *ὀιλιάδου C*[3]; *Αἰάντεόν τ' ἐν δαίθ' ὃς 'Ιλιάδα* coni. Boeckh (*ὃς* add. *Byz.*).

ΟΛΥΜΠ. Ι΄.

ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

ΠΑΙΔΙ ΠΥΚΤΗι Ol. 74 = 484 a. Ch.

Strophae.

⏖ –⏑ ⏑ – – ⏑ – ⏖ ⏑ ⏓|
⏒ – ⏑ – –⏑ ⏑ – ⏑ ⏓|
⏑ – ⏑ – – ⏖ ⏑ – –|⏖ ⏑ – – ⏖ ⏑ – –|– –⏑ ⏑ –⏑ ⏑ ⏓|
⏒ – – ⏑ ⏑⏑|– – ⏑ ⏓
⏑ – ⏑ – – ⏑ ⏓|
⏒ – –⏑ ⏑ – ⏑ ⏓|

Epodi.

⏑ – ⏖ ⏑ –⏑ ⏑ –, – –|⏑ ⏑⏑ –
⏑ – ⏖ ⏑ –⏑ ⏑ –|
– ⏖ ⏑ ⏑⏑ – ⏖ ⏑ – –|⏑ ⏑ – ⏒ – ⏑ ⏓
– –⏑ ⏑ – –|⏑ ⏑ – ⏖ ⏑ – –
– –⏑ ⏑ – ⏑ –|
– – ⏑ – ⏑ –
⏑⏑ –⏑ ⏑ ⏓|
– –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓|
⏑ –⏑ ⏑ ⏑⏑ – –, ⏑⏑ ⏑|– ⏑ – –⏑ ⏑ ⏓|

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι Στρ. α'.
Ἀρχεστράτου παῖδα, πόθι φρενὸς
ἐμᾶς γέγραπται· γλυκὺ γὰρ αὐτῷ
μέλος ὀφείλων ἐπιλέλαθ'.
ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ
Ἀλάθεια Διός, ὀρθᾷ χερὶ
ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτοξένων.

ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος Ἀντ. α'.
ἐμὸν καταίσχυνε βαθὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖ-
αν ἐπιμομφὰν τόκος ὁμαρτ-
έων· νῦν ψᾶφον ἑλισσομέναν
ὅπα κῦμα κατακλύσσει ῥέον,
ὅπα τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν.

νέμει γὰρ Ἀτρέκεια πόλιν Ἐπ. α'.
Λοκρῶν Ζεφυρίων,
μέλει τέ σφισι Καλλιόπα
καὶ χάλκεος Ἄρης· τράπε δὲ Κύκ-
νεια μάχα καὶ ὑπέρβιον

---

2. *ἀρχιστρ.* *A* — 6. *ἀλιτοξένων* coni. Mingarelli: *ἀλιτόξενον* codd. — 8. *καταίσχυνε* Boeckh: *καταισχύνει* *ABCD*, *κατήσχυνε* *Byz.* — *βραχὺ* A^1 — 9. *ἔτι μομφὰν* coni. Grumme — *τόκος ὁμαρτέων* scripsi: *τόκος θνατῶν* *ABD* et schol., *γε τόκος θνατῶν* *C*, *ὁ τόκος ἀνδρῶν* *Byz.*, *τόκος ὀπαδέων* Mommsen, *τόκος ὀνάτωρ* Hermann, *τόκος ὁ ναυτᾶν* Bergk, *τόκος· ὁρᾶτ' ὦν* Schneidewin, *τόκος· ἀθρῶμεν* Wiskemann — 13. *ἁ τραχεῖα πόλις* v. l. schol. — *πόλιν* A^8 *BCD*: *πόλις* A^1 — 14. *μέλει* *A*: *μέλλει* *BCD* — *σφι* *A* — 15. *Κύκνεια* Hermann: *Κυκνεία* *Byz.*, *κυκνέα* *ABCD* —

῾Ηρακλέα. πύκτας δ᾿ ἐν ᾿Ολυμπιάδι νικῶν
῎Ιλᾳ φερέτω χάριν
᾿Αγησίδαμος, ὡς
᾿Αχιλεῖ Πάτροκλος·
θήξαις δέ κε φύντ᾿ ἀρετᾷ ποτὶ
πελώριον ὁρμάσαι
κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ.

ἄπονον δ᾿ ἔλαβον χάρμα παῦροί τινες, Στρ β΄.
ἔργων πρὸ πάντων βιότῳ φάος.
ἀγῶνα δ᾿ ἐξαίρετον ἀεῖσαι
θέμιτες ὦρσαν Διός, ὃν ἀρ-
χαίῳ σάματι πὰρ Πέλοπος
βωμῶν ἑξάριθμον ἐκτίσσατο,
ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα,

πέφνε δ᾿ Εὔρυτον, ὡς Αὐγέαν λάτριον ᾿Αντ. β΄.
ἀέκονθ᾿ ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο· λόχμαισι δὲ δοκεύσαις
ὑπὸ Κλεωνᾶν δάμασε καὶ
κείνους ῾Ηρακλέης ἐφ᾿ ὁδῷ,
ὅτι πρόσθε ποτὲ Τιρύνθιον

16. ὀλυμπιάδι νικῶν *D*: ὀλυμπία νικῶν *B*[1]*C*, ὀλυμπιονικῶν *A* — 17. ἴλᾳ *BD*: ἰόλα *AC* — 19. ᾿Αχιλλεῖ *CD* — 20. θάξαις Ahrens — κε *BD*: καὶ *AC* — φύντ᾿ *ABD*: φῶτ᾿ *C* — ποτὲ *A* — 21. παλάμαις *AC* — 22. τινὲς παῦροι *D* — 23. βιότω (ου supra) *C* — 24. ἐξήριτον ex schol. (?) elicuit Hermann — 25. βωμῶν *A* et schol.: βωμὸν *C*, βωμῷ *BD*; τὰ πρῶθ᾿ coni. Rauchenstein, ipse πόνων tentavi — ἐκτίσατο *A* et schol.: ἐκτήσαθ᾿ ῾Ηρακλέης *C*, ἡρακλέης ἐκτίσσ. *BD*, βίη ῾Ηρακλέος ἐκτίσσ. (βωμῶν ἑξάριθμον omissis) *Byz.* — 26. ποσειδάνειον *B* — 28. ὥστ᾿ *A* — 29. ἀέκων θ᾿ *C*[1] — 30. κἀκείνους codd. —

ἔπερσαν αὐτῷ στρατὸν
μυχοῖς ἥμενοι Ἄλιδος

Μολίονες ὑπερφίαλοι. 'Επ. β'.
καὶ μὰν ξεναπάτας
Ἐπειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν ἴδε πατρίδα πολυ-
κτέανον ὑπὸ στερεῷ πυρὶ
πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας
ἵζοισαν ἑὰν πόλιν.
νεῖκος δὲ κρεσσόνων
ἀποθέσθ' ἄπορον.
καὶ κεῖνος ἀβουλίᾳ ὕστατος
ἁλώσιος ἀντάσαις
θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.

ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν Στρ. γ'.
λαίαν τε πᾶσαν Διὸς ἄλκιμος
υἱὸς σταθμᾶτο ζάθεον ἄλσος
πατρὶ μεγίστῳ. περὶ δὲ πά-
ξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ
διέκρινε, τὸ δὲ κύκλῳ πέδον
ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ

---

33. *ἥμενοι* Heyne: *ἥμενον* (*ἅμεν B*) *ABCD* et schol. — 34. *μολίωνες A* — *ξειναπ. AC* — 35. *βασιλεὺς ἐπειῶν BD* — 36. *ἴδε Byz.*: *εἶδε ABCD* — 41. *ἀβουλίᾳ* Tricl.: *ἀβουλίαις ABCD* — 42. *ἀντάσαις* Boeckh: *ἀντιάσας ABCD* — 43. *ἄρ'*: *ἂν A* — *ἔλσαις*: *ἐάσας A* — *τε* om. *C* — 45. *Ἆλιν* v. l. schol. — 46. *πέδον ἔθηκε* Tricl.: *δάπεδον θῆκε ABCD* — 48. *τιμάσαις*: *ἀγάλλων* coni. Hermann; cf. v. 90 —

μετὰ δώδεκ' ἀνάκτων θεῶν· καὶ πάγον 'Αντ. γ΄.
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε,
  βρέχετο πολλᾷ νιφάδι. ταύ-
  τᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ' ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον

Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν 'Επ. γ΄.
  πόρσω κατέφρασεν,
ὅπα τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ
  πενταετηρίδ' ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν 'Ολυμπιάδι πρώτᾳ
νικαφορίαισί τε.
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι, ποσίν τε καὶ ἅρματι,
ἀγώνιον ἐν δόξᾳ
  θέμενος εὖχος, ἔργῳ καθελών;

στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον Στρ. δ΄.
ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου

---

49. δώδεκα δ' D — ἀνάκτων: ἀθανάτων C — 51. νώνυμνος Byz.: νώνυμος CD, νώνυμον AB — τελευτᾷ C et lemma in A — 53. τ': δ' et deinde χρόνος τόδε coni. Hartung — 55. τὸ δ' ἐσ ἀφανὲς CD — 56. πολέμοιο ex corr. A — 57. ἀκρόθυνα D — 58. πρῶτα BD — 62. ἅρματι ACD: ἅρμασιν B — 63. ἐνδόξαν D (αν ex corr.) — 64. σταδίου coni. Hermann — εὐθὺν τόνον (εὐθὺν πόνον Hermann) coni. Thiersch: εὐθύτονον ABCD, εὐθύδρομον coni. Schmid — 65. ποσσὶ AB: ποσὶ CD —

Οἰωνός· ἶκεν δὲ Μιδέαθεν
στρατὸν ἐλαύνων· ὁ δὲ πάλᾳ
κυδαίνων Ἔχεμος Τεγέαν·
Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος
Τίρυνθα ναίων πόλιν·
ἀν' ἵπποισι δὲ τέτρασιν

ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου· 'Αντ. δ'.
ἄκοντι Φράστωρ δ' ἔλασε σκοπόν·
μᾶκος δὲ Νικεὺς ἔδικε, πέτρῳ
χέρα κυκλώσαις, ὑπὲρ ἁπάν-
των, καὶ συμμαχία θόρυβον
παραίθυξε μέγαν. ἐν δ' ἕσπερον
ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

ἀείδετο δὲ πᾶν τέμενος 'Επ. δ'.
τερπναῖσι θαλίαις
τὸν ἐγκώμιον ἀμφὶ τρόπον. —
ἀρχαῖς δὲ προτέραις ἑπόμενοι
καί νυν ἐπωνυμίαν χάριν
νίκας ἀγερώχου κελαδησόμεθα βροντὰν
καὶ πυρπάλαμον βέλος
ὀρσικτύπου Διός,

---

67. δὲ φέρε ἀπὸ πυγμᾶς *B* — 69. ἀνίπποισι καὶ τετρ. (ἐν supra ἀν) *A* — 70. Σᾶμος ὡλιροθίου Boeckh: Σᾶμος ὁ Ἁλιρροθίου v. l. schol., σᾶμ' ἀλιρροθίου (-ίους *A*ᵃᶜ et lemma in *A*) *ABCD* — 71. ἄκοντι Φράστωρ δ' Tricl.: ἄκοντι δὲ Φράστωρ *ABCD* — 72. νικεὺς (δὲ om.) *A*: δ' ἐνικεὺς *BCD* et schol. — ὑπὲρ ἅπαντας *Byz.* — συμμαχία *BCD*: συμμαχίᾳ *A*, utrumque schol. — 73. παρέθηξε *AB* — ἂν δ' Hartung — 76. ἄειδε δὲ τὸ πᾶν coni. Grashoff — θαλίαισι *C* — 80. πυρπάλαμνον *C* —

ἐν ἅπαντι κράτει
αἴθωνα κεραυνὸν ἀραρότα.
χλιδῶσα δὲ μολπὰ πρὸς
κάλαμον ἀντιάξει μελέων,

τὰ παρ' εὐκλέι Δίρκᾳ χρόνῳ μὲν φάνεν· Στ. ε'.
ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ
ποθεινὸς ἵκοντι νεότατος
τὸ πάλιν ἤδη, μάλα δέ ϝοι
θερμαίνει φιλότατι νόον·
ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
ἐπακτὸν ἀλλότριον
θνάσκοντι στυγερώτατος·

καὶ ὅταν καλὰ ϝέρξαις ἀοιδᾶς ἄτερ, Ἀντ. ε'.
Ἀγησίδαμ', εἰς Ἀίδα σταθμὸν
ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις
ἔπορε μόχθῳ βραχύ τι τερπ-
νόν. τὶν δ' ἁδυεπής τε λύρα
γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν·
τρέφοντι δ' εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

ἐγὼ δὲ συνεφαπτόμενος Ἐπ. ε'.
σπουδᾷ κλυτὸν ἔθνος

84. *ἀντιάζει C* — 85. *εὐκλέι Byz.*: *εὐκλεεῖ ABCD* — 86. *ὥστε* codd. — 87. *νεότητος* A^s et lemma in *C*: *νεότατι* A^i *BCD* — *τὸ πάλιν* Tricl.: *τοὔμπαλιν ABD*, *δ' ἔμπαλιν C* — *δέ οἱ* Boeckh: *δέ τοι ABCD*; *οἷ* etiam scholia legisse videntur — 90. *θανόντι* coni. Hermann; cf. v. 48 — 91. *καλὰ Byz.*: *καλὰ μὲν ABCD* — 93. *ἔπορε· ἔλαβε* coni. Herwerden — *βραδὺ* v. l. schol. *A* — 94. *ἀναπλάσσει* $A\,C^2\,D^2$ — 97. *ἐγώ τε C* —

Λοκρῶν ἀμφέπεσον, μέλιτι
εὐάνορα πόλιν καταβρέχων·
παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
βωμὸν παρ' Ὀλύμπιον
κεῖνον κατὰ χρόνον,
ἰδέᾳ τε καλὸν
ὥρᾳ τε κεκρᾱμένον, ἅ ποτε
ἀναιδέα Γανυμήδει
μόρον ἄλαλκε σὺν Κυπρογενεῖ.

---

98. *ἀμφίεπον* susp. Bergk — 99. *ἐρατὸν Ἀρχ.* *ABCD*, *δ'* add. Mosch. — 100. *αἰνήσας* *A* — 104. *κεκραμμένον* *D* — 105. *γαννυμ.* *BCD* — *μόρον* coni. Mommsen: *θάνατον* codd., *πότμον* coni. Schmid.

ΟΛΥΜΠ. ΙΑʹ

ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

ΠΑΙΔΙ ΠΥΚΤΗι Ol. 74 = 484 a. Ch.

Strophae.

–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – |
–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – |
–̈ ⏑ – – ∸ ⏑⏑ – |
–̈ ⏑ – ⏑ ∸ ⏑ –, – –̈ ⏑⏑ – ⏑⏑ – ⏓ |
–̈ ⏑ – – ∸ ⏑ –
–̈ ⏑ – | – ∸ ⏑ – ⏓ –̈ ⏑⏑ – ⏑⏑ – |

Epodi.

–̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – – |
–̈ ⏑⏑ – ⏑⏑ – –
–̈ ⏑ – | ⏑̇⏑ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – |
–̈ ⏑ – – ∸ ⏑ – ⏓ ∸ ⏑ – |
–̈ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – |
–̈ ⏑ – – ∸ ⏑ – |
–̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – – ∸ ⏑ ⏓ |
–̈ ⏑⏑ – – ∸ ⏑ – – |
–̈ ⏑ – ⏑ ∸ ⏑ – | –̈ ⏑ – – ∸ ⏑ – ⏓ |

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα Στρ.
χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων,
ὀμβρίων παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσῃ, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχὰ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις Ἀντ.
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει·
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως·
ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν

κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας Ἐπ.
ἁδυμελῆ κελαδήσω,
τῶν Ἐπι- ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι
ὔμμιν, ὦ Μοῖσαι, φυγόξεινον στρατὸν

---

4. πόνῳ codd. et schol.: μόχθῳ Hermann — πράσσῃ Hartung: πράσσοι *ABD*, πράσσων *C*, πράσσει Heyne — μελίγαρυς omisso ὕμνοι coni. Wilamowitz, μελίγαρυς ἀοιδή coni. Schmid — 5. ἀρχὰ *A* et schol.: ἀρχαὶ *BCDE* — 8. ἄγκειται *Byz.*: ἔγκειται *ABCDE*; cf. O. xiii 36 — 9. ποιμαίνειν: πορσαίνειν coni. Hecker — 10. ὁμοίως ex scholiis rest. Leutsch: ὅμως ὢν *CNO*, om. *ABDE*, ἐσαεὶ ante πραπίδεσσιν add. Mosch. Tricl., post πραπίδεσσιν add. ἐσαιεὶ Bergk [1] — 13. κόσμον: κῶμον coni. Bergk — ἐπὶ *BCD*: ἀμφὶ *A* — 15. Ζεφυρίων lemma in *A*, ut traditum est O. x 16 et P. ii 20; τῶν ἐπὶ Ζεφυρίῳ coni. M. Schmidt, τῶν ἐπὶ del. Boehmer et Schroeder — 16. ἐγγυάομαι coni. Herwerden — 17. ὔμμιν ex schol. Bergk et De Jongh: μή μιν *ABCD*, μή τιν' Thiersch — φυγόξεν. *BD* —

μηδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέον- τες διαλλάξαντο ϝῆθος.

---

19. δὲ *E F* et schol.: τε *A B C D* — 20. εὐφυὲς *A* — 21. οὔτ' *B C D*: οὐδ' *A* — διαλλάξαντο Lehrs et Schroeder: διαλλάξαιντο codd., διαλλάξαιντ' ἄν Hartung.

ΟΛΥΜΠ. ΙΒ′

ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩ

ΔΟΛΙΧΕΙ Ol. 77 = 472 a. Ch.

Strophae.

–̈ ⏑ – – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – –̈ ⏖ – ⏖ – – –̈ ⏖ – |
–̈ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – |
–̈ ⏑ – – ∸ ⏑ – – –̈ ⏖ ⏓ |
–̈ ⏑ – – –̈ ⏖ – ⏖ – – |
–̈ ⏑ – ⏓ ∸ ⏑ – | – –̈ ⏖ – ⏖ – – | –̈ ⏑ – – ∸ ⏑ ⏓ |

Epodi.

–̈ ⏖ – ⏖ – – –̈ ⏑ – ⏓ |
–̈ ⏖ – ⏖ – – –̈ ⏑ – ⏓ ∸ ⏑ ⏓ |
–̈ ⏑ – – –̈ ⏖ – ⏖ ∸ ⏖ – |
– –̈ ⏖ – ⏖ – – –̈ ⏑ – – ∸ ⏑ – – |
–̈ ⏑ – ⏓ –̈ ⏖ – ⏖ – |
–̈ ⏑ – – ∸ ⏑ – – –̈ ⏖ – |
–̈ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – | –̈ ⏑ – – ∸ ⏑ – – |

Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου, *Στρ.*
Ἱμέραν εὐρυσθενέ᾽ ἀμφιπόλει, Σώτειρα Τύχα.

2. *ἱμέραν AB*pc: *ἱμέρα B*ac*C*1, *ἱμέρα D*pc, *ἱμέρας C*2*D*ac — *εὐρυσθενέος CD*ac — *ἀμφιπόλει A*: *ἀμφὶ πόλει BCD*,

τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
πόλλ' ἄνω, τὰ δ' αὖ κάτω, ψεύδη μεταμώνια τάμ-
νοισαι, κυλίνδοντ' ἐλπίδες·

σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων 'Αντ.
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν,
τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος, οἱ δ' ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ
πεδάμειψαν χρόνῳ.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν, 'Επ.
ἐνδομάχας ἅτ' ἀλέκτωρ, συγγόνῳ παρ' ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας.
νῦν δ' 'Ολυμπίᾳ στεφανωσάμενος,
καὶ δὶς ἐκ Πυθῶνος, 'Ισθμοῖ τ', 'Εργότελες,
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμι-
λέων παρ' οἰκείαις ἀρούραις.

---

utrumque agnoscunt scholia — τύχᾳ *A* — 5. βολαφόροι C^{ac} D^{1}, βουληφόροι D^{s} — 6. ψευδῆ codd. — 8. πράξηος *A* — 10. ἀνθρώποισι *A* — ἔπεσσεν *B* — 11. ἀνιεραῖς *D* — 12. πεδάμειψαν $B^{1}CD$: παῖδ' ἄμειψαν *A*, ποτάμειψαν B^{s} — 14. συγγενεῖ Hartung — 15. κατεφυλλορόησεν Hermann — 16. Κνωσσ. *A* — σ' ἄμερσε *A* et schol., σ' om. *BCDE* — 17. δ' ἐν ὀλυμπίᾳ *A* — 18. δὶς ἐκ *BCD*: δι' ἐκ *A*; δὶς ἐν Πυθῶνι *Byz.* — 19. θερμᾶν? A^{s} — λουτρᾶν *A*.

Ptöodoros Terpsias

Thessalos Eritimos

Xenophon

May 20

ΟΛΥΜΠ. ΙΓ'.

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι

ΣΤΑΔΙΟΔΡΟΜΩι ΚΑΙ ΠΕΝΤΑΘΛΩι (s. p. 289)

Ol. 79 = 464 a. Ch.

Strophae.

⏑⏑ –⏑ ⏑ – ⏒
⏑ – ⏑ – | – ⏑ –⏑ ⏑ – ⏒ |
⏑ – ⏑ ⏑⏑ ⏑ – – – ⏑ ⏒ |
– – ⏑ ⏕ ⏑ – ⏑ – ⏑ ⏒ |
⏑⏑ – ⏑ – – ⏑ –⏑ ⏑ – ⏒ |
⏓ – ⏑ –⏑ ⏑ – – – ⏑ – – | –⏑ ⏑ –⏑ ⏑ – | – ⏑ ⏒
⏓ –⏑ ⏑ – | ⏑ ⏑ – – –⏑ ⏑ –⏑ ⏑ – ⏒
– ⏑ – | – ⏑ – – –⏑ ⏑ ⏒ |

Epodi.

– –⏑ ⏑ –⏑ ⏑ – | –⏑ ⏑ –⏑ ⏑ – – – ⏑ – ⏒ |
– ⏑ – – –⏑ ⏑ –⏑ ⏑ ⏒ |
– ⏑ – ⏒ –⏑ ⏑ – | – ⏑ – –
⏕ ⏑ – – | – ⏑ – – – ⏑ ⏒ |
– ⏑ – – – ⏑ – – | –⏑ ⏑ –⏑ ⏑ ⏒ |
⏑⏑ – – ⏑ – – ⏕ ⏑ ⏒ |
– ⏑ – – – ⏑ –, | – ⏑ – – ⏕ ⏑ – ⏒ |

5*

Τρισολυμπιονίκαν Στρ. α'.
ἐπαινέων - οἶκον ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν **Κόρινθον**, Ἰσθμίου
πρόθυρον Ποτει- δᾶνος, ἀγλαόκουρον.
ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασιγνή-
  τα τε, βάθρον πολίων - ἀσφαλές,
Δίκα καὶ ὁμότροφος Εἰρήνα, ταμίαι ἀνδράσι πλούτου,
χρύσεαι - παῖδες εὐβούλου Θέμιτος·

ἐθέλοντι δ' ἀλέξειν Ἀντ. α'.
ὕβριν, κόρου - ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν·
ἄμαχον δὲ κρύ- ψαι τὸ συγγενὲς ἦθος.
ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν νι-
  καφόρον ἀγλαΐαν - ὤπασαν
ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,
πολλὰ δ' ἐν - καρδίαις ἀνδρῶν ἔβαλον

Ὧραι πολυάνθεμοι ἀρ- Ἐπ. α'.
  χαῖα σοφίσματα· πᾶν δ' εὑρόντος ἔργον.

---

3. ξέν. *E*: ξείν. *B C D* — δὲ: τε *C* — 5. ποτειδ. *Byz.*: ποσειδ. *B C*, ποτιδ. *D E*; cf. v. 40 — 6. ἐν τᾶδε γὰρ $B\ D^{pc}$ — κασιγνήτα $C\ D^2$ et schol.: κασίγνηται $B\ D^1$ — Δίκα πολίων ἀσφαλὲς βάθρον Schmid — ἀσφαλὲς N.: ἀσφαλὴς *B C D* — 7. ὁμότροφος C^1 et schol.: ὁμότροπος $B\ C^2\ D$ — εἰράνα *C* — 9. ἀλεξεῖν *B C D E* — 10. θρασύμυθον *B E*: θρασύθυμον $C\ D^2$, θρασύβουλον D^1; fort. θρασυμύθου secundum O. II 105 — 11. καλά τοι (an ται?, τε lemma) φρ. *B* — 14. ὤπασεν C^1 — 15. ὑπερελθοῦσιν Mosch. — ἀέθλοισι *B C D E* — 17. σοφίσματα. ἅπαν *B C*, σοφίσματ'. ἅπαν *D*: σοφίσμαθ' ἅπαν *Byz.* et edd. —

ταὶ Διωνύσου πόθεν ἐξέφανεν
σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;
τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,
ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον
ἐπέθηκ᾽; ἐν δὲ Μοῖσ᾽ ἁδύπνοος,
ἐν δ᾽ Ἄρης ἀνθεῖ νέων
οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

ὕπατ᾽ εὐρὺ ϝανάσσων — Στρ. β΄.
Ὀλυμπίας, ἀφθόνητος ἔπεσσιν
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων
Ξενοφῶντος εὔ-θυνε δαίμονος οὖρον·
δέξαι δέ ϝοι στεφάνων ἐγκώμιον τεθ-
μόν, τὸν ἄγει πεδίων ἐκ Πίσας,
πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν
τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.

δύο δ᾽ αὐτὸν ἔρεψαν — Ἀντ. β΄.
πλόκοι σελί-νων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ᾽ οὐκ ἀντιξοεῖ.
πατρὸς δὲ Θεσσαλοῦ ἐπ᾽ Ἀλφεοῦ
ῥεέθροισιν αἴγ-λα ποδῶν ἀνάκειται,
Πυθοῖ τ᾽ ἔχει σταδίου τιμὰν διαύλου τ᾽
ἀελίῳ ἀμφ᾽ ἐνί, μη-νός τέ ϝοι

---

18. διων. Mosch.: διον. BCD — 19. βοηλάτω C — 20. τίς δ᾽ ἄρ᾽ coni. Hermann probabiliter — fort. ἱππείοισιν — ἔντεσσιν Mosch.: ἔντεσι BCD — 21. βασιλέα Boeckh[2]: βασιλῆα codd., βασιλῆα δίδυμνον Boeckh[1] — 23. αἰχμᾶσιν D[1] — 26. μένοιο B — 29. δέ BD: τέ C et schol. — Πισσ. C — 31. πρότερος C — 37. τ᾽ ἔχει BD: δ᾽ ἔχει C et schol. —

τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία Ϝέργα ποδαρκὴς
ἁμέρα- θῆκε κάλλιστ' ἀμφὶ κόμαις·

Ἑλλώτια δ' ἑπτάκις. ἐν Ἐπ. β'.
δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι
Τερψίᾳ θ' ἕψοντ' Ἐριτί- μῳ τ' ἀοιδαί.
ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε
ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέσιν
περὶ πλή-θει καλῶν, ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν
ποντιᾶν ψάφων ἀριθμόν.

ἕπεται δὲ Ϝεκάστῳ Στρ. γ'.
μέτρον· νοῆ- σαι δὲ καιρὸς ἄριστος.
ἐγὼ δὲ Ϝίδιος ἐν κοινῷ σταλείς,
μῆτίν τε γαρύων παλαιγόνων
πόλεμόν τ' ἐν ἡ- ρωίαις ἀρεταῖσιν
οὐ ψεύσομ' ἀμφὶ Κορίνθου, Σίσυφον μὲν
πυκνότατον παλάμαις ὡς θεόν,
καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,
ναΐ σώ- τειραν Ἀργοῖ καὶ προπόλοις.

---

38. ποδαρκὲς *B* — 40. ποτειδ. lemma *B*, in *B* τει paene evanuit, ποτιδ. *D*, ποσειδ. *C*; cf. v. 5 — 42. Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ex schol. Schmid: τέρψιες θ' (τερψίαιθ' *B*[s], θ' non interpretantur schol.) ἕψοντ' ἐρίτιμοι τ' *B C D E* — ἕσποντ' coni. Bothe — 44. πολέσι (-σιν *C*) *B C*, πολέεσσι *D*, πόλισιν susp. Bergk — 46. ψᾶφον *D*[1] — 47. δὲ Ϝεκ. susp. Mommsen: δ' ἑκ. *C* et schol., δ' ἐν ἑκ. *B D* — 51. ἡρώαις *B*[1] *D* — 52. ψεύδομαι *C*[1] — κορίνθου *N O*: κορίνθῳ *B*, κορίνθω *CD* (ω in ras. *D*), genetivo in simili re usus est poeta O. I 36 et N. X 4 — ὡς θεὸν] ὑμνέων vel αἰνέων coni. Bossler — 53. ἀντίαν *B*[ac] — αὐτᾷ: fort. αὐτάν — 54. προσπ. *C*[pc] *D* —

τὰ δὲ καί ποτ᾿ ἐν ἀλκᾷ — Ἀντ. γ΄.
πρὸ Δαρδάνου - τειχέων ἐδόκησαν
ἐπ᾿ ἀμφότερα· μαχᾶν τάμνειν τέλος,
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος
Ἑλέναν κομί-ζοντες, οἱ δ᾿ ἀπὸ πάμπαν
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόν-
τα τρόμεον Δαναοί. - τοῖσι μὲν
ἐξεύχετ᾿ ἐν ἄστεϊ Πειράνας· σφετέρου πατρὸς ἀρχὰν
καὶ βαθὺν - κλᾶρον ἔμμεν καὶ μέγαρον·

ὃς τᾶς ὀφιώδεος υἱ- — Ἐπ. γ΄.
όν ποτε Γοργόνος ἦ πόλλ᾿ ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
πρίν γέ ϝοι χρυσάμπυκα κού- ρα χαλινὸν
Παλλὰς ἤνεγκ᾿· ἐξ ὀνείρου δ᾿ αὐτίκα
ἦν ὕπαρ· φώνασε δ᾿· „Εὕδεις, Αἰολίδα βασιλεῦ;
ἄγε φίλ-τρον τόδ᾿ ἵππειον δέκευ,
καὶ Δαμαίῳ νιν θύων
ταῦρον ἀργᾶντα πατρὶ δεῖξον."

κυάναιγις ἐν ὄρφνᾳ — Στρ. δ΄.
κνώσσοντί ϝοι - παρθένος τόσα ϝειπεῖν
ἔδοξεν· ἀνὰ δ᾿ ἔπαλτ᾿ ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον - μάντιν ἄσμενος εὗρεν,
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
πράγματος, ὥς τ᾿ ἀνὰ βω-μῷ θεᾶς

---

65. πρίν τέ *C* — 68. σὺ δ᾿ ἄγε coni. Hermann, ἄγε δὲ Mommsen — δέχευ *BD* — 69. ἀργᾶντα *BCD*: ἀργὸν *Byz.*, ἀργᾶν Hermann collato Aesch. Ag. 116, utrumque pessimis numeris — 71. τόσσα *BC* — 73. παρακ. D^{ac} —

κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος, ὥς τέ ϝοι αὐτὰ
Ζηνὸς ἐγ- χεικεραύνου παῖς· ἔπορεν

δαμασίφρονα χρυσόν. 'Αντ. δ'.
ἐνυπνίῳ - δ' ἆ τάχιστα πιθέσθαι
κελήσατό νιν, ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' ἀνερύῃ Γαιαόχῳ,
θέμεν Ἱππείᾳ - βωμὸν εὐθὺς Ἀθάνᾳ.
τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον
  καὶ παρὰ ϝελπίδα κούφαν κτίσιν.
ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,
φάρμακον - πραῢ τείνων ἀμφὶ γέννι,

ἵππον πτερόεντ'· ἀναβὰς 'Επ. δ'.
  δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιξεν.
σὺν δὲ κείνῳ καί ποτ' Ἀμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ- πων ἐρήμων
τοξόταν βάλλων γυναικεῖον στρατόν,
καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.
διασω-πάσομαί ϝοι μόρον ἐγώ·
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι
  Ζηνὸς ἀρχαῖαι δέκονται. — — —

---

76. ἀπὸ κείνου Boeckh: ἀπ' ἐκείνου codd. — 79. δ' ἆ E: δαὶ CD^1, δὲ (δε) BD^2 — πιθέσθαι D: πείθεσθαι B C — 81. ἀνερύῃ Boeckh scholia secutus (cf. P. II 28. III 24. I. VIII 58): ἀναρύῃ B C D, ἀνερύῃ Mosch. — γαιαόχῳ B C D: γεαόχῳ Byz. — 82. εὐθὺς B C D E: ἐγγὺς N O P — 83. τελεῖ B C D: πληροῖ Tricl., τέλλει Hermann — δὲ om. D et Boeckh — παρ' ἐλπ. Byz.: τὰν παρ' ἐλπ. B C D — 85. τεῖνον B^3 — 86. χαλκευτής coni. Hecker — ἔπαιξε C — 88. ἐρήμων coni. Hermann: ἐρήμου codd. et schol. — 89. βάλλων: βάλλεν Boeckh — 90. χείμεραν C — 91. διασωπ. B C D: διασιωπ. Hermann metro aliter constituto; cf. I. I 63 —

ἐμὲ δ' εὐθὺν ἀκόντων Στρ. ε'.
ἱέντα ῥόμ-βον παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν
Ὀλιγαιθίδαι- σίν τ' ἔβαν ἐπίκουρος.
Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ παύρῳ ϝέπει θή-
σω φανέρ' ἀθρό', ἀλα- θὴς τέ μοι
ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν
ἁδύγλωσ- σος βοὰ κάρυκος ἐσλοῦ.

τὰ δ' Ὀλυμπίᾳ αὐτῶν Ἀντ. ε'.
ἔοικεν ἤ- δη πάροιθε λελέχθαι·
τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές·
νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν
τέλος· εἰ δὲ δαί- μων γενέθλιος ἕρποι,
Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσ-
σειν. τὰ δ' ὑπ' ὀφρύι Παρ- νασίᾳ,
ἐν Ἄργεΐ θ' ὅσσα καὶ ἐν Θήβαις, ὅσα τ' Ἀρκάσιν ἄσσων
μαρτυρή- σει Λυκαίου βωμὸς ἄναξ,

---

95. κρατ. *D* — 96. μοίσαις Mosch.: μοίσαισι *BCD* — ἑκὼν *Byz.*: εἴκων *BCD* — 97. post ἐπίκουρος ante Bergkium non interpungebatur — 98. παύρῳ ϝέπει θήσω coni. Bergk: παύρῳ δ' ἔπει θήσω *D* et schol., παύρῳ δ' ἐπιθήσω *B C* — 99. ἔξορκος scripsi: ἔξορκος codd. et schol., εἷς ὅρκος coni. Bergk, ἀνθόρκιος ἔσσεται Hartung, εὐόρκῳ Bossler — δὴ coni. Hermann: δ' *BCD* — 103. τά τ' *BD*: τά δ' *C* — 105. ὁ γενέθλ. *B C D*, ὁ om. *N* — 106. Δὶ Boeckh: διὶ codd. — Παρνασσ. *C* B^{pc} — 107. ἐν Ἄργεΐ θ' N: ἐν Ἄργει δ' *D*, ἒξ ἄρατο ἐν Ἄργει δ' *B*, ἒξ ἄργει θ' *C*, ἕξ· Ἄργει δ' Bergk — ὅσα τ' codd.: ὅσα δ' Hermann — Ἀρκάσιν ἄσσων scripsi: Ἀρκάσιν ἀνάσσων *BCD*, Ἀρκὰς ἀνάσσων *Byz.*, Ἀρκὰς ἀνάσσων Hermann, Ἀρκάδ' ἀν' αἶαν Häberlin, Ἀρκάσιν ἄθλοις Kayser, Ἀρκάσι βάσσαις Bergk —

Πέλλανά τε καὶ Σικυὼν 'Επ. ε'.
καὶ Μέγαρ' Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος,
ἅ τ' Ἐλευσὶς καὶ λιπαρὰ Μαραθών,
ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου - καλλίπλουτοι
πόλιες, ἅ τ' Εὔβοια· καὶ πᾶσαν κατὰ
Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς διΐμεν.
ἄνα, κού-φοισιν ἐκνεῦσαι ποσίν·
Ζεῦ τέλει', αἰδῶ δίδοι
καὶ τύχαν τερπνῶν γλυκεῖαν.

109. πελά. C^{ac} — 113. διΐμεν scripsi: ἰδέμεν codd., ἀριθμεῖν coni. Hartung — 114. ἄνα coni. Pauw: ἀλλὰ codd. — 115. αἰδῶ δίδοι Boeckh: αἰδῶ τε δίδοι *B C D*, αἰδὼ διδοὺς *Byz.*

ΟΛΥΜΠ. ΙΔ'.

ΑΣΩΠΙΧΩι ΟΡΧΟΜΕΝΙΩι

ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ

Ol. 76 = 476 a. Ch.

Strophae.

– – ⏑ –⏑ ⏑ – ⏑ – ⏑̄ – ⏑ –⏑ ⏑ – ⏑ – ⏑ –
–⏑ ⏑ – ⏑ – ⏑ –⏑ ⏑ – ⏑̲
⏑⏑ ⏑ –⏑ ⏑ – ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – ⏑ –
–⏑ ⏑ – ⏑ – – ⏑ – –⏑ ⏑ – ⏑ –
–⏑ ⏑ – ⏑ – –⏑ ⏑ ⏑̲
–⏑ ⏑ –⏑ ⏑ – ⏑ –⏑ ⏑ – –
– ⏑ – ⏑⏑ – –⏑ ⏑ – ⏑ –
–⏑ ⏑ –⏑ ⏑ – – ⏑ – ⏑ – ⏑ – –⏑ ⏑ –
– – ⏑ – ⏑ – – ⏑ – –⏑ ⏑ – ⏑ ⏒
– –⏑ ⏑ – ⏑̄ – ⏑ –
–⏑ ⏑ – ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – ⏑ – –

Καφισίων ὑδάτων λαχοῖσαι *Στρ. α'.*
αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι

---

1. *καφισσ.* *D* — *αἵτε* codd.: *ταίτε* Bergk, *λαχοῖσαν αἵτε* Boeckh, verisimiliter — *καλλίπωλον* *B C*[2] *D*: *καλλίβωλον* *C*[1], utrumque schol. —

Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ', ἐπεὶ εὔχομαι·
σὺν γὰρ ὔμ- μιν τά τε τερπνὰ καὶ
τὰ γλυκέ' ἄνεται - πάντα βροτοῖς,
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.
οὐδὲ γὰρ θεοὶ ἁγ- νᾶν Χαρίτων ἄτερ
κοιρανέοντι χοροὺς
οὔτε δαῖτας· ἀλλὰ πάν- των ταμίαι
ἔργων ἐν οὐρανῷ,
χρυσότο- ξον θέμεναι παρὰ
Πυθῷον Ἀπόλλωνα θρόνους,
ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.

ὦ πότνι' Ἀγλαΐα φιλησί- Στρ. β'.
μολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου
παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε
ἐρασίμολπε, Ϝιδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
κοῦφα βιβῶντα· Λυ-
δῷ γὰρ Ἀ- σώπιχον ἐν τρόπῳ

3. Ὀρχ. *B C D E*: Ἐρχ. ex recc. codd. Boeckh; cf. I. I 35 — 4. ὔμμιν Hermann: ὑμῖν *BCD*, σὺν ὔμμιν γὰρ coni. Boeckh, vide antistr. — τά τε τερπνὰ coni. Hermann: τὰ τερπνὰ *B D*, τὰ τερπνά τε *C* — 5. γλυκέα γίνεται codd., γλυκέ' ἄνεται coni. Kayser, cui coniecturae glossa cod. N τανύεται a Schroedero Philol. 54, 283 edita favet — 7. οὐδὲ coni. Schneidewin: οὔτε codd. — οἱ θεοὶ *D* — ἁγνᾶν coni. Kayser: σεμνᾶν codd., θεμερᾶν θεοὶ Bergk; conf. antistr. — 8. κοιρανέοντι codd.: κοιρανέοισιν Boeckh; vide antistr. — 9. χορὸν C^{s} — 10. Πυθῷον Ahrens: πύθιον codd. — Ἀπόλλωνος C^{1} — 11. ἀέναον *Byz.*: ἀένναον *BCD* — 12. ὦ om. *BCD*, add. Boeckh — κρατίστου παῖδες codd.: κρατιστόπαιδες interpretantur schol. — 13. ἐπακοοῖτε νυν coni. Bergk: ἐπάκοοι νῦν codd. et schol., ἐπαΐοιτε νῦν coni. Hartung, ἐπάκοοι τὸ νῦν Hermann 1847 — 14. ἐρασίκολπε coni. Vogt — 15. Λυδῷ coni. Pauw: λυδίῳ codd. — Ἀσώπιον *E* —

ἐν μελέταις τ' ἀεί-δων ἔμολον,
οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια
σεῦ ϝέκατι. μελαν- τειχέα νῦν δόμον
Φερσεφόνας ἔλυθ', Ἀ-
χοῖ, πατρὶ κλυτὰν φέροισ' - ἀγγελίαν,
Κλεόδαμον ὄφρ' ἰδοῖσ'
υἱὸν εἴ- πῃς, ὅτι ϝοι νέαν
κόλποισι παρ' εὐδόξου Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.

---

16. *ἔν τε μελέταις* coni. Hermannus; v. stroph. — 18. *μελαντειχέα* codd.: *μελανοτ.* Boeckh; vide stroph. — 19. *περσεφ.* *C* — *ἔλυθ'* coni. Ahrens: *ἐλθὲ* *B C D*, *ἴθι* *Byz.*; *Φερσεφόνειον ἴθ' Ἀχοῖ* coni. Hermann — 20. *κλεοδάμῳ* *B* — *νέον* *B* — 21. *κόλποισι* *B C D*: *κόλποις* *E*; vide stroph. — *εὐδόξου* coni. Boeckh: *εὐδόξοιο* *B C D*, *εὐδόξοις* coni. Bergk.

ΠΥΘΙΟΝΙΚΑΙΣ.

Α'.

ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι

ΑΡΜΑΤΙ

Pyth. 29 = 474 (470*) a. Ch.

Strophae.

´ ⏑ – – ´ ⏑ – – | ´ ⏑⏑ – ⏑⏑ ⏓ |
´ ⏑ – – ´ ⏑⏑ – | ´ ⏑ – – ´ ⏑⏑ – ⏑⏑ ´ – ⏓ |
´ – ´ ⏑ – – ´ ⏑ ⏓ |
– ´ ⏑⏑ – ⏑⏑ – ⏓ ´ ⏑ – | ´ ⏑ – – ´ ⏑⏑ – ⏑⏑ – |
´ ⏑ – – ´ ⏑ – – ´ ⏑ ⏓ |
´ ⏑⏑ – ⏑⏑ – | ´ ⏑ – – ´ ⏑⏑ – ⏑⏑ – | – ´ ⏑⏑ – ⏑⏑ – |
[´ ⏑ – ⏓ |

Epodi.

´ ⏑⏑ – ⏑⏑ – – | ´ ⏑ – – ´ ⏑ ⏓ |
´ ⏑⏑ – ⏑⏑ – ⏓ | ´ ⏑ – – ´ ⏑⏑ – ⏑⏑ ⏓ |
´ ⏑ – – ´ ⏑ – – | ´ ⏑ – ⏑⏑ – ⏓ |
– ´ ⏑⏑ – ⏑⏑ – – ´ ⏑ ⏓ |
⏑⏑ ⏑ – – ´ ⏑⏑ – | ⏑⏑ – – ´ ⏑ – |
´ ⏑ – – ´ ⏑⏑ – ⏑⏑ – – |
⏑⏑ ⏑ – – ´ ⏑ – –, | ´ ⏑ – – ´ ⏑ – – | ´ ⏑⏑ – ⏑⏑ ⏓ |
⏑⏑ – – ´ ⏑⏑ –, ⏑⏑ ⏑ – – ´ ⏑ – ⏓ |

---

*) numeri uncinis inclusi sunt Bergkiani calculi, qui Pythiades a Pythiade Ol. 49, 3 (non Ol. 48, 3) tamquam prima numerari ducebat.

Στρ. α'.

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον·
τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν προοιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα,
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός· εὕ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖ-
αν πτέρυγ' ἀμφοτέρω- θεν χαλάξαις

Ἀντ. α'.

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί ϝοι νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων
ἁδὺ κλαΐστρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ
δαιμόνων θέλγεις φρένας, ἀμφί τε Λατοί-
δα σοφίᾳ βαθυκόλ- πων τε Μοισᾶν.

ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν *Ἐπ. α'.*
Πιερίδων ἀίοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν - πολέμιος,

---

6. *ἀεννάου CD — ἀετὸς D* — 8. *κλᾶστρον C* — 10. *κατασχόμενος C: καταγχόμενος DE* — 12. *κώματι C: κώμῳ D* — 13. *ἀτύζονται CE: ἀτύζηται D*, pluralem tuetur paraphrasis — 14. *ἀίοντες* coni. Boehmer — 15. *ἐν εὐνᾷ Ταρτάρου* coni. Thiersch —

Τυφὼς ἑκατοντακάρᾱνος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει
στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες
χιόνος ὀξείας τιθήνα.

Στρ. β'.

τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ
δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιον προσιδέσθαι,
θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι,

Ἀντ. β'.

οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ϝανδάνειν

---

18. ἁλιερκὲς *C* — 20. τιθάνα *C* — 24. κυλινδομένας coni. Thiersch probabiliter — 26. προσιδέσθαι *C* et Gellius XVII 10 atque Macrobius V 17, 9: πυθέσθαι *D* — παρεόντων *C*, παριόντων *D* et schol., unde παρ' ἰδόντων coni. post Coraem Cobet N. L. 144, προσιδόντων Hecker — 27. μελαμφύλλου coni. Herwerden —

ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ'
ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν ἀγγέλ-
λων Ἱέρωνος ὑπὲρ καλλινίκου

Ἐπ. β'.

ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις
ἐς πλόον, ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
Λύκιε καὶ Δάλοι' ἀνάσσων
Φοῖβε, Παρνασοῦ τε κράναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν εὔανδρόν τε χώραν.

Στρ. γ'.

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν. ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι

---

30. γαίη D — 32. ἀγγέλλων ὡς D — 34. ἀρχομένοις D: ἐρχομένοις C — 35. καὶ τελευτᾷ C[1]: ἐν καὶ τελευτᾷ D C[2], unde κἀν τελευτᾷ Mosch. — φερτέρου C[i] et schol.: φερτέρα C[s] D — 37. ἔσεσθαι CD — στεφάνοισί νιν ex scholiis Heyne: στεφάνοισιν CD — 38. θαλείαις C — 39. παρνασοῦ C[s]: παρνασῷ C[i] D; genetivum interpretatur paraphrasis — 40. εὐανδροῦν coni. Hermann opusc. VII 115 — 43. ἕλκομαι D —

μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσεσθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-
βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύ-
νοι, καμάτων δ' ἐπίλα- σιν παράσχοι.

ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις 'Αντ. γ'.
τλάμονι ψυχᾷ παρέμειν',
ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ νιν φίλον
καί τις ἐὼν μεγαλά-
νωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν ἕλκει
τειρόμενον μετανάσ- σοντας ἐλθεῖν

ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν· 'Επ. γ'.
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοι-ρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι

---

45. *μακραὶ* C — *ῥίψας* CD, *Ϝρίψαις* Mommsen — *ἀμεύσεσθ'* C[1]: *ἀμεύσασθ'* D C[2] — *ἐναντίους* C — 47. *ἀμμνάσειεν* ex scholiis Schmid: *ἂν μνάσειεν* C D — *οἵαισιν πολέμοιο* coni. Hecker, *οἵαις σύν ποτ' ἕταισι* ipse tentavi — 48. *παλάμαις* Tricl.: *παλάμαισι* CD; *εὕρισκεν παλάμαισι θεῶν* coni. Boeckh — 50. *Φιλοκτήτοιο* C[ac] — 51. *ἀνάγκα μιν φίλον* CD: *ἀναγκαίᾳ φίλον* coni. Hermann opusc. VII 113, *ἀνάγκᾳ μὴ φίλον* Rauchenstein, *ἀνάγκᾳ νιν νόσον* Mommsen — 52. *μετανάσσοντας* coni. Wakefield ad Soph. Phil. 203: *μεταλάσσοντας* C, *μεταλλάσσοντας* D, *μεταβάσοντας* coni. Kayser — 56. *ὀρθωτὴς* C; *θεὸς*

τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων·
χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος·
ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον.

τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ Στρ. δ'.
Ὑλλίδος στάθμας Ἱέρων
ἐν νόμοις ἔκτισσ'. ἐθέλοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
Δωριῆς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι,
λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι
γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.

Ἀντ. δ'.

Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένᾰ παρ' ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραί-

σωτὴρ coni. Hartung — 58. πὰρ Tricl.: παρὰ C^{ac} *D*, περὶ C^{pc} — Δεινομένη C^{ac} — 59. πίθεο Tricl.: πείθεο *CD* — 60. ἐξεύρομεν C^1, ἐξάρχωμεν coni. Naber collato N. II 25 — 61. κλεινὰν *C* — 62. ἔκτισσε. θέλ. *V*: ἔκτισεν *C*, ἔκτισε *D* — παμφύλω *E* — 65. δωριῆς *CD*: δωριεῖς *E*, Δωρίοις coni. Hermann probabiliter — 66. ὀρνύμενον *D* — 67. τέλει' *C*: τέλει *D*; δὲ δὸς ταύταν coni. Mommsen, διακρίνει' ἔτυμον (vel ἐτύμαν) λόγος coni. Jurenka — 69. τίν C^{pc} — ἀγιστὴρ *D* — 70. τ' codd., γ' coni. Bothe — ἐπιτελόμενος *C* — τε γεραίρων

ρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοῖ-
νιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ, ναυ-
σίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας·

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον, Ἐπ. δ'.
ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλι-
κίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας δουλείας. - ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέων πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι, —
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων. — —

Στρ. ε'.

καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται
μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·

D C[2] — ἐς om. *D* — 71. ἅμερος coni. Hartung; ἅμερον, ὄφρα interpungendum censuit Madvig Advers. I 187 — 72. ἀλαλητὸς *C* — ἔχοι *C* — 73. συρρακουσίων *C* — 74. ὅς σφιν *C*[2]: ὅ σφιν *C*[1] *D* — βάλετ' *C*[a], βάλεν coni. Hecker — 75. ἀρέομαι coni. Dawes: αἱρέομαι *C*, αἰρέομαι *D* — 76. χάρις *C*[ac] — 77. δ' ἐρέων coni. Bothe: δ' ἐρέω τὰν *C D*, δ' ἐρέω *E*, δὲ κλέων in proecdosi scripseram — 78. μήδειοι *E F*: μῆδοι *C D* — 79. παρὰ Tricl.: πὰρ *C D* — ἔνυδρον *C*, εὔυδρον *C*[2] — τελέσσαις *C*[1] *D*[ac], τελέσσας *D*[pc] *C*[2], τελέσαιν Bergk (cf. N. VIII 38) — 82. μεῖον *C* — 83. αἰανὴς *C D*[1]: αἰανὸς *D*[2] — ἐλπίδας]

ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως, (κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώ-
μα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευ-
δεῖ δὲ πρὸς ἄκμονι χάλ-κευε γλῶσσαν.

Ἀντ. ε'.

εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
παρ σέθεν. πολλῶν ταμίας
ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν.
μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρ-
δεσσ'· ὀπιθόμβροτον αὔ-χημα δόξας

Ἐπ. ε'.

οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νη- λέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,

ἀπάδις v. l. in X, unde ἀπίδας Pauw — 84. ἐσλ. E: ἐσθλ. CD — 88. ἀμφοτέροις Mosch.: ἀμφοτέροισι CD — 89. παραμ. D[ac] — 91. ὥσπερ C: ὥστε D — 92. ἀνεμόεν πετάσσαις (vel — σας) codd. vett., ἀμπετάσας Tricl., πετάσαις eiec. ed. Rom. — ὦ φίλος εὐτραπέλοις κέρδεσσ' coni. Hermann: ὦ φίλε κέρδεσιν ἐντραπέλοις (εὐτρ. ex corr. man. rec.) CD, ὦ φίλ' ἐυτρ. κέρδεσσ' coni. Bergk, ὦ φίλε κέρδεσιν εὐτράπλοις coni. Buecheler — 93. οἷον D²: οἴον CD¹ — 96. παντᾶ CD —

οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέκονται. —
τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων·
εὖ δ' ἀκούειν δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ,
στέφανον ὕψιστον δέδεκται.

---

97. ὑπωρώφιαι C — 98. δέκονται Boeckh: δέχονται codd.

[ΠΥΘΙΟΝ. Β΄.]

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

ΑΡΜΑΤΙ

ludis Thebanis ca. 475 a. Ch.

Strophae.

⏖ ⏑ ⏖ ⏑ – ⏑ – | ⏑ – ⏑ ⏖ ⏑ ⏓ |
⏖ ⏑ –⏑ ⏑ – – | ⏒ –⏑ ⏑ – ⏑ ⌞ ⌞ | –⏑ ⏑ – ⏑ ⏓ |
– –⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ – – | ⏑ ⏓
⏑ ⏑ –⏑ ⏑ | –⏑ ⏑ – ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓ |
– – ⏑ ⏖ ⏑ – ⏑ –⏑ ⏑ ⏓ |
– – ⏑ ⏖ ⏑ – ⏑ – | ⏑ ⏑ –⏑ ⏑ ⏓ |
⏑ ⏖ –⏑ ⏑ – ⏖ ⏑ | – – ⏑ ⏓
– –⏑ ⏑ – ⏑ – | – ⏑ – ⏑ – ⏑ – | ⏑ ⏑ – ⏑ – ⏒ |

Epodi.

⏖ ⏑ –⏑ ⏑ – ⏑ – – | ⏑ –⏑ ⏑ – ⏑ – | –⏑ ⏑ – ⏑ –
[– | ⏑ –⏑ ⏑ ⏓
⏑ – –⏑ ⏑ – ⏑ – | ⏖ ⏑ –⏑ ⏑ ⏓ |
⏑ – –⏑ ⏑ – ⏑ – | ⏖ ⏑ –⏑ ⏑ – – ⏑ – ⏑ ⏓ |
⏖ ⏑ –⏑ ⏑ – ⏑ – – ⏑ ⏓ |
⏒ – ⏑ – – | ⏒ –⏑ ⏑ – ⏑ – – | ⏑ –
⏑ – –⏑ ⏑ – – ⏑ – |
– – ⏑ –⏑ ⏑ ⏓ |
⏑ – – ⏑ –⏑ ⏑ – ⏑ – –, | ⏑ –⏑ ⏑ – ⏑ – ⏓ |

Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου   Στρ. α'.
τέμενος Ἄρεος, ἀνδρῶν
ἵππων τε σιδαροχαρμᾶν
δαιμόνιαι τροφοί,
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θη-βᾶν φέρων
μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,
εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων
τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,
ποταμίας ἕδος Ἀρ-
τέμιδος, ⟨ᾇς - οὐκ ἄτερ⟩
κείνας ἀγαναῖσιν ἐν
χερσὶ ποικιλανίους ἐδάμασσε πώλους.

ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ   Ἀντ. α'.
ὅ τ' ἐναγώνιος Ἑρμᾶς
αἰγλάεντα τίθησι κόσμον,
ξεστὸν ὅταν δίφρον
ἔν θ' ἅρματα πεισιχάλινα κατα- ζευγνύῃ
σθένος ἵππειον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.
ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
εὐαχέα βασιλεῦσιν ὕμνον, ἄποιν' ἀρετᾶς.
κελαδέοντι μὲν ἀμ-
φὶ Κινύραν - πολλάκις
φᾶμαι Κυπρίων, τὸν ὁ
χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων,

---

1. *συράκουσ.* *C*, *συράκοσσ.* *D* — *βαθυπτ.* *D*, *βαρυπολέμου* coni. Hecker — 2. *ἵπων* *D* — 7. *ᾇς* coni. Hermann: *τᾶς* codd. — 8. *χερσὶ* om. C^1 — 10. *Ἑρμῆς* C^{ac} — *αἰγλάντα* *CD* — 11. *τ' ἅρμ.* $C^1 D$ — 13. *ἐτέλεσεν* *CD* — 14. *εὐαυχέα* *D* — 15. *κινύραν* *E*: *κιννύραν* *CD* — 16. *χρυσοχαίτας* *CD*, corr. Mosch. —

ἱερέα κτίλον Ἀφροδί- Ἐπ. α'.
τας· (ἄγει δὲ χάρις φίλων
ποίνιμος ἀντὶ ϝέρ- γων ὀπιζομένα·)
σὲ δ', ὦ Δεινομένειε παῖ, - Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει,
πολεμίων καμάτων - ἐξ ἀμαχάνων
διὰ τεὰν δύναμιν δρακεῖσ' - ἀσφαλές. — —
θεῶν δ' ἐφετ-μαῖς Ἰξίονα φαντὶ ταῦ-τα βροτοῖς
λέγειν ἐν πτερόεν-τι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
ἐποιχομένους τίνεσθαι.

Στρ. β'.
ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
γλυκὺν ἑλὼν βίοτον,
μακρὸν οὐχ ὑπέμεινεν ὄλβον,
μαινομέναις φρασὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐ-ναὶ λάχον
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς ἀνάταν ὑπεράφανον
ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ
ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ' ἀμπλακίαι
φερέπονοι τελέθον-
τι· τὸ μὲν ἥ-ρως ὅτι
ἐμφύλιον αἷμα πρώ-
τιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς·

---

17. ποίνιμος coni. Spiegel: ποίτινος C D — ὀπαξομένα coni. M. Schmidt — 23. παντᾶ C D — 24. ἀμοιβαῖσι D — 28. πολυγαθέος D^{pc} E — ἄταν C^{ac} — ὑπερφίαλον C — 30. ἕλε Mosch.: ἔσχε C D, ἔχε M — 31. ὅτι τ' C D E, τ' eiec. Hermann —

ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις — Ἀντ. β'.
Διὸς ἄκοιτιν ἐπει-
ρᾶτο. χρὴ δὲ κατ' αὐτὸν αἰεὶ
παντὸς ὁρᾶν μέτρον.
εὐναὶ δὲ παράτροποι ἐς κακότατ' - ἀθρόαν
ἔβαλον ποτὶ κοῖτον ἰόντ', ἐπεὶ νεφέλᾳ παρελέξατο,
ψεῦδος γλυκὺ μεθέπων, ἄιδρις ἀνήρ·
εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιδᾶν,
θυγατέρι Κρόνου· ἄν-
τε δόλον αὐ-τῷ θέσαν
Ζηνὸς παλάμαι, καλὸν
πῆμα. τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν,

ἑὸν ὄλεθρον ὄγ'· ἐν δ' ἀφύ- — Ἐπ. β'.
κτοισι γυιοπέδαις πεσὼν
τὰν πολύκοινον ἀν- δείξατ' ἀγγελίαν.
ἄνευ ϝοι Χαρίτων τέκεν - γόνον ὑπερφίαλον,
μόνα καὶ μόνον, οὔτ' ἐν ἄν-
δράσι γερασφόρον οὔτ' - ἐν θεῶν νόμοις·
τὸν ὀνύμαξε τράφοισα Κέν-ταυρον, ὃς
ἵπποισι Μαγ-νητίδεσσιν ἐμίγνυντ' ἐν - Παλίου
σφυροῖς, ἐκ δ' ἐγένον-το στρατὸς

---

34. *κατ' αὐτὸν* em. Thiersch: *καθ' αὐτὸν* C^{ac}, *καθ' αὑτὸν* C^{pc} *D* — 35. *ἀθρόαν*: *ὀρθάν* v. l. schol. — 36. *ποτὶ κοῖτον ἰόντ'* coni. Boeckh, cui praeivit ex parte Jacobs: *ποτὶ* (*ποτὲ* C^{s}) *καὶ τὸν ἵκοντ'* codd.; *ποτε καὶ τὸν ἑλόντ'* Schneidewin, *ποτε καὶ τόν· ἑκὼν* Fraccaroli — 38. *Οὐρανιδᾶν* Bergk: *Οὐρανιᾶν* codd., *Οὐρανίδα* ex schol. Mommsen — 39. *ἄντε* *E*: *τάν τε* *C*, *ἄν ποτε* *D* — 41. *ἐν ἀφ.* (omisso *δ'*) *D* — *γυιοπέδαισι* *C* — *πετὼν* requiro cum Herwerdeno — *ἀνδείξ.* coni. Mitscherlich: *ἀνεδέξ.* codd. vett., *ἀνδέξ.* Mosch. — 43. *ἀνδράσι* *D E*: *ἀνθρώποισι* *C* — 44. *ὀνύμαζε* *C* — *τραφοῖσα* Mosch. —

θαυμαστός, ἀμφοτέροις
ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν
κάτω, τὰ δ' ὕπερθε πατρός. — —]]

θεὸς ἅπαν ἐπὶ ϝελπίδεσσι τέκμαρ ἀνύεται, Στρ. γ'.
θεός, ὃ καὶ πτερόεντ'
αἰετὸν κίχε, καὶ θαλασσαῖ-
ον παραμείβεται
δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμ-ψε βροτῶν,
ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ'. ἐμὲ δὲ χρεὼν
φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
εἶδον γὰρ ἑκὰς ἐὼν ταπόλλ' ἐν ἀμαχανίᾳ
ψογερὸν Ἀρχίλοχον,
βαρυλόγοις - ἔχθεσιν
πιαινόμενον· τὸ πλου-
τεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον.

Ἀντ. γ'.
τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,
πρύτανι κύριε πολλᾶν
μὲν εὐστεφάνων ἀγυιᾶν
καὶ στρατοῦ. εἰ δέ τις
ἤδη κτεάτεσσί τε καὶ περὶ τι-μᾷ λέγει
ἕτερόν τίν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρ-
τερον,
χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.

---

49. τέκμωρ *C* — 50. καὶ om. *D* — 53. κακαγορίαν Schmid — 54. ἐν μαχ. *D* — 55. βαρυλόγοις *Byz.*: βαρυλόγοισιν *C D* — 56. πότμου σοφίας τ' coni. Bergk — 57. πεπαρεῖν *BCDE*: πεπορεῖν Mosch. — 59. κτεάνοισι *C* — 61. χαύνᾳ ... κενεά ex scholiis Pauw: χαῦνα (χαύνᾳ *B*) ... κενεᾶ (κενειᾶ *D*) codd. —

εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ
κελαδέων. νεότα-
τι μὲν ἀρή-γει θράσος
δεινῶν πολέμων· ὅθεν
φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,

Ἐπ. γ'.

τὰ μὲν ἐν ἱπποσόαισιν ἄν-
δρεσσι μαρνάμενον, τὰ δ' ἐν
πεζομάχαισι· βου-λαὶ δὲ πρεσβύτεραι
ἀκίνδυνον ἐμοὶ Ϝέπος - σὲ ποτὶ πάντα λόγον
ἐπαινεῖν παρέχοντι. χαῖ-
ρε. τόδε μὲν κατὰ Φοί-νισσαν ἐμπολὰν
μέλος ὑπὲρ πολιᾶς ἁλὸς - πέμπεται·
τὸ Καστόρει-ον δ' ἐν Αἰολίδεσσι χορ-δαῖς θέλων
ἄθρησον χάριν ἑπ- τακτύπου
φόρμιγγος ἀντόμενος.
γένοι' οἷος ἐσσὶ μαθών. καλός τοι
πίθων παρὰ παισίν, αἰεὶ

Στρ. δ'.

καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώ-
μητον, οὐδ' ἀπάταισι θυμὸν
τέρπεται ἔνδοθεν,
οἷα ψιθύρων παλάμαις ἕπετ' αἰ-εὶ βροτῶν.

---

65. *ἄνδρεσσι* coni. Hermann: *ἀνδράσι BCD* — *πεζομάχοισι C* — 66. *σὲ ποτὶ πάντα* ex scholiis Bergk: *ποτὶ πάντα* (omisso *σε*) *A B C D*, *ποτὶ ἅπαντα* Tricl., *ποτὶ σὲ πάντα* Boeckh — 68. *πέμπεται τὸ Καστόρειον, σὺν δ' Αἰολ.* Hartung — 69. *θέλων* codd.: *ἑκὼν* Boeckh, quod paraphrasis exhibet — 71. *ἀντώμενος D* — 72. *γένοι' οἷος* Tricl.: *γένοι δ' οἷος B*, *γένοιο δ' οἷος CD*, *γενοῦ δ' οἷος* Mingarelli — 74. *ἀμωμήτων* coni. Jacobs — 75. *βροτῷ* coni. Heindorf —

ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες,
ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;
ἅτε γὰρ εἰνάλιον
πόνον ἐχοί-σας βαθὺ
σκευᾶς ἑτέρας, ἀβάπ-
τιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας.

Ἀντ. δ'.

ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
δόλιον ἀστόν· ὅμως μὰν
σαίνων ποτὶ πάντας, ἀγᾶν
πάγχυ διαπλέκει.
οὔ ϝοι μετέχω θράσεος. φίλον εἴ-η φιλεῖν·
ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύ-
σομαι,
ἄλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
παρὰ τυραννίδι, χὠ-
πόταν ὁ λάβ-ρος στρατός,
χὤταν πόλιν οἱ σοφοὶ
τηρέωντι. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,

---

76. *διαβολιᾶν* codd.: *διαιβολιᾶν* Bergk — *ὑποφάτιες BCD*: *ὑποφαύτιες* Boeckh probabiliter, *ὑποφάτορες* ex scholiis coni. Bothe — 78. *κερδοῖ* coni. Huschke: *κέρδει* codd. — *τί τοῦτο μάλα C* — *τελέθει*: *τί δή οἱ B* — 79. *ἐναλ. BCD*; cf. O. IX 99 — *ἐχοίσας CD*: *ὀχοίσας B*, *ὀχεοίσας* coni. Ahlwardt — *βάθει* coni. Hartung, *βαθὺν* Bergk — 80. *εἶμι* praeferunt Bergk[3] et Schnitzer de Pind. emend. 32 — 81. *ἀδύνατον δ' D* — 82. *ἀγὰν* Boeckh: *ἄγαν* codd., *ἄταν* Heyne — *διάπλεκε* v. l. schol. recent. — 84. *ἰὼν* Huschke — 87. *λαῦρος BD* — 88. *τηρέοντι BC* —

ὃς ἀνέχει τοτὲ μὲν τὰ κεί- 'Επ. δ'.
νων, τότ' αὖθ' ἑτέροις ἔδω-
κεν μέγα κῦδος. ἀλλ' οὐδὲ ταῦτα νόον
ἰαίνει φθονερῶν· στάθμας δέ τινος ἑλκόμενοι
περισσᾶς ἐνέπαξαν ἕλ-
κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.
φέρειν δ' ἐλαφ-
ρῶς ἐπαυχένιον λαβόντα ζυγὸν
ἀρήγει· ποτὶ κέντρον δέ τοι
λακτιζέμεν τελέθει
ὀλισθηρὸς οἶμος. ἁδόντα δ' εἴη
με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

89. ἀνέχη *D* — τοτὲ *BC*: ποτὲ *D* — τότ' αὖθ' Tricl.: τοτὲ δ' αὖθ' *B C D* — 90. τινας C^{1} — ἑλκόμενοι . . . ἐνέπαξαν *D* C^{pc}: ἑλκόμενος . . . ἐνέπαξεν *B* C^{ac} — 92. μητίωνται coni. Thiersch — 95. λακτισδέμεν *C*.

ΠΥΘΙΟΝ. Γ'.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι June 30

ΚΕΛΗΤΙ

Pyth. 26 et 27 = 486 (482) et 482 (478) a. Ch.

Strophae.

∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏑ – – ∸ ⏖ – ⏖ – | – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
– ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏖ – ⏖ ∸ ⏖ – ⏖ ∸,| – ∸ ⏑ – – ∸ ⏑ – | – ∸ ⏖ ⏓ |
∸ ⏑ – – ∸ ⏖ – ⏖ | – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ – | ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ – – ∸ ⏑ – – |

Epodi.

∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏑ – ⏓ ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏑ – – ∸ ⏖ – | ⏖ – –, ∸ ⏑ ⏓ |
∸ ⏑ – ⏓ ∸ ⏖ – ⏖ – ⏓ |
∸ ⏖ – ⏖ – | – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ – | – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ – | – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏑ – – ∸ ⏖ – | ⏖ – – ∸ ⏑ – ⏓ |
⏖ – ⏖ – | – ∸ ⏑ – – ∸ ⏑ ⏓ |

Ἤθελον Χείρωνά κε Φιλυρίδαν, Στρ. α'.
εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ϝέπος,
ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου,
βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον,
νοῦν ἔχοντ' ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ
τέκτονα νωδυνίας
ἅμερον γυιαρκέος Ἀσκλαπιόν,
ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων.

τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ, Ἀντ. α'.
πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δαμεῖσα χρυσέοις
τόξοισιν ὕπ' Ἀρτέμιδος
ἐν θαλάμῳ, δόμον εἰς Ἀίδα κατέβα
τέχναις Ἀπόλλωνος. χόλος δ' οὐκ ἀλίθιος
γίνεται παίδων Διός. ἁ δ' ἀποφλαυρίξαισά νιν
ἀμπλακίαισι φρενῶν,
ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,
πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ.

καὶ φέροισα σπέρμα θεοῦ καθαρόν, Ἐπ. α'.
οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,

---

1. Φιλλ. *B C* D^{pc} — 4. εὐρυμέδοντος *C* — βάσεσι *C* — 5. νοῦν Tricl.: νόον *B C D* — 6. τέκτον' (τέκνον *B*) ἀνωδ. *B C D* — γυιαρκέος codd.: νωδυνιᾶν ... γυιαρκέων coni. Hermann — 7. ἀλεκτ. *B* — 8. φλεγυία *B C* — 9. εἰλειθ. *C* — 11. εἰς ἀίδαο (ἀίδα *Byz.*) δόμον ἐν θαλάμῳ codd., transpos. Oelschlaeger — 14. ἀκειρεκ. *B C*: ἀκερσεκ. *D*; cf. I. 1 7 — 15. cum praecedente versu coniunxit et post καθαρόν punctum posuit Heyne — 16. οὐκ: οὐδ' coni. Hermann et Boeckh; equidem satis esse duxi post Φοίβῳ interpungere — νυμφίαν coni. Schmid: νυμφιδίαν

οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες
οἷα παρθένοι φιλέοισιν ἑταῖραι
ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι
ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.
ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,
ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,
μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.

ἔσχε τοιαύταν μεγάλαν ἀυάταν Στρ. β'.
καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ εὐνάσθη ξένου
λέκτροισιν ἀπ' Ἀρκαδίας.
οὐδ' ἔλαθε σκοπόν· ἐν δ' ἄρα μηλοδόκῳ
Πυθῶνι τόσσαις ἄιεν ναοῦ βασιλεὺς
Λοξίας, κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών,
πάντα ϝίσαντι νόῳ·
ψευδέων δ' οὐχ ἅπτεται· κλέπτει τέ νιν
οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.

καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα Ἀντ. β'.
ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμψεν κασιγνήταν μένει
θύοισαν ἀμαιμακέτῳ
ἐς Λακέρειαν. ἐπεὶ παρὰ Βοιβιάδος
κρημνοῖσιν ᾤκει παρθένος. δαίμων δ' ἕτερος
ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν· καὶ γειτόνων

B C D — 24. τοιαύταν *I M*: τοι ταύταν *B C*pc *D*, τοιαύτης *C*ac — 27. μηλοδ. *B C*pc: μαδοδ. *D*1, μηδοδ. *C*ac *D*2 — 28. γνώμα *CD*1, γνώμᾳ Boeckh — πιθών coni. Schmid: πεπιθών *BCD* — 32. ξειν. *Byz.*: ξεν. *B C D* — 34. μοιβιάδος *B* —

πολλοὶ ἐπαῦρον, ἀμᾶ δ'
ἔφθαρεν, πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν.

ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ 'Επ. β΄.
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμεν
λάβρον Ἁφαίστου, τότ' ἔειπεν Ἀπόλλων· Οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο· βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
ἅρπασε· καιομένα δ' αὐτῷ διέφανε πυρά·
καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.

τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων Στρ. γ΄.
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ
χειμῶνι, λύσαις ἄλλον ἀλλοίων ἀχέων
ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πί-
νοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

ἀλλὰ κέρδει καὶ σοφίᾳ δέδεται, 'Αντ. γ΄.

---

36. δ' *B D*: γ' *C*, τε schol. — πολλὰν δ' ἐν *B C D*, ἐν eiec. Mosch. — 39. δ' om. *D* — 41. ὀλέσθαι coni. Schmid — 43. πρώτῳ] τριτάτῳ coni. Aristarchus, τέρτῳ coni. Bergk — 44. διέφανε *D C*[2]: διέφαινε (-νεν *B*) *B C*[1], διέχαινε Schmid scholiorum glossam διεσχίσθη secutus — 48. συναόνες *B*, ξυνάοντες *C*[1] — 52. περάπτων *C*: περιάπτων *B D* —

ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανείς,
ἄνδρ᾽ ἐκ θανάτου κομίσαι
ἤδη ἀλωκότα· χερσὶ δ᾽ ἄρα Κρονίων
ῥίψαις δι᾽ ἀμφοῖν ἀμπνοὰν στέρνων καθέλεν
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.
χρὴ τὰ ϝεοικότα παρ
δαιμόνων μαστευέμεν θναταῖς φρασίν,
γνόντα τὸ παρ ποδός, οἵας εἰμὲν αἴσας.

μή, φίλα ψυχά, βίον ἀθάνατον Ἐπ. γ΄.
σπεῦδε, τὰν δ᾽ ἔμπρακτον ἄντλει μαχανάν.
εἰ δὲ σώφρων ἄντρον ἔναι᾽ ἔτι Χείρων, καί τί ϝοι
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἁμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον
καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.
καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τέμνων θάλασσαν
Ἀρέθουσαν ἐπὶ κράναν παρ᾽ Αἰτναῖον ξένον,

ὃς Συρακόσσαισι νέμει βασιλεὺς Στρ. δ΄.
πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ.
τῷ μὲν διδύμας χάριτας
εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν
κῶμόν τ᾽ ἀέθλων Πυθίων αἴγλαν στεφάνοις,

---

57. *ἀλ.* Schmid: *ἑαλ.* codd., *ὀλωλότα* coni. Naber — *δι᾽*] *δ᾽* *C* — 58. *ἐνέσκηψεν* *B* — 60. *γνόντας* *C* — *εἰμὲν* $C^1 D^{ac}$: *ἐμὲν* D^{pc}, *ἦμεν* C^2, *ἐμὲν* *B*; *ἐμμὲν* an *εἶμεν* poeta dixerit, incertum est — 64. *ἐν* om. *BCD*, habent codd. recc. — 67. *πατέρα* coni. Bergk — 70. *συρακοσσ.* *B*: *συρακοσ.* *D*, *συρακουσ.* *C* — 71. *δὲ* *BC*: *τε* *D* —

τοὺς ἀριστεύων Φερένικος ἕλ' ἐν Κίρρᾳ ποτέ,
ἀστέρος οὐρανίου,
φαμί, τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε βαθὺν πόντον περάσαις.

ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω 'Αντ. δ'.
Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ
μέλπονται θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν κορυφάν, 'Ιέρων,
ὀρθὰν ἐπίστᾳ, μανθάνων οἶσθα προτέρων·
ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
ἀθάνατοι· τὰ μὲν ὦν
οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται. 'Επ. δ'.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος· αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ
οὔτε παρ' ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄιον Θήβαις, ὁπόθ' 'Αρμονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.

---

74. ἕλ' ἐν Pauw: ἕλεν *B D*, ἕλε *C* — 76. πόντον *B D*: πόρον *C* — 78. μέλποντι *C* — 79. θεᾶν vel θεῶν C^{ac} — 80. ἐπίστασαι, μαθών coni. Naber — 81. δαίονται *B C D*: δέοντι schol. ad O. I 97 unde δαίοντι Mommsen — 85. τοι om. C^{1} — 86. σ' ὁ μέγας coni. Bergk — 87. ἔγεντ' B^{pc} *D*, ἔγεντο B^{ac}, ἐγένετ' *C* — 88. λέγονταί γε μὰν *B C D*, γε eiec. Mosch. —

καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις, Στρ. ε'.
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις, ἕδνα τε
δέξαντο· Διὸς δὲ χάριν
ἐκ προτέρων μεταμειψάμενοι καμάτων
ἔστασαν ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ
τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος αἱ
τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.

τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα 'Αντ. ε'.
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τόξοις ἀπὸ ψυχὰν λιπὼν
ὦρσεν πυρὶ καιόμενος
ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει
θνατῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ
ὑψιπετᾶν ἀνέμων.
ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται
σῶς, πολὺς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.

σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις 'Επ. ε'.
ἔσσομαι· τὸν ἀμφέποντ' αἰεὶ φρασὶν
δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν.
εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,

---

98. *γε* om. *D*, *γ' αὖ* Hermann — 99. *ἦλθεν C* — 100. *ἀθάνατος E* — 101. *λιπών*: *βαλών* coni. Hecker coll. O. VIII 39, *δικών* Herwerden — 102. *ὦρσεν ἐν πυρὶ B D* — 105. *ὄλβος δ' B C D*, *δ'* eiec. Tricl. — 106. *σῶς* coni. Emperius: *ὃς* codd.; *πάμπολυς* coni. Dissen. — *ἐβρίσας* C^{ac} — 110. *πλοῦτον*: *πότμον* coni. Hartung —

ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.
Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις,
ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ
ἅρμοσαν, γινώσκομεν. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
χρονία τελέθει, παύροις δὲ πράξασθ' εὐμαρές.

111. κεν: καὶ C[1] — 112. σαρπηδ. codd., σαρπαδ. in lapide Farnesiano exstare animadvertit Ahrens d. gr. ling. dial. II 144 — 113. κελαδεν. C ex κελαδειν. corr. — 114. γινώσκομεν. ἁ δ' ἀρ. Schmid: γινωσκομένα δ' ἀρ. codd.

ΠΥΘΙΟΝ. Δʹ.

ΑΡΚΕΣΙΛΑͺ ΚΥΡΗΝΑΙΩͺ

ΑΡΜΑΤΙ

Pyth. 31 = 466 (462) a. Ch.

Strophae.

´– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ ⏓|
´– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – | – ´– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ ⏓|
´– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – | – ´– ⏑ – – ´– ⏑ – ⏓
´– ⏑⏑ – ⏑⏑ ´– | ⏑⏑ – ⏓ ´– ⏑ – ⏓|
´– ⏑⏑ – ⏑⏑ – | – ´– ⏑ – ⏓ ´– ⏑ ⏓|
´– ⏑ – – ´– ⏑ – – | ´– ⏑⏑ – ⏑⏑ ´– ⏑⏑ ⏓|
´– ⏑ – – ´– ⏑ – | – ´– ⏑ – ´– ⏑ ⏓|
´⏕ ⏑ – ⏓ ´– ⏑ – – |

Epodi.

´– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – | – ´– ⏑ – – ´– ⏑ ⏓|
´– ⏑⏑ – ⏑⏑ – | – ´– ⏑ – ⏓ ´– ⏑⏑ – ⏑⏑ ⏓|
´– ⏑ – – ´– ⏑ – – | ´– ⏑⏑ – ⏑⏑ ⏓
´– ⏑⏑ – | – ´– ⏑ – – ´– ⏑ – | – ´– ⏑⏑ – ⏑⏑ ⏓|
– ´– ⏑⏑ – ⏑⏑ ´– ⏑⏑ – | – ´– ⏑ – ⏓
´– ⏑ – | – ´– ⏑ – ⏓ ´– ⏑⏑ ⏓|
´– ⏑ – ⏓ ´– ⏑⏑ – ⏑⏑ – | ´– ⏑ – – ´– ⏑ – ⏓|

Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ *Στρ. α'.*
στᾶμεν, εὐίππου βασιλῆι Κυράνας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων,
ἔνθα ποτὲ χρυσέων Διὸς αἰητῶν πάρεδρος
οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεα
χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν
νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐ-άρματον
πόλιν ἐν ἀργινόεντι μαστῷ,

καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι *Ἀντ. α'.*
ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον, Αἰήτα τό ποτε ζαμενὴς
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέσποινα Κόλχων. εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·
Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·
φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκτου ποτὲ γᾶς Ἐπάφοιο κόραν
ἀστέων ῥίζαν φυτεύσεσθαι μελη- σίμβροτον
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

Ἐπ. α'.
ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαντες θοάς,

---

3. *αὔξαις* *C* — 4. *αἰητῶν* Mosch.: *αἰετῶν* (*ἀετ.* *D*) *B C D*; *ἀετῶν Ζηνὸς* Tricl. — 5. *ἱέρεα* *BCD*, *ἱέρεια* Steph., *ἱρέα* coni. Boeckh, *Πυθία* Ahlwardt — 7. *κτίσειεν* (*κτησ.* *D*) *BCD* — 8. *ἀργάεντι* coni. Hermann — 9. *ἀγκομίσαι* scholia: *ἀγκομίσαιθ'* (*ἐγκ.* *C*) *B C D*; cf. P. IV 179 — 10. *ἑβδόμᾳ σὺν καὶ δεκ.* Herwerden — 14. *ἁλιπλάκτου* *B*: *ἁλιπλέγκτου* *C*, *ἁλιπλάτου* *D* — 15. *μελισόμβ.* *C* — 16. om. *B*[1] — *ἐν* om. *D* — 17. fort. *ἐλαφροπτερύγων* —

ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλό-
ποδας.
κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων
ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνίδος ἐν
προχοαῖς
λίμνας θεῷ ἀνέρι ϝειδομένῳ γαῖαν διδόντι
ξείνια πρῴραθεν Εὔφαμος καταβὰς
δέξατ'· αἴσιον δ' ἐπί ϝοι Κρονίων
Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·

ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν Στρ. β'.
ναΐ κρημνάντων ἐπέτοσσε, θοᾶς Ἀργοῦς χαλινόν. δώ-
δεκα δὲ πρότερον
ἀμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμων
εἰνάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.
τουτάκι δ' οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος· φιλίων δ' ἐπέων
ἄρχετο, ξείνοις ἅτ' ἐλθόντεσσιν εὐ-εργέται
ξένι' ἐπαγγέλλοντι πρῶτον.

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ Ἀντ. β'.
κώλυεν μεῖναι. φάτο δ' Εὐρύπυλος Γαιαόχου παῖς
ἀφθίτου Ἐννοσίδα
ἔμμεναι· γίνωσκε δ' ἐπειγομένους· ἂν δ' εὐθὺς ἁρπάξαις
ἀρούρας

18. νωμάσσ. C — 20. τήν B — 22. πρῳρ. codd. — 23. δέξαιτ' D — 24. ἀγγύραν D^{ac} — 25. κριμνάντων B — ἐπέτοσε C, ἔποσσε B^1 E — 26. ἐρήμων B C D: ἐρήμου E et schol. — 27. ἐναλ. B C D; cf. O. IX 99 — μήδεσσιν B D — ἀνσπάσαντες (ἀνασπ. D) B C D — ὠμοῖς C — 29. πρόσοψιν (πρόσωψ. C) codd.: περ' ὄψιν Bergk — 30. ἄρχεται C D — ξεν. C D — 31. ξένι' coni. Bergk: δεῖπν' B C et schol., δεῖπνον D, δέπας Mommsen — ἐπαγγέλοντι C D — 34. γιγν. B D — ἄν τ' mavult Bergk —

δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.
οὐδ' ἀπίθησέν ἰν, ἀλλ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν
χειρί ϝοι χεῖρ' ἀντερείσαις δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ,

Ἐπ. β'.

ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν. ἦ μάν νιν ὤτρυνον θαμὰ
λυσιπόνοις θεραπόντεσσιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες·
καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας
εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴκοι νιν βάλε παρ χθόνιον
Ἅιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ
τίκτε Καφισοῦ παρ' ὄχθαις,

τετράτων παίδων κ' ἐπιγεινομένων Στρ. γ'.
αἷμά ϝοι κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν.

---

35. προτυχὸν B^s C^{pc} D: προτυχὼν B^i C^{ac}, παρατυχὸν Chaeris in schol. — ξειν. B C D — 36. ἀπίθησέ νιν codd., ἀπίθησέν ἰν (ϝιν Heimer) Hermann, ἀθέριξέ νιν Mor. Schmidt — 39. ἐναλίαν coni. Thiersch: ἐναλία B C D, ἐναλίᾳ schol. — 40. σπωμ. C; fort. πελάγει 'σπομέναν — ὀτρ. B C — 41. λυσιπόνοισι C — 42. ἀφθίτω D — 43. εὐρυχωρ. C D — 45. ποσειδάονος B — 46. Εὐρώπα: Εὐρώτα schol. ad v. 15 — τίκτει B D — 49. μηκυν. C D —

νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες τέκωνται φῶτα κελαινεφέων πεδίων
δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ' ἐν - δώματι
Φοῖβος ἀμνάσει θέμισσιν,

Πύθιον ναὸν καταβάντα χρόνῳ 'Αντ. γ'.
ὑστέρῳ, νάεσσι πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον
τέμενος Κρονίδα. — —
ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ
ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες. — —
ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ
χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ·
ἅ σε χαίρειν ἐστρὶς αὐδάσαισα πε-πρωμένον
βασιλέ' ἄμφανεν Κυράνᾳ,

'Επ. γ'.
δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς
θεῶν.
ἦ μάλα δὴ μετὰ καὶ νῦν, ὥτε φοινικανθέμου ἦρος
ἀκμᾷ,
παισὶ τούτοις ὄγδοον θάλλει μέρος· Ἀρκεσίλας·
τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων
ἔπορεν

---

50. μὲν *Byz.*: μὰν *B C D* — 51. λεχέεσσι *C* — τάνδε ex τάδε corr. m. rec. *B* — 54. ἀμμν. *B D* — θέμισιν *D* — 55. χρόνῳ δ' ὑστέρῳ *B C D* et schol., δ' del. Schmid, χρόνῳ δευτέρῳ coni. M. Schmidt — 56. ἀγαγεῖν *C* et schol.: ἄγαγε *BD*, ἀγαγὲν *E* e corr. — 57. αἴ ῥα Boeckh in pr. ed. — 61. εἰς τρὶς *BCD* — αὐδάσαισαι *B* — 62. κυράνᾳ *CD* et schol.: κυράνας *B* — 64. ὥτε Bergk: ὥστε *B*, om. *CD* — ἦρος ἀκμᾷ *C*: ἦρος ἐν ἀκμᾷ *B D* — 65. τούτοις: οὕτως coni. Emperius, fort. τούτοι' — μέλος C^2, γένος coni. Herwerden — 66. ἀμφικτυ codd. —

ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω
καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ
κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ-
ποί σφισιν τιμαὶ φύτευθεν.

τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας; Στρ. δ'.
τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις;
θέσφατον ἦν Πελίαν
ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς
ἀκάμπτοις.
ἦλθε δέ ϝοι κρυόεν πυκινῷ μάντευμα θυμῷ,
παρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·
τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐ- δείελον
χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ,

ξεῖνος αἴτ' ὦν ἀστός. ὁ δ' ἆρα χρόνῳ 'Αντ. δ'.
ἵκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος· ἐσθὰς δ'
ἀμφοτέρα νιν ἔχεν,
ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις,
ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·
οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί,
ἀλλ' ἅπαν νῶτον καταίθυσσον. τάχα δ' εὐθὺς ἰὼν
(σφετέρας)

70. τίς σφ' ἄρ' coni. Herwerden — ἀρχὴ δέξατο B^{pc}, ἀρχ' ἐδέξ. B^{ac} CD — ναυτιλλ. C — 71. ἄλλοις D — 72. ἀκάμπτοις Hermann: ἀκνάμπτοις B D, ἀκάμποις C — 79. ἀμφοτέρα E, quocum conspirat scholium ἐσθὴς δὲ διπλῆ συνεῖχεν αὐτόν: ἀμφότερον B C D — 81. παρδαλίᾳ G ex corr., παρδαλέα BCD et schol. — 82. ᾤχοντ' Boeckh: οἴχοντ' BCD —

ἐστάθη γνώμας ἀταρβάκτοιο πει-ρώμενος
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

Ἐπ. δ'.

τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν
καὶ τόδε·
„Οὔ τί που οὗτος Ἀπόλλων, οὐδὲ μὰν χαλκάρματός
ἐστι πόσις
Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ
Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολμάεις Ἐφιάλτα
Ϝάναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,
ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
των ἐπιψαύειν ἔραται."

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι *Στρ. ε'.*
γάρυον τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προ-
τροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον
πέδιλον
δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· „Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώπων σε χαμαιγενέων
πολιᾶς

---

84. *ἀταρβάκτοιο B C D*: *ἀταρβύκτοιο* lemma in *E*, *ἀταρμύκτοιο* coni. Hermann collato Bentleio ad Hor. C. I 3, 18 — 86. *οὐκ ἐγίν. B*, *οὐ γίγν. D* — 87. *οὔ τοι C* — 88. *λιπαρᾶς* B^{ac} — 90. *τερπνὸν C* — 94. *ἐπὶ δὲ B* — 95. *παπτήνας* (*-ήνας B*) *BCD* — 97. *προσένεπε B*, *προσήνεπε C*, *προσήνεπε D* — *ξέν' B C D* — 98. *χαμαιγαίων D* — *πολιᾶς*: *ποτε Ϝᾶς* coni. Herwerden —

ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ - ψεύδεσιν
καταμιάναις εἰπὲ γένναν."

'Αντ. ε'.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
ὧδ' ἀμείφθη· „Φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν· ἄντροθε γὰρ νέομαι
παρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ϝέργον
οὔτ' ἔπος ἐκτράπελον κείνοισιν εἰπὼν ἱκόμαν
οἴκαδ', ἀρχὰν ἀγκομίζων πατρὸς ἐμοῦ, βασιλευομέναν
οὐ κατ' αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν - λαγέτᾳ
Αἰόλῳ καὶ παισὶ τιμάν.

'Επ. ε'.

πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα φρασὶν
ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου
ἁγεμόνος δείσαντες ὕβριν, κᾶδος ὡσείτε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι μίγα κωκυτῷ γυναικῶν,
κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ
δὲ τράφειν Χείρωνι δῶκαν.

99. ἐχθίστοις σε coni. Mingarelli, αἰσχίστοισι coni. Hecker. — 103. φιλλυρ. C — 105. ἐκτράπ. coni. Heyne: ἐντράπ. B C D, utrumque schol. — κείνοισιν: ξείνοισιν coni. Wilamowitz, κείναισιν Pauw. — 106. ἀρχὰν ἀγκομ. em. Chaeris: ἀρχαίαν κομ. (καιν. B D[s]) codd. — 110. ἁμετέρων (ἡμετέραν B[s]) . . ἀρχεδικᾶν codd. ex emendatione Chaeridis: ἁμετέραν . . ἀρχεδίκαν vetus lectio ante Chaeridem — τοκήων B — 113. μίγα D C[pc] E[pc]: μετὰ B, μέγα E[ac] — 115. τράφειν coni. Hartung: τράφεν

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων Στρ. ϛ΄.
ἴστε. λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται,
φράσσατέ μοι σαφέως·
Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐ ξείναν μὲν ἵκω γαῖαν
ἄλλων.
Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσαύδα. —
ὣς φάτο. τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός.
ἐκ δ' ἄρ' αὐτῷ πομφόλυξαν δάκρυα γηραλέων γλε-
φάρων,
ἃν περὶ ψυχὰν ἐπεὶ γάθησεν ἐξ-αίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

καὶ κασίγνητοί σφισιν ἀμφότεροι Ἀντ. ϛ΄.
ἤλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς μὲν Φέρης κράναν
Ὑπερῇδα λιπών,
ἐκ δὲ Μεσσάνας Ἀμυθάν. ταχέως δ' Ἄδματος ἷκεν
καὶ Μέλαμπος
εὐμενέοντες ἀνεψιοί. ἐν δαιτὸς δὲ μοίρᾳ
μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,
ξείνι' ἁρμόζοντα τεύχων, πᾶσαν ἐυφροσύναν τάνυεν,
ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν - θ' ἁμέραις
ἱερὸν εὐζώας ἄωτον.

(τράφε C^{ac}) *B C D* et schol. — 118. μὲν ἵκω scripsi: ἱκόμαν (ἱκόμην *B*) codd., ἱκοίμαν coni. Hermann, οὐ μὰν ξεῖνος ἵκω Bergk, οὐ ξεῖνος ξέναν ἵκοιμ' ἂν αἶαν Jurenka — 119. προσηύδα codd. — 120. εἴσελθ. *B C D* — ἔγνων *C D*, ἐγν *B* in perforata charta — 121. αὐτῷ coni. Bergk: αὐτοῦ codd. — 122. περὶ: πέρι Hermann — 124. σφιν *C D* — 126. μεσαν. *B C D* — ἧκε̄ *B* — Μέλαμπος *B C D E*: Μελάμπους F^{pc} *R* fort recte — 127. ἀνεψιοί *R* et Hartung: ἀνεψιόν codd. rell. — 129. τεύξων *C* — πᾶσαν ἐυφρ. coni. Bergk: πᾶσαν εὐφρ. *B*, πᾶσαν ἐς (εἰς *C*) εὐφρ. *C D* — 130. ἔν τ' ἁμ. *C* —

'Επ. ϛ'.

ἀλλ' ἐν ἕκτᾳ πάντα λόγον θέμενος σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ
συγγενέσιν παρεκοινᾶθ'· οἵ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλθον Πελία μέγαρον,
ἐσσύμενοι δ' εἴσω κατέσταν. τῶν δ' ἀκούσαις αὐτὸς ὑπαντίασεν
Τυροῦς ἐρασιπλοκάμου γενεά· πραῢν δ' Ἰάσων
μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
βάλλετο κρηπῖδα σοφῶν ἐπέων·
„Παῖ Ποσειδᾶνος Πετραίου,

ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι Στρ. ζ'.
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν ὅμως·
ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ϝερέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέντες σθένος ἀελίου χρύσεον
λεύσσομεν. Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα πέλει
ὁμογόνοις, αἰδῶ καλύψαι.

οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν 'Αντ. ζ'.

---

134. ἦλθε *C* — 135. εἴσω Mosch.: ἔσω *BCD*; εἴσω an ἔσσω poeta voluerit non liquet — 136. ἐλασ. *C*[1], ἐρασ. *C*[s] — 139. ὠκύποροι coni. Naber — 141. χρὴ om. *C*[1] — 144. ἄμμες *B*[s]: ἀμὲς *B*[1] *CD*, cf. O. IX 106 — 145. λεύσομ. *BC* — ἀμφίστ. *CD*, ἀφίσταιντ' corr. Chairis — 146. αἰδῶ: αἰδώς coni. Leop. Schmidt, αἰδοῖ Hermann — 147. χαλκοτόροισι (-τέροισι *BC*) *BCD* — ξίφεσσι *B* —

οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν δάσασθαι.
μῆλά τε γάρ τοι ἐγὼ
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ' ἀγρούς τε πάντας,
τοὺς ἀπούραις
ἀμετέρων τοκέων νέμεαι, πλοῦτον πιαίνων·
κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν,
ἀλλὰ καὶ **σκᾶπτον** μόναρχον καὶ **θρόνος**, ᾧ ποτε
Κρηθεΐδας
ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας·
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας

Ἐπ. ζ'.

λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐτῶν ἀνασταίη
κακόν." — —
ὣς ἄρ' ἔειπεν. ἀκᾷ δ' ἀνταγόρευσεν καὶ Πελίας·
"Ἔσομαι
τοῖος. ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας
ἀμφιπολεῖ· σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει· δύνασαι
δ' ἀφελεῖν
μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι
Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους,
δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν,
τῷ ποτ' ἐκ πόντου σαώθη

ἔκ τε ματρυιᾶς ἀθέων βελέων. Στρ. η'.

148. *μεγάλων* C^1 — *προγόναν B* — 149. *οὓς BD* — *ἀπούρας* codd. — 150. *νέμεαι*] C^{pc} *D*: *νύμες B*, *νέμεν* C^{ac} — 152. *ποτ' ὁ D* — 153. *ἱππότας* B^s — 155. *ἀναστήῃ* (*ἀναστήῃ* cum G. Curtio praefert Schroeder) coni. Hermann, *ἀναστήσῃς* B^{ac}*CD* et v. l. schol., *ἀναστήσῃ* B^{pc}, *ἀνασταίη* v. l. schol., unde *ἀνασταίη* Ahrens — 156. *ἔσσομαι B C D* — 157. *τοῖος* Mosch.: *τοιοῦτος B C D E* — *γερ. D* — 161. *βαθύμαλον B D* — 162. *ἔκ τε*: *ἐκ τῶν B* — *βουλέων D* —

ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φώνει. μεμάντευ-
μαι δ' ἐπὶ Κασταλίᾳ,
εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀτρύνει με τεύχειν ναῒ
πομπάν.
τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις."
σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν.
ἀτὰρ Ἰάσων αὐτὸς ἤδη

ὤρνυεν κάρυκας ἐόντα πλόον 'Αντ. η'.
φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς
ἀκαμαντομάχαι
ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου Λήδας τε, δοιοὶ
δ' ὑψιχαῖται
ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου. τῶν μὲν
κλέος
ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐ-
ρυβία.
ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοιδᾶν πατὴρ
ἔμολεν, εὐαίνητος Ὀρφεύς.

'Επ. η'.
πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυ-
τον πόνον,

---

163. φώνει schol.: φωνεῖ codd. — 164. μεταλλακτόν mavult Bergk, hoc vel κατάλλακτον Herwerden — με: σε B — 165. τέλεσσ. B C D — 169. αὐτὰρ B C — 170. ὤρνυεν Boeckh: ὄρνυεν B C D — κάρυκας τᾶς ἐόντα C^1 — ἐόντα codd.: ἐπόντα coni. Jurenka, ἕταισι coni. Bergk; fort. ἰόντα — 172. τ' ἑλ. (ἑλ. D) B D — ἑλικοβλεφάρων D — δυοὶ B — 173. αἰδεσθέντες codd. et schol.: ἀλδήσκοντες Mor. Schmidt, αἴν' ἑσθέντες Jurenka, ᾇ Ϝασθέντες ἀλκᾷ Bergk — 176. φορμιγκτ. C — 178. χρυσόρρ.

τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον. ταχέες
δ' ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες ἔβαν·
καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυεν βασιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν
νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
σιν πόθον ἔνδαιεν Ἥρα

ναὸς Ἀργοῦς, μή τινα λειπόμενον Στρ. θ'.
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις.
ἐς δὲ Ἰωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά ϝοι
μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ δ' ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερθεν,

χρυσέαν χείρεσσι λαβὼν φιάλαν Ἀντ. θ'.

BCD — 179. κεχλαδότας D — Ἔρυτον coni. Schmid: εὔρυτον BCD — ταχέες δ' BCD, ταχέως δ' VE^2 in lit., δ' eiec. Boeckh; cf. P. IV 9 — 180. θεμέθλοις coni. Boeckh: θέμεθλα B^2 C, om. B^1 D — 181. ἔντυνε C^1 V: ἔντυεν B C^2 D — 183. πεφρικότας D et lemma in B — 184. παμπληθῆ D — πόθον γ' Mosch., πόθον τόνδ' αὖεν coni. Emperius — ἔνδαιεν B in lemm. C^2 D: ἔδαιεν B C^1, πρόσδαιεν Boeckh, δαίεσκεν Hermann — 185. ναοῦς B — 186. μητέρι CD — 187. ἰᾶς B — 188. δ' Ἰαωλκὸν coni. Schmid — κατέβαν D — 190. θεοπρεπ. B — 191. ἄμβαισε B — 193. φιάλαν: ἄγκυραν B^{ac} —

ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν ἐγχεικέραυνον
Ζῆνα, καὶ ὠκυπόρους
κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει, νύκτας τε καὶ πόντου κελεύθους
ἄματά τ' εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·
ἐκ νεφέων δέ ϝοι ἀντάυσε βροντᾶς αἴσιον
φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι.
ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ - σάμασιν
πιθόμενοι· κάρυξε δ' αὐτοῖς

Ἐπ. θ'.

ἐμβαλεῖν κώπαισι τερασκόπος, ἁδείας ἐνίπτων ἐλπίδας.
εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.
σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι
ἤλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἔσσαντ' εἰναλίου τέμενος,
[φοίνισσα δὲ Θρηικίων ἀγέλα ταύρων ὕπαρχεν
καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.]
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι
δεσπόταν λίσσοντο ναῶν,

συνδρόμων κινηθμὸν ἀμαιμάκετον· Στρ. ι'.
ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν ζωαί, κυλινδέσκοντό τε κραιπνότεραι

195. ἀνέμων *P*: ἀνέμους *B C D E* — 197. ἀντάνυσε *C*¹ — 198. ἀπορρ. *B C* — 199. ἄμπλοον coni. Coraes — 200. πιθ. Mosch.: πειθ. *B C D E* — 202. τραχειᾶν *C* — 203. ἀξείν. *B E* et schol.: εὐξείν. *C D* — 204. ποσειδᾶνος *B* — ἔσσαντ': fort. ἔσσυντ' vel potius ἔσδυν — ἐναλ. *B C D* — 206. λίθων Tricl.: λίθινον *B C D E*; θέναρ βωμοῦ λίθινον coni. Ahlwardt — 209. δίδυμαι *D*: δίδυμοι *B C* — κραιπνὸν *D* (accentus et υ in lit.) —

ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ' ἤδη τελευτὰν
κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
ἤλυθον· ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
μῖξαν Αἰήτᾳ τ' ἀγαυῷ. πότνια δ' ὀξυτάτων βελέων
ποικίλαν ἴυγγα τετράκναμον Οὐ-λυμπόθεν
ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ,

μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν 'Αντ. ι'.
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς ἐκδιδάσκησεν
σοφὸν Αἰσονίδαν·
ὄφρα Μηδείας τοκέων ἀφέλοιτ' αἰδῶ, ποθεινὰ δ' Ἑλ-
λὰς αὐτὰν
ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωίων·
σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοι-νὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μίξειν.

'Επ. ι'.
ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον
σκίμψατο
καὶ βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιο-
μένοιο πυρός,
χαλκέαις δ' ὁπλαῖς ἀράσσεσκον χθόν' ἀμειβόμενοι·

211. δ': γ' C, quod ex τε ortum videtur — ἔπειτ' ἀνήλ. B, ἔπειτ' . . ἤλ. D (lit. inter τ et ἤ) — 213. τ' ἀγαυῷ coni. Herwerden: παρ' αὐτῷ codd., τ' ἀγαυρῷ coni. M. Schmidt — ὀξυτ. C et schol.: ὠκυτ. B D — 216. ἔρνιν B — 217. ἐδιδ. B — -νίδα D — 218. Μήδειαν coni. Beck — 220. πατρωΐων Byz.: πατρώων B C D — 223. ἐν om. C — μίξειν (μίξιν D) B D E: μῖξαι C — 225. γενῦν coni. Dindorf, γνάθων Boeckh —

τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος· ὀρθὰς δ' αὔ-
λακας ἐντανύσαις
ἤλαυν', ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον
γᾶς. ἔειπεν δ' ὧδε· „Τοῦτ' ἔργον βασιλεύς,
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις
ἄφθιτον στρωμνὰν ἀγέσθω,

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ." Στρ. ια'.
ὣς ἄρ' αὐδάσαντος ἀπὸ κροκόεν ῥίψαις Ἰάσων εἷμα
θεῷ πίσυνος
εἴχετ' ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμφαρμάκου
ξείνας ἐφετμαῖς.
σπασσάμενος δ' ἄροτρον, βοέους δήσαις ἀνάγκας
ἔντεσιν αὐχένας, ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ
κέντρον αἰανὲς βιατὰς ἐξεπόνασ' ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμ-πας ἄχει
δύνασιν Αἰήτας ἀγασθείς.

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας Ἀντ. ια'.
ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποίας ἔρεπτον, μει-
λιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς δέρμα
λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·

---

227. ἐκτανύσαις coni. Hecker — 228. ἀναβωλακίας *B C D*, ἀνὰ βώλακας, ἐς δ' ὀρ. coni. Hartung — ὀρόγυιαν coni. Hermann: ὄργυιαν *B C D* — 229. fort. τωὔτ' — 231. χρυσέῳ om. *C* — 232. κροκόεν *B*: κρόκεον *C D* — 233. ἐόλει coni. Boeckh: αἰόλλει codd., αἰόλει Pauw. — 234. βοέους *C*: βοέοις B^2 (in loco perforato) *D* et schol. — δήσας *D E*, δῆσεν B^2 *C* — ἀνάγκας B^2CD: ἀνάγκας et ἀνάγκᾳ schol. — 235. ἐμβάλλων *B*: ἐμβαλὼν *CDE* — 237. ἀμφων. *C* — 239. ἑταῖροι *Byz.*: ἑτάροι *B*? CD^{pc}, ἕτεροι D^{ac} —

ἤλπετο δ' οὐκέτι ϝοι κεῖνόν γε πράξεσθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτατᾶν
γενύων,
ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,
τέλεσαν ἂν πλαγαὶ σιδάρου.

Ἐπ. ια'.

[μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συνάπτει
καί τινα
οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἅγημαι σοφίας ἑτέ-
ροις.]
κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,
ὦ 'ρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πελίαο
φόνον·
ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' Ἐρυθρῷ
Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντο ϝῖν' ἐσθᾶτος ἀμφίς,

καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς Στρ. ιβ'.
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου
δέξατο μοιρίδιον
ἆμαρ ἢ νύκτες. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν
λοιπὸν αἰεὶ

243. πράξεσθαι coni. Hermann: πράξασθαι codd.; cf. 223 — 244. λαβροτάταιν γενύοιν coni. Bergk. — 246. τέλεσσαν B D E, τέλεσεν v. l. schol. — 248. πολλοῖς B — 250. 'κκλέψεν coni. Herwerden — σὺν αὐτῷ C et v. l. schol., σὺν αὐώτῳ Πελ. coni. Bergk — φονόν requirit Gildersleeve — 251. τενάγεσσι coni. Bergk, περάτεσσι Hecker coll. Od. XI 13 — 253. ϝῖν' coni. Kayser: κρίσιν codd. et schol., κρῖμ' vel ἐπέδειξαν κρίσις coni. Hermann, ἐπέδειξαν βίαν coni. Oelschläger — ἀμφί C^2 — 255. σπέρμ' . . . ἀκτῖνος coni. Hermann: σπερ . . . ἀκτῖνας codd. — ὄλβου B? E: ὄλβῳ D et schol., ὄλβον B? C — 256. νύκτες

τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν
ἤθεσι τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον· ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον
σὺν θεῶν τιμαῖς ὀφέλλειν κἄστυ χρυ-σοθρόνου
διανέμειν θεῖον Κυράνας,

ὀρθόβουλον μῆτιν ἐφευρομένοις. — — 'Αντ. ιβ'.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν. εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψῃ μὲν μεγάλας **δρυός**, αἰσχύνῃ δέ ϝοι θαητὸν εἶδος,
καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,
εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον,
ἢ σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα
μόχθον ἄλλοις ἀμφέπῃ δύστανον ἐν - τείχεσιν,
ϝὸν ἐρημώσαισα χῶρον.

'Επ. ιβ'.

ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ φάος.
χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.
ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
ἀλλ' ἐπὶ χώρας αὖτις ἔσσαι δυσπαλὲς δὴ γίνεται, ἐξαπίνας

B C[i] et schol.: *νυκτός C*[s] *D* — 257. *τέλλετε B* — 258. **τὰν** coni. Boeckh: *ἄν B C D* et v. l. schol.: *ἄν* i. e. *ἀνά* Hermann, *ἐν* Chairis in scholiis — *ἀπῴκισαν B C* — 260. **θεῶν** codd.: **θεῷ** schol. — *κἄστυ* coni. Dawes: *ἄστυ* codd. et schol. — 263. *ὀξυτόμῳ C*: *ὀξυτάτω B D* — 264. *ἐξερείψῃ* coni. Hermann: *ἐξερείψαι* (-*ρίψ*. *B C*) *B C D* — *μὲν* Hermann: *κε B C D E* — 265. *φθινόπωρος* paraphrasis — 268. *ἀμφέπῃ* coni. Heyne: *ἀμφέπει* codd. — 271. *τραῦμα C* — 272. *φαυρ*. *C* — 273. fort. *ἐξ ἀνίας*, post non ante *ἐξαπίνας* interpunxit Ald. —

εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.
τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες·
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
νας θέμεν σπουδὰν ἅπασαν. — —

τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος Στρ. ιγ'.
ῥῆμα πόρσυν'· ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν
πράγματι παντὶ φέρειν.
αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς. ἐπέγνω μὲν Κυράνα
καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,
ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ,
ὀρφανίζει μὲν κακᾶς γλῶσσαν φαεν-νὰν ὀπός,
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς, Ἀντ. ιγ'.
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ καιρὸς (πρὸς ἀν-
θρώπων) βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκεν· θεράπων δέ Ϝοι, οὐ δράστας ὀπαδεῖ.
φαντὶ δ' ἔμμεν
τοῦτ' ἀνιαρότατον, καλὰ γινώσκοντ' ἀνάγκᾳ
ἐκτὸς ἔχειν πόδα· καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων.
λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χρόνῳ
μεταβολαὶ λήξαντος οὔρου

278. ὃ φᾷ coni. Bergk — 280. *μέγαρον βάττου* Mosch.: *βάττου μέγαρον BCDE* — 281. *δαμοφίλουσι D*, *Λαμόφιλον* coni. Beck et probat Madvigius Adv. I 187 — *ἐν πράξει* coni. Herwerden — 283. *ὀρφ. μὲν κακ.* om. *D* — *κακᾶς γλῶσσαν φαεννὰν* coni. Herwerden: *κακὰν γλῶσσαν φαεννᾶς* (*φαενᾶς B C*[2]) codd. — 285. *ἐξερίζων C* — 288. *ἀνιαρώτ. C D* — *γιγν. B* — 291. *ἀφθίτους* mavult Bergk —

'Επ. ιγ'.

ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ
οἶκον ἰδεῖν, ἐπ' Ἀπόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων
θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς
δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν,
μήτ' ὦν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν.
καί κε μυθήσαιθ' ὁποίαν Ἀρκεσίλα
εὗρε παγὰν ἀμβροσίων ἐπέων,
πρόσφατον Θήβᾳ ξενωθείς.

---

294. κράνᳳ: κυράνα D — 296. δαιδαλέοις D — 298. μυθήσαιθ' ὁποίαν C: μυθήσαιτο ποίαν B D — Ἀρκεσίλα B C D: Ἀρκεσίλᾳ Stephanus.

ΠΥΘΙΟΝ. Ε′.

ΑΡΚΕΣΙΛΑι ΚΥΡΗΝΑΙΩι

ΑΡΜΑΤΙ

Pyth. 31 = 466 (462) a. Ch.

Strophae.

⏑ –́ ⏑ – –́ ⏑ ⏓|
⏑ –́ ⏑ ⏕ –́ ⏑ – | ⏑ –́⏑ ⏑ ⏓
⏑ –́ ⏑ ⏑⏑ –́ | ⏑ –⏑ ⏑ –́ ⏑ – ⏑́⏑ ⏑ ⏓|
⏑́⏑ ⏑ ⏑⏑ ⏑ ⏓́|
–́ ⏑ ⏔ –́⏑ ⏑ ⏓|
⏑ – –́ ⏑ ⏓|
– –́ ⏑, – –́⏑ ⏑ – | ⏑ ⏓́
⏑ – –́ ⏑ –|⏑ ⏑ –́ ⏑ ⏓
⏑ –́ ⏑ –| –́ ⏑ – –́ ⏑ ⏓|
–́ ⏑ – –́⏑ ⏑ – ⏑́⏑ ⏑| – –́ ⏑ ⏓
⏑ –́ –| –́ ⏑ – ⏑ –́ ⏑ ⏓|

Epodi.

⏑ – –́ ⏑ ⏑⏑ –́ ⏑ – | ⏑ –́⏑ ⏑ ⏓
⏑ –́ –⏑ ⏑ –́ ⏑ – ⏑,| –́ ⏑ – –́ ⏑ –⏑ ⏑ ⏓́|
– ⏑ –⏑ ⏑ – ⏑⏑ ⏑ –⏑ ⏑ ⏓|
⏑ –́ ⏑ – –́ ⏑ –⏑ ⏑ –́ –|
⏑ – –́⏑ ⏑ – ⏑́⏑| ⏑ ⏓
–́⏑ ⏑ –, ⏑́⏑ ⏑ –⏑| ⏑ – –́ ⏑ ⏓|
⏑ –́ ⏑ ⏕ ⏑ –́ ⏑ ⏕ ⏑ –́ –
–́ ⏑ – –́ ⏑ ⏓|
⏕́ ⏑̄ –⏑ ⏑ –́| ⏑ – –́⏑ ⏑ – | ⏑ ⏔́ ⏑ – –́ ⏑ ⏓|

Ὁ πλοῦτος εὐρυσθενής, Στρ. α'.
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀνὴρ πότμου
  παραδόντος αὐτὸν ἀνάγῃ,
πολύφιλον ἑπέταν.
ὦ θεόμορ' Ἀρκεσίλα,
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο
σὺν εὐδοξίᾳ μετανίσσεαι
ἕκατι χρυσαρμάτου Κάστορος,
εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν
καταιθύσσει μάκαιραν ἑστίαν.

σοφοὶ δέ τοι κάλλιον Ἀντ. α'.
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
σὲ δ' ἐρχόμενον ἐν δίκᾳ
  πολὺς ὄλβος ἀμφινέμεται·
τὸ μὲν ὅτι βασιλεὺς
ἐσσὶ μεγαλᾶν πολίων,
ἔχει συγγενές τ'
ὀφθαλμὸς αἰδοιότατον γέρας,
τεᾷ τοῦτο μιγνύμενον φρενί·
μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι

---

2. *ἀρετᾷ* codd. et schol.: *ὀργᾷ* coni. Hermann — 5. *θεόμορ'* coni. Schmid: *θεόμοιρ'* *BCD* — 6. *νιν* *B* C^{pc} *D* et schol.: *νυν* C^{ac} — 7. *ἀπὸ βαθμίδων* maluit Boeckh — 8. *μετανίσ.* *BCD* — 10. *εὐδιανὸς* coni. Schneider, *εὐδιάν' ὡς* coni. Bergk — *ἐὰν* *C* — 12. *δέ τοι* Mosch.: *δ' ἔτι* (*δέ τι* *C*) *BCD* — 13. *ἐρχόμενος* coni. Drachmann — 16. *ἐσι* *D* — 17. *συγγενὲς* coni. Bergk: *συγγενὴς* codd. et schol. — *τ'* add. Mommsen: *δ'* add. Cratandrina; *ἐπεὶ συγγενὴς* coni. Hermann — 18. *αἰδοιότατον* coni. Schmid: *αἰδοιέστατον* codd. et schol. —

εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν
δέδεξαι τόνδε κῶμον ἀνέρων,

Ἀπολλώνιον ἄθυρμα. τῷ σε μὴ λαθέτω, *Ἐπ. α'.*
Κυράνᾳ γλυκὺν ἀμφὶ κᾶπον
Ἀφροδίτας ἀειδόμενον,
παντὶ μὲν θεὸν αἴ-τιον ὑπερτιθέμεν,
φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων,
ὃς οὐ τὰν Ἐπιμαθέος ἄγων
ὀψινόου θυγατέρα πρόφασιν, Βαττιδᾶν
ἀφίκετο δόμους θεμισκρεόντων·
ἀλλ' ἀρισθάρματον
ὕδατι Κασταλίας ξενω-
θεὶς γέρας ἀμφέβαλε τεαῖ-σιν κόμαις,

ἀκηράτοις ἁνίαις *Στρ. β'.*
ποταρκέων δώδεκ' ἂν δρόμων τέμενος.
κατέκλασε γὰρ ἐντέων
σθένος οὐδέν· ἀλλὰ κρέμαται,
ὁπόσα χεριαρᾶν
τεκτόνων δαίδαλ' ἄγων

---

22. *δέδεξο D* in lit. — 23. *σε μὴ* coni. Schmid: *μή σε* codd. — 24. *Κυράνᾳ* Schmid: *κυράνα* codd. et schol., *Κυράναν* coni. Hartung, *Κυράνας* Schroeder — *ἀειδόμενον B C D*: *ἀειδομένα* legisse videtur scholiasta, *ἀειδομένη* C^s — 26. *φιλεῖν* codd. cum Aristarcho: *φίλει* ante Aristarchum vulgatum fuisse testantur scholia — 27. *ἐπιμηθ.* codd. — 28. *ὀψινόου* (*ὑψ.* C^i) *B* C^s *D*, *ὀψινόον P*, utramque lectionem agnoscunt schol. — *Βαττιδ.* Mosch.: *βαττιαδ. B C D* — 29. *ἀφῖκται* coni. Hermann — *θεμικρ.* coni. Hartung — 31. *ξυνωθ. B* — 32. *ἀκηράτοις C*: *ἀκηράτοισι B D* — 33. *ποταρκέων* coni. Boeckh: *ποδαρκέων* codd., *ἐπαρκέων* schol. interpretantur — *δώδεκ' ἂν δρόμων* coni. Thiersch: *δωδεκαδρόμων B C*, *δυώδεκα δρόμων D*, *δωδεκάδρομον* Mosch. — 36. *δαίδαλ'* coni. Pauw: *δαιδάλματ'* codd.; *χεριάρα τέκτονος*

Κρισαῖον λόφον
ἄμειψεν ἐν κοιλόπεδον νάπος
θεοῦ· τῷ σφ' ἔχει κυπαρίσσινον
μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν,
Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασίῳ
κάθεσσαν, τὸν μονόδροπον φυτόν.

ἑκόντι τοίνυν πρέπει — Ἀντ. β'.
νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.
Ἀλεξιβιάδα, σὲ δ' ἠύκο-
μοι φλέγοντι Χάριτες·
μακάριος ὃς ἔχεις
(καὶ πεδὰ μέγαν κάματον)
λόγων φερτάτων
μναμήι'. ἐν τεσσαράκοντα γὰρ
πετόντεσσιν ἀνιόχοις ὅλον
δίφρον κομίξαις ἀταρβεῖ φρενί
ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν
ἀέθλων καὶ πατρωίαν πόλιν.

Ἐπ. β'.
πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται·
ὁ Βάττου δ' ἕπεται παλαιὸς
ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,

ἀγάλματ' coni. Schmid, τεκτόνια δαίδαλ' Hermann — 38. post ἄμειψεν interpunxit Bergk, ut ἐν κοιλόπεδον νάπος ad κρέμαται referatur — 39. θεοῦ· τῷ coni. Rauchenstein: θεοῦ. τὸ codd., θεῷ· τοῦ Bergk; νάπος· θεοῦ τέ σφ' ἔχει Hartung — 42. κάθεσσαν τὸν coni. Boeckh: καθέσσαντο vel καθέσσαν. τὸ codd. — μονόδρυον τύπον coni. Herwerden — 49. μναμήια *D* et schol.: μναμήιον (μνημ. *B*) *B C* — 50. ἀνιόχοισιν *C* — 52. ἀγλαῶν Mosch.: ἀγαθῶν *B D* — ἔσεται Mosch.: ἔσσεται *B D E* —

πύργος ἄστεος ὄμ-μα τε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι φύγον,
γλῶσσαν ἐπεί - σφιν ἀπένεικεν ὑπερ - ποντίαν·
ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων
θῆρας αἰνῷ φόβῳ,
ὄφρα μὴ ταμίᾳ Κυρά-
νας ἀτελὴς γένοιτο μαντεύ-μασιν.

ὃ καὶ βαρειᾶν νόσων — *Στρ. γ'.*
ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
πόρεν τε κίθαριν δίδωσί τε
Μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίαν,
μυχόν τ' ἀμφέπει
μαντήϊον· τῷ Λακεδαίμονι
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
ἔνασσεν ἀλκᾶντας Ἡρακλέος
ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμόν γαρύειν
ἀπὸ Σπάρτας ἐπήρατον κλέος·

ὅθεν γεγενναμένοι — *Ἀντ. γ'.*
ἵκοντο Θήρανδε φῶτες Αἰγεῖδαι,

57. *ξεν.* *X*: *ξείν.* *B D E* — 58. *φύγον* Mosch.: *φεῦγον* *B D E* — 59. *ἐπένεικεν* lemma cod. *U* probante Heynio — 69. *μαντήιον τῷ καὶ Λακ.* *B D E*, *καὶ* eiec. Pauw schol. secutus, *μαντεῖον, τῷ καὶ* coni. Hermann — 71. *ἔνασσεν* *D* — 72. *γαρύειν* coni. Hermann: *γαρύετ'* *B D* (sed *D* in lit.) *E* et schol., *γαρύεντ'* *P*, unde *γαρύειν τἀπὸ* olim conieceram — 73. *Σπαρτῶν* coni. Hecker —

ἐμοὶ πατέρες, οὐ θεῶν
  ἄτερ, ἀλλὰ μοῖρά τις ἄγεν.
πολύθυτον ἔρανον
ἔνθεν ἀναδεξάμενοι,
Ἄπολλον, τεᾷ,
Καρνήϊ', ἐν δαιτὶ σεβίζομεν
Κυράνας ἀγακτιμέναν πόλιν·
ἔχοντι τὰν χαλκοχάρμαι ξένοι
Τρῶες Ἀντανορίδαι. σὺν Ἑλένᾳ γὰρ μόλον,
καπνωθεῖσαν πάτραν ἐπεὶ Ϝίδον

ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως   Ἐπ. γ'.
δέκονται θυσίαισιν ἄνδρας
  οἰχέοντάς σφι δωροφόροι.
τοὺς ⟨δ'⟩ Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
κτίσεν δ' ἄλσεα μείζονα θεῶν,
εὐθύτομόν - τε κατέθηκεν Ἀπολ-λωνίαις
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
ἔμμεν ἱππόκροτον
σκυρωτὰν ὁδόν, ἔνθα πρυμ-
  νοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανών.

---

77. πολύθυτον ἐς ἔρ. *B D F G P O R V*, ἐς om. *E* et Mosch. neque legisse videntur schol.; ἄγ' ἐν coni. Mingarelli commate ante πολύθ. sublato — 78. ἀναδεξαμέναν et σεβιζέμεν coni. Hermann — 80. Καρνήϊ' ἐν Boeckh: καρνεῖ' ἐν *B D E*, Καρνεῖε σ' ἐν et deinde Κυράνας τ' coni. Bergk — σεβιζέμεν coni. Pauw, probavit Hermann — 81. ἀγακτιμέναν codd.: ἀγακλυμέναν coni. Hecker, ἀν' εὐκτιμέναν coni. Schömann — 84. εἶδον *D* — 85. ἐνδικαίως D^{pc} — 86. δέχονται *D* — ἄνδρας οἰχνέοντας σφι ex scholiis Hartung: ἄνδρες οἰχνέοντές σφε *B D E* et pars scholiorum — 87. τοὺς δ' Ἀρ. scripsi: τοὺς Ἀρ. codd. — 88. βαθείας ex scholiis Bergk — 90. εὐθύτονον ex scholiis Schmid; at. cf. I. VI 22 —

μάκαρ μὲν ἀνδρῶν μέτα   Στρ. δ'.
ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής.
ἄτερθε δὲ πρὸ δωμάτων
ἕτεροι λαχόντες ἀίδαν
βασιλέες ἱεροὶ
ἐντί· μεγάλαν δ' ἀρετὰν
δρόσῳ μαλθακᾷ
ῥανθεῖσαν ὕμνων ὑπὸ χεύμασιν
ἀκούοντί που χθονίᾳ φρενί,
σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν
ἔνδικόν τ' Ἀρκεσίλᾳ. τὸν ἐν ἀοιδᾷ νέων
πρέπει χρυσάορα Φοῖβον ἀπύειν,

ἔχοντα Πυθωνόθεν   Ἀντ. δ'.
τὸ καλλίνικον λυτήριον δαπανᾶν
μέλος χαρίεν. ἄνδρα κεῖνον ἐπ-
αινέοντι συνετοί.
λεγόμενον ἐρέω·
κρέσσονα μὲν ἁλικίας
νόον φέρβεται
γλῶσσάν τε· θάρσος δὲ τανύπτερος
ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·
ἀγωνίας δ' ἕρκος οἷον σθένος·

---

98. *μεγάλαν δ' ἀρετᾶν . . . ῥανθεισᾶν B D E*, et genetivos et accusativos agnoscunt schol. — 100. *ὕμνων* ex scholiis Beck: *κώμων θ' BDE, θ'* om. Mosch. — 101. *που* ex scholiis Hermann: *ποι* codd., *τοι* Boeckh — 102. *σφιν I* et fort. schol. — 103. *Ἀρκεσίλᾳ* Stephanus: *Ἀρκεσίλα B D E* — 107. *ἐπαιν.* Mosch.: *αἰν. BDE* — 111. *θάρσος δὲ* e scholiis restit. Schneidewin: *θάρσος τε* codd. vett. — *τανυπτέροις* Bergk — 112. *ὄρνυξιν D* — 113. *ἀγωνίαις* ex scholiis Bergk —

ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,
πέφανταί θ' ἁρματηλάτας σοφός·

ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι, *Ἐπ. δ'.*
τετόλμακε. θεός τέ ϝοι τὸ
νῦν τε πρόφρων τελεῖ δύνασιν,
καὶ τὸ λοιπὸν ὁμοῖ-α, Κρονίδαι μάκαρες,
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
ἔχειν, μὴ φθινοπωρὶς ἀνέμων
χειμερία-κατὰ πνοὰ δαμαλί-ζοι χλόον.
Διός τοι νόος μέγας κυβερνᾷ
δαίμον' ἀνδρῶν φίλων.
εὔχομαί νιν Ὀλυμπίᾳ
τωὐτὸ δόμεν γέρας ἔπι Βάττου γένει.

---

114. *ποτηνὸς B*, *πτηνὸς D* — 115. *πέφανται, χάρμ.* Hartung — 116. *ὅσαι* Mosch.: *ὅσσαι B D E* — 118. *λοιπὸν ὦ Κρον. B D E*, *λοιπὸν ὦ πλεῖστα Κρον.* Mosch., *λοιπὸν ὅμως ⏑⏑ Κρον.* coni. Bergk; *ὦ* eiecto suppleverunt *ὁμοῖα* Hartung, *ἔπειτα* Hermann, *ὄπισθε* Boeckh — 121. *καταπνοὰ δαμ.* vulgo — *δνοπαλίζοι* coni. Bergk, *πελεμίζοι* coni. Herwerden — *χλόον* (*χλόαν* Bergk) scripsi: *χρόνον* codd., *βίον* interpretantur scholia — 123. *φιλίων B* — 124. *τωὐτὸ* Bergk: *τοῦτο* codd. — *ἔπι* Tricl.: *ἐπὶ B D*, *ἔτι* coni. Heyne.

ΠΥΘΙΟΝ. ϛ.

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΑΡΜΑΤΙ

Pyth. 24 = 494 (490) a. Ch.

Strophae.

⏑ – ⏑ – ⏖ ⏑ –⏑ ⏑ – ⏑ – ⏓ |
⏑ – ⏑ –⏑ ⏑ ⏓
⏖ ⏑ –⏑ ⏑ | – ⏑ ⏖ – ⏑ ⏓
⏖ | – – ⏑ – ⏑ –⏑ ⏑ –
–⏑ ⏑ – ⏑ | – – ⏑ – ⏑ –⏑ ⏑ – |
⏖ ⏑ –⏑ ⏑ – ⏑ – – ⏑ ⏖ – |
⏑ – ⏑ – – |
– – ⏑ –⏑ ⏑ – – |
⏑ – – ⏑ – ⏑ – ⏒ – ⏑ ⏓ |

Ἀκούσατ᾽· ἦ - γὰρ ἑλικώπιδος Ἀφροδίτας *Στρ. α΄.*
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
χθονὸς ἐς - νάϊον προσοιχόμενοι·
Πυθιόνικος ἔνθ᾽ - ὀλβίοισιν Ἐμμενίδαις

---

3. *ἀναπολήσομεν* coni. Schmid — 4. *νάϊον* coni. Hermann: *ναὸν* codd., *λαϊνὸν* coni. Bergk —

ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

τὸν οὔτε χει-μέριος ὄμβρος ἐπακτὸς ἐλθών, Στρ. β'.
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμος ἐς μυχοὺς
ἁλὸς ἄξ-οισι παμφόρῳ χεράδι
τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, **Θρασύβουλε**, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.

σύ τοι σχέθων νῦν ἐπιδέξια χειρὸς ὀρθὰν Στρ. γ'.
ἄγεις ἐφημοσύναν,
τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραι-νεῖν· μάλιστα μὲν **Κρονίδαν**,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·

---

10. *οὔτε* *V* et scholia: *οὐ* *B D E*, *οὐχὶ* Tricl. — *ἐπακτὸς* Bergk: *ἐπακτὸς* codd. — 12. *ἄνεμος* *B D*: *ἄνεμοι* *E* et schol. — 14. *τυπτόμενον* coni. Dawes: *τυπτόμενοι* *B D E* et schol., *τυπτόμενος* *V*, *χεράδει σποδέων* aut legit aut interpretatur Et. M. 808, 32, *ἄξοιτο παμφόρος* et *ἐνσποδέων* coni. Bornemann Philol. 51, 469, *τυπτομένους* coni. Leutsch — 18. *κρισαίαισιν ἐνὶ πτυχαῖσιν* *B D*, corr. Mosch. — *ἀπαγγέλλει* *B*, *ἀπαγγελεῖς* coni. Heyne — 19. *νῦν* *B* et schol.: *νιν* *D E* — 21. *τὰ* Schmid: *τὰν* *B D E* et schol., *τὸ* Tricl. — *μεγαλοσθενῆ* coni. Bergk — 25. *θεὸν* *B* —

ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

ἔγεντο καὶ - πρότερον Ἀντίλοχος βιατὰς Στρ. δ'.
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμεί-ναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρει-ον γὰρ ἵππος ἅρμ' ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δονηθεῖσα φρὴν βόασε παῖδα ϝόν·

χαμαιπετὲς - δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ Στρ. ε'.
μένων [δ'] ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκη-σέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔρ-γον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

πάτρῳ τ' ἐπερ-χόμενος ἀγλαΐαν ἅπασαν. Στρ. ϛ'.

---

26. *τακτᾶς* coni. Herwerden — 28. *ἔγεντο* Tricl.: *ἐγένετο* *B D* — 30. *ἐναριβρ.* *D* — 31. *ἀναμ.* Tricl.: *ἀμμ.* *B D* — 32. *νεστόρειον* Tricl.: *νεστόρεον* *B D* — 33. *δαχθεὶς* *B* — 36. *δονηθ.* *B D E* — *βόασεν* Schmid — 37. *ἀπέριψεν αὐτοῦ·* ante Heynium — 38. *δ' ὁ* *B E* et paraphr.: *δὲ* (om. *ὁ*) *D*, *δ'* abiecit Bergk — 40. *τέ* codd.: *δὲ* Beck cum paraphr.; fort. *ἐδόκησ' ἐν δὲ* — 43. *παρήκει* *D* — 44. *τῶν*: *τὰ* *D* — *νῦν δὲ* Tricl.: *δὲ νῦν* *B D E* — 46. *τ'* codd.: fort. *γ'* — *ἀγλαΐαν*

νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ᾽ ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ᾽ ἐν μυχοῖσι Πιερίδων·
τίν τ᾽, Ἐλέλιχθον, ὀργᾶς ὃς ἱππειᾶν ἐσόδων,
μάλα ϝαδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

ἔδειξεν ἅπασαν BDE, *ἅπασαν* om. *Byz.*, mihi potius ut Bergkio[3] *ἔδειξεν* interpolatorem redolere videtur; *ἀγλαΐαν πέπαται* coni. M. Schmidt — 47. *ἄγειν D* — 48. *ἥβαν* codd. et schol.: *ἀνάταν* coni. Hermann collato P. II 28 — 49. *μυχοῖσι*: *πτυχαῖσι* coni. Leutsch Phil. 39, 395 — 50. *τίν*: *τήν D* — *ὀργᾶς ὃς ἱππειᾶν ἐσόδων* de coni. scripsi: *ὀργαῖς πάσαις ὃς* (*ὅσον B*) *ἱππείαν ἔσοδον B D E*; schol.: *ὃς εὗρες ἱππείας ἐσόδους*, unde *ὅσθ᾽ εὗρες ἱππίαν ἔσοδον* Boeckh, *ἃς εὗρες ἱππείας ἐσόδους* Mommsen — *Ἐλάσιχθον* coni. Bergk e fr. 18 — 51. *προσέχεται* Schmid: *προσέρχεται B D E* et schol. — 53. *ὁμιλῶν* coni. Pauw.

ΠΥΘΙΟΝ. Ζ'.

ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩι

ΤΕΘΡΙΠΠΩι

486 a. Chr.

Strophae.

– – ⏑ – ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑ – – |

⏑ –⏑ ⏑ – – ⏑ – | ⏒ – ⏑ –⏑ ⏑ –

– – ⏑ – – |

– –⏑ ⏑ – ⏓

⏑ – | ⏑⏑ ⏑ – ⏑ – ⏓ |

– –⏑ ⏑ – ⏑ – |

⏑⏑ ⏑ – ⏑ ⏓

⏒ ⏑⏑ ⏑ – – |

Epodi.

– ⏑ –⏑ ⏑ – | – ⏑ –⏑ ⏑ – |

⏑ – – – ⏑ – |

– –⏑ ⏑ – ⏑ – |

⏑⏑ ⏑ –⏑ ⏑ ⏓ |

⏑⏑ ⏑ – ⏑ –⏑ ⏑ – |

– – ⏑ – ⏑ –⏑ ⏑ – |

– – ⏑ – –⏑ ⏑ – |

⏑ –⏑ ⏑ – – |

Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι Στρ.
προοίμιον Ἀλκ-
μανιδᾶν εὐρυσθενεῖ γενεᾷ,
κρηπῖδ' ἀοιδᾶν
ἵπποισι βαλέσθαι·
ἐπεὶ τίνα πάτραν, τίνα Ϝοῖκον
αἰνέων ὀνυμάξομαι
ἐπιφανέστερον
Ἑλλάδι πυθέσθαι;

πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ Ἀντ.
Ἐρεχθέος ἀσ-
τῶν, Ἄπολλον, οἳ τεόν γε δόμον
Πυθῶνι δίᾳ
θαητὸν ἔτευξαν.
ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ
νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς,
δύο δ' ἀπὸ Κίρρας,

ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων. Ἐπ.
νέᾳ δ' εὐπραγίᾳ

---

1. *μεγαλοπόλ.* codd. et metr. schol.: *μεγαλοπτόλ.* coni. Boeckh — 2. *εὐρυσθ.* *B D* et schol.: *ἐρισθ.* Tricl. — 4. *ἵπποισι* *Byz.*: *ἵπποις* *B D E* — 5. *τίν' οἶκον* *D*, *τίνα τ' οἶκον* *B E* et schol. — 6. *αἰνέων* coni. Kayser: *ναίων* codd. quod antiquitus lectum et Didymo probatum esse testantur scholia, *ναίοντ'* et *αἰῶν'* coniecturae in scholiis commemoratae, *δίων* coni. Bergk, *ὑμῶν* Wölfflin, *λαῶν* vel *θνατῶν* Schneidewin — *ὀνυμάξομαι* Tricl. cum scholiis: *ὀνυμάξαι* (*ὀνομ.* *D*) *B D* — 9. *πολίεσι* Tricl.: *πολίεσσι* *B D*; cf. v. 1 — *ὁ λόγος* *B D*, *ὁ* om. Mosch. — 10. *Ἀπόλλων* Ald. fort. recte — *τεόν γε* Mosch.: *τεόν τε* *B D E*; *τεὸν μέγαρον* coni. Rauchenstein — 16. *δοιὼ ἀπὸ* Tricl. — 18. *τι* codd.: *τε* coni. Hartung —

χαίρω τι· τὸ δ' ἄχνυμαι,
φθόνον ἀμειβόμενον
τὰ καλὰ Ϝέργα. φαντί γε μάν·
οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν
τὰ καὶ τὰ φέρεσθαι.

---

22. *οὔπω* coni. Goram — *παρμενέμεν* coni. Hartung.

ΠΥΘΙΟΝ. Η΄.

ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

ΠΑΛΑΙΣΤΗι

Pyth. 35 = 450 (446) a. Ch.

Strophae.

˘́˘ ˘ –˘ ˘ –́ ˘ ˘̲ |
–́ ˘ –˘ ˘ ˘́|˘ ˘ ˘̲ |
–́ – ˘ –́˘ ˘ ˘̲ |
˘ –́ ˘ – –́˘|˘ – ˘ ˘́
–˘ ˘ –́ –|˘̲ –́ ˘ –˘ ˘ –́|˘ ˘̲
˘̄ –́ ˘ –˘ ˘ –́ –,|˘̄ –́ ˘ – ˘ ˘́
˘̄ –́ ˘ –|˘̄ –́ ˘ – ˘ ˘̲ |

Epodi.

˘ –́ ˘ –˘ ˘ –́ ˘ – –́|˘ – ˘ ˘́
˘̄ –́ ˘ –˘ ˘ –́ –|˘̄ –́˘ ˘ – ˘́
– ˘̄ –́˘ ˘ – ˘ –́ –,|– –́˘ ˘ – –|
– –́˘ ˘ – –́|˘ ˘ – ˘ –́ ˘ –|
˘ –́ –˘ ˘ –́ ˘ –| –́ ˘ –˘ ˘ –́ ˘ ˘̲ |
–́ – ˘̲ –́ ˘̄ –˘ ˘|–́ ˘ – ˘ –́ ˘̲

Φιλόφρον Ἡσυχία, Δίκας *Στρ. α΄.*
ὦ μεγιστόπολι θύγατερ,
βουλᾶν τε καὶ πολέμων

ἔχοισα κλα-ῖδας ὑπερτάτας,
Πυθιόνικον
τιμὰν Ἀριστομένει δέκευ.
τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι
τε καὶ παθεῖν ὁμῶς
ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ.

τὺ δ', ὁπόταν τις ἀμείλιχον Ἀντ. α'.
καρδίᾳ κότον ἐνελάσῃ,
τραχεῖα δυσμενέων
ὑπαντιάξ-αισα κράτει τιθεῖς
ὕβριν ἐν ἄντλῳ.
τὰν οὐδὲ Πορφυρίων λάθεν
παρ' αἶσαν ἐξερεθίζων·
κέρδος δὲ φίλτατον,
ἑκόντος εἴ τις ἐκ δόμων φέροι·

βία δὲ καὶ μεγάλαυχον ἔσ- Ἐπ. α'.
φαλεν ἐν χρόνῳ.
Τυφὼς Κίλιξ ἑκατόγ-
κρανος οὔ νιν ἄλυξεν,
οὐδὲ μὰν βασιλεὺς Γιγάντων·
δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ' Ἀπόλ-λωνος· ὃς εὐμενεῖ νόῳ

---

4. *κλᾶδας B* — *ὑπερτάτους D* — 5. *ἀριστομένους* D^s — 6. *ὅπως B* — 11. *τιθεῖς*: *τίθῃς* malo — 12. *λάθεν* coni. Mathiae Obs. misc. II 11: *μάθε* (*μάθεν D*) codd. et schol. — 14. *ἑκόντες B* — 15. *βία B D* et schol.: *βίᾳ Z* quod Heynius anteposuit — 16. *ἑκατόγκρανος* coni. Schmid: *ἑκατοντοκάρανος B*, *ἑκατοντάκρανος D* — 17. *δαμᾶθεν B* — *κερκυνῶ D* —

Ξενάρκειον ἔδεκτο Κίρ-
ραθεν ἐστεφανωμένον
υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ.

ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς *Στρ. β'.*
ἁ δικαιόπολις ἀρεταῖς
κλειναῖσιν Αἰακιδᾶν
θιγοῖσα νᾶ-σος· τελέαν δ' ἔχει
δόξαν ἀπ' ἀρχᾶς.
πολλοῖσι μὲν γὰρ ἀείδεται,
νικαφόροις ἐν ἀέθλοις
θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις.

τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει· *Ἀντ. β'.*
εἰμὶ δ' ἄσχολος ἀναθέμεν
πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν
κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον
ἴτω τεὸν χρέος, ὦ παῖ,
νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

παλαισμάτεσσι γὰρ ἰχνεύων *Ἐπ. β'.*
ματραδελφεοὺς

20. παρνασίδι coni. Boeckh: παρνασίᾳ codd. — 21. ἔπεσε codd.: ἔπετε exspectes, cf. v. 81 — 24. δ' ἔχει om. *D* — 26. νικαφόροις *BD*: νικαφόρους *E* — 28. καὶ ἀνδρ. *V*: καὶ ἐν ἀνδρ. *B D E* — 32. κνίξῃ coni. Schroeder — μοι *B*: μου *D* — 35. παλαισμάταισι *B*[1] —

Ὀλυμπίᾳ τε Θεόγ-
  νητον οὐ κατελέγχεις,
οὐδὲ Κλειτομάχοιο νίκαν
  Ἰσθμοῖ θρασύγυιον·
αὔξων δὲ πάτραν Μιδυλιδᾶν λόγον φέρεις
τόν, ὅνπερ ποτ' Ὀικλέος
  παῖς ἐν ἑπταπύλοις ἰδὼν
υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,

ὁπότ' ἀπ' Ἄργεος ἤλυθον Στρ. γ΄.
δευτέραν ὁδὸν Ἐπίγονοι·
ὧδ' εἶπε μαρναμένων·
Φυᾷ τὸ γενναῖον ἐπιπρέπει
ἐκ πατέρων
  παισὶ λῆμα. θαέομαι σαφὲς
δράκοντα ποικίλον αἰθᾶς
  Ἀλκμᾶν' ἐπ' ἀσπίδος
νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.

ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ Ἀντ. γ΄.
νῦν ἀρείονος ἐνέχεται
ὄρνιχος ἀγγελίᾳ
Ἄδραστος ἥρως· τὸ δὲ ϝοίκοθεν
ἀντία πράξει.
  μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ

---

40. Θήβαις υἱοὺς coni. Schmid — αἰν. Boeckh: ᾐν. (ἠν. *D*) codd. — 43. ὧδ' εἶπε Tricl.: ὧδε δ' εἶπε *B D E* — 44. ἐπιτρέπει *D* — 45. παισὶ *B D*, παισὶν *Byz.*, παῖ, σοὶ interpunctione post ἐπιπρέπει deleta coni. Hermann — θαέομαι B^s: θεάομαι B^1 *D* — 48. ποτέρα *D* — 52. μόνος: μόνον coni. Bornemann; μοῦνος hic et 72 Ξείναρκες cum *Byz.* Hermann; idem v. 92 μέρμηραν an scribendum sit dubitat opusc. VII 158 —

θανόντος ὀστέα λέξαις
υἱοῦ, τύχᾳ θεῶν
ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ

"Αβαντος εὐρυχόρους ἀγυι- 'Επ. γ'.
ἀς." τοιαῦτα μὲν
ἐφθέγξατ' 'Αμφιάρηος.
χαίρων δὲ καὶ αὐτὸς
'Αλκμᾶνα στεφάνοισι βάλλω,
ῥαίνω δὲ καὶ ὕμνῳ,
γείτων ὅτι μοι - καὶ κτεάνων φύλαξ ἐμῶν
ὑπάντασεν ἰόντι γᾶς
ὀμφαλὸν παρ' ἀοίδιμον,
μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις.

τὺ δ', ἑκαταβόλε, πάνδοκον Στρ. δ'.
ναὸν εὐκλέα διανέμων·
Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγισ-τον τόθι χαρμάτων
ὤπασας· οἴκοι
δὲ πρόσθεν ἁρπαλέαν δόσιν
πενταεθλίου σὺν ἑορταῖς
ὑμαῖς ἐπάγαγες. — —
— — ὦναξ, ἑκόντι δ' εὔχομαι νόῳ

κατά τιν ἁρμονίαν βλέπειν 'Αντ. δ'.

55. εὐρυχώρου *D* — 56. ἀμφιάραος *D* — 58. γείτων: τέγγων L. Schmidt — 59. ὑπάντασεν Schmid: ὑπαντίασεν *B D E*, ὑπάντασε τ' ex scholiis Boeckh — γᾶς Tricl.: γαίας *B D E* — 60. ἀοίδιμον μάντις, χρησμῶν τ' ἀμφ' ἅψ. Hermann — 67. ὦναξ *BD*: ἄναξ *E* — ἑκόντι σ' εὔχ. coni. Jurenka; at cf. O. VIII 86 — 68. τὶν Pauw: τιν' codd. — βλέπειν codd.: ἕπειν coni. Kayser,

ἀμφ' ἕκαστον, ὅσα νέομαι.
κώμῳ μὲν ἁδυμελεῖ
Δίκα παρέσ-τακε· θεῶν δ' ὄπιν
ἄφθιτον αἰτέω
Ξέναρκες, ὑμετέραις τύχαις.
εἰ γάρ τις ἐσλὰ πέπαται
μὴ σὺν μακρῷ πόνῳ,
πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων

βίον κορυσσέμεν ὀρθοβού- Ἐπ. δ'.
λοισι μαχαναῖς·
τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται·
δαίμων δὲ παρίσχει,
ἄλλοτ' ἄλλον ὕπερθε βάλλων,
ἄλλον δ' ὑπὸ χειρῶν· —
μέτρῳ κατάβαιν'· ἐν Μεγάροις δ' ἔχεις γέρας,
μυχῷ τ' ἐν Μαραθῶνος, Ἥ-
ρας τ' ἀγῶν' ἐπιχώριον
νικᾷς, τρισσοὺς δ', ὦ 'ριστόμενες, δάμασσας ἔργῳ.

τέτρασι δ' ἔμπετες ὑψόθεν Στρ. ε'.
σωμάτεσσι κακὰ φρονέων,

ρέπειν Bergk — 69. ὅσσα *BD* — νέομαι codd. et schol.: νέμομαι coni. Mingarelli, χέομαι Jurenka — 72. ἄφθιτον *BD*: γρ. καὶ ἄφθονον *G* in marg. — 73. πόνῳ: χρόνῳ *V*[1] — 75. κηρυσσ. *D* — 77. ἄλλοτ' *Byz.*: ἄλλοτε δ' *BDE* — χειρῶν μέτρῳ (μέτρον *D*[s]) iungunt codd. et schol.; ὑπὸ χεῖρα. μέτρῳ coni. Hartung — 78. κατάβαιν', ἐν coni. Bergk, qui tamen in novissima editione καταβαίνειν scripsit: καταβαίνει. ἐν codd. et schol. — 80. νικᾷς, τρισσοὺς δ' coni. Bergk: νίκαισι (νίκαις lemma *B*) τρισσαῖς *BDE* — ὦ 'ριστ. *BDE*: Ἀριστ. sine ὦ *Z* probante Heynio — δάμασσας *Byz.*: δαμάσσαις *B*, δάμασας *DE* — ἔργῳ: Ἄργει susp. Bergk —

τοῖς οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν - Πυθιάδι κρίθη,
οὐδὲ μολόντων
παρ ματέρ' ἀμφὶ γέλως γλυκὺς
ὦρσεν χάριν· κατὰ λαύρας
δ' ἐχθρῶν ἀπάοροι
πτώσσοντι, συμφορᾷ δεδαιγμένοι.

ὁ δὲ καλόν τι νέον λαχὼν 'Αντ. ε'.
ἀβρότατος ἔπι μεγάλας
ἐξ ἐλπίδος πέταται
ὑποπτέροις - ἀνορέαις, ἔχων
κρέσσονα πλούτου
μέριμναν. ἐν δ' ὀλίγῳ βροτῶν
τὸ τερπνὸν αὔξεται· οὕτω
δὲ καὶ πιτνεῖ χαμαί,
ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.

ἐπάμεροι· τί δέ τις; τί δ' οὔ 'Επ. ε'.
τις; σκιᾶς ὄναρ
ἄνθρωπος. ἀλλ' ὅταν αἴγλα
διόσδοτος ἔλθῃ,
λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν
καὶ μείλιχος αἰών. — —

84. ἐπ' ἀλπνὸς Bergk — 85. οὐδὲ codd.: οὔτε coni. Hartung — 86. δ' ἐχθρῶν] χορῶν coni. Bergk — 87. δεδαγμένοι coni. Bergk — 88. τι καὶ νέον *B* — 89. ἐπὶ *B D*, ἀπὸ *E*, ἔπι Hermann — 90. πέταται *B D E*: τέταται *R* — 93. τὸ om. *D* — καὶ ἐπιτνεῖ *D* — 95. οὔ τις: οὔτις al. — 96. ἄνθρωπος Plut. de cons. 6: ἄνθρωποι codd. Pindari — 97. φέγγος ἔπεστιν coni. Heyne: ἔπεστι φέγγος codd., φέγγος ἐπέσπεν coni. Hartung —

Αἴγινα, φίλα - μᾶτερ, ἐλευθέρῳ στόλῳ
πόλιν τάνδε κόμιζε| Δὶ
καὶ κρέοντι σὺν Αἰακῷ
Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ.

---

100. *καὶ ἀγαθῷ B D*: *κἀρίστῳ* Tricl., *Πηλεῖ τ' ἐσθλῷ καὶ σὺν Τελ.* Hermann opusc. VII 160.



ΠΥΘΙΟΝ. Θ′.

ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩι

ΟΠΛΙΤΟΔΡΟΜΩι

Pyth. 28 = ~~478~~ (474) a. Ch.

(Aegidae)
Alexidamos
Karneades
Telesikrates

Strophae.

⏖ – ⏓ ÷ ⏖ – ⏖ – – |
÷ ⏑ – – ∸ ⏑ – – ⏑̇
⏖ – | ⏑ ÷ ⏖ – ⏖ – ⏓ |
÷ ⏖ – ⏖ – | – ÷ ⏖ – ⏖ – ⏓ |
÷ ⏑ – – ÷ ⏖ – | ⏖ – – ÷ ⏑ – – | ÷ ⏖ – ⏖ ⏓ |
÷ ⏖ – ⏖ – – | ÷ ⏖ – ⏖ –, | – ÷ ⏖ – ⏖ – ⏓ |
÷ ⏖ – ⏖ – | ÷ ⏑ – – ∸ ⏑ – |
÷ ⏑ – – ∸ ⏑ – | – ÷ ⏑ – – ∸ ⏑ – ⏓ |

Epodi.

– ÷ ⏖ – ⏖ – – ÷ ⏑ – |
÷ ⏖ – ⏖ – – | ÷ ⏑ – – ∸ ⏑ – – | ÷ ⏖ – ⏖ ⏓
÷ ⏑ – – ÷ ⏖ – | ⏖ – – ÷ ⏑ ⏓ |
÷ ⏑ – – ∸ ⏑ – – |
÷ ⏑ – ⏓ ÷ ⏖ – | ⏖ – ⏓ ÷ ⏑ – |
÷ ⏑ – – ÷ ⏖ – ⏖ ⏓ |
÷ ⏑ – – ÷ ⏖ – ⏖ – –, | ÷ ⏑ – – ∸ ⏑ ⏓
÷ ⏖ – ⏖ ⏓ |
÷ ⏑ ⏖̲ – ÷ ⏖ – ⏖ – – |

Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν Στρ. α'.
σὺν βαθυζώνοισιν ἀγγέλλων
Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν,
ὄλβιον ἄνδρα, διωξίππου στεφάνωμα Κυράνας·
τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων
ποτὲ Λατοΐδας
ἅρπασ', ἔνεγκέ τε χρυσέῳ παρθένον ἀγροτέραν δί-
φρῳ, τόθι νιν πολυμήλου
καὶ πολυκαρποτάτας
θῆκε δέσποιναν χθονός,
ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν.

ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα Ἀντ. α'.
Δάλιον ξεῖνον, θεοδμάτων
ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ·
καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ'
Ὑψέος εὐρυβία·
ὃς Λαπιθᾶν ὑπερόπλων τουτάκις ἦν βασιλεύς, ἐξ
Ὠκεανοῦ γένος ἥρως
δεύτερος· ὅν ποτε Πίν-
δου κλεενναῖς ἐν πτυχαῖς
Ναΐς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρείοισ' ἔτικτεν,

Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον Ἐπ. α'.

2. ἀγγέλων *D* — 6. ἅρπασεν *BD* — ἔνεγκε *BDE*: ἔνεικε *V*; cf. v. 36 et 53 — νιν *E* et fort. B^{ac}: νῦν B^{pc} *D* — 8. τρίταν *D*: τριτάταν *B* — 10. ξένον *D* — θεοδμάτων *BD*: θεοδώτων *E*, θεοσδότων *V* — 11. κούφᾳ *G*: κούφα *B D E* — 12. ἐρατὰν *B*: ἀρετάν *D* — 13. μιχθέντα *B*: μιχθέντι *D* — 16. Κρείοισ' *Byz.*: κρέοισ' *BDE* — 17. γαίαι *D* fortasse recte, cf. N. III 10 — εὐώλενον codd.: λευκώλενον ex paraphrasi λευ-

θρέψατο παῖδα Κυράναν· ἁ μὲν οὔθ' ἱστῶν παλιμβά-
μους ἐφίλησεν ὁδούς,
οὔτε δείπνων οἰκοριᾶν μεθ' ἑταιρᾶν τέρψιας,
ἀλλ' ἀκόντεσσίν τε χαλκέοις
φασγάνῳ τε μαρναμένα κεράιζεν ἀγρίους
θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον
βουσὶν εἰρήναν παρέχοισα πατρῴαις, τὸν δὲ σύγκοιτον
γλυκὺν
παῦρον ἐπὶ γλεφάροις
ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.

κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας Στρ. β'.
ὀβρίμῳ μούναν παλαίοισαν
ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.
αὐτίκα δ' ἐκ μεγάρων Χείρωνα προσέννεπε φωνᾷ·
Σεμνὸν ἄντρον, Φιλυρίδα, προλιπὼν θυμὸν γυναικὸς
καὶ μεγάλαν δύνασιν
θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ, μόχθου
καθύπερθε νεᾶνις
ἦτορ ἔχοισα· φόβῳ δ'
οὐ κεχείμανται φρένες.
τίς νιν ἀνθρώπων τέκεν; ποίας δ' ἀποσπασθεῖσα φύτλας

κόπηχυν expiscatus est Lehrs — 19. δείπνων B D[1]: δεῖπνον D[s] et v. l. schol., δείνων coni. Bergk — οἰκουριᾶν (οἰκοριᾶν Mosch., οἰκοοριᾶν Schroeder) μεθ' ἑταιρᾶν τέρψιας codd.: τέρψιας οὔθ' ἑταρᾶν οἰκουρίαν ex scholiis elicuit Bergk — 22. ἀσυχ. BD — 24. γλεφ. V: βλεφ. BD — ὕπνον . . . παῦρον V, ὕπνον ἐπὶ γλεφάροις παῦρ' ἀναλίσκοισα coni. Bergk; ἀλδή-σκουσα pro ἀναλίσκοισα coni. M. Schmid; ἀναλίσκ. coni. Schroeder — 27. ὀβρ. BD, ὀμβρ. P, cf. O. IV 7 — 29. ἐκ μεγάρων codd.: δὲ σμαραγῶν coni. M. Schmidt, δ' ἐκκαλέων Herwerden — προσήνεπε BD — 31. νεῖκος B D[1]: νῖκος D[s], νίκην interpretatur schol. — κεφαλᾷ codd.: κραδίᾳ coni. Schneidewin — 32. οὐκ ἐχείμανθεν coni. Mommsen ex paraphrasi ἐχειμάσθησαν — φρένας coni. Bergk — 33. νιν B: μὲν D — ἀποσπαρθεῖσα interpretatur schol.

ὀρέων κευθμῶνας ἔχει σκιοέντων; 'Αντ. β'.
γεύεται δ' ἀλκᾶς ἀπειράντου.
ὁσία κλυτὰν χέρα ϝοι προσενεγκεῖν,
ἦ ῥα καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν;"
τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ χλαρὸν γελάσσαις
ὀφρύι, μῆτιν ἑὰν
εὐθὺς ἀμείβετο· „Κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς
ἱερᾶν φιλοτάτων,
Φοῖβε, καὶ ἔν τε θεοῖς
τοῦτο κἀνθρώποις ὁμῶς
αἰδέοντ', ἀμφανδὸν ἁδείας τυχεῖν τοπρῶτον εὐνᾶς.

καὶ γάρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν, 'Επ. β'.
ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον· κού-
ρας δ', ὁπόθεν, γενεὰν
ἐξερωτᾷς, ὦ ϝάνα, κύριον ὃς πάντων τέλος
οἶσθα καὶ πάσας κελεύθους·
ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὠπόσαι
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
κύμασι ῥιπαῖς τ' ἀνέμων κλονέονται, χὤ τι μέλλει,
χὠπόθεν
ἔσσεται, εὖ καθορᾷς.
εἰ δὲ χρὴ καὶ παρ σοφὸν ἀντιφερίξαι,

ἐρέω. ταύτᾳ πόσις ἵκεο βᾶσσαν Στρ. γ'.
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου

34. *σκιούντων D* — 36. *ὁσία D*: *ὅσια B* — *κλυτὰν FV*: *κλειτὰν BD* — 37. *ἦ ῥα BD*: *ἤ ῥα* Hermann — *κεῖρε B* — 38. *χλαρὸν P*: *χλιαρὸν BDE* — 41. *ἀμφανδὸν* coni. Schmid: *ἀμφαδὸν BDE* — 43. *γενεάν BD*: *γενετὰν E*, *γενεὰ* ex scholiis Hermann — 48. *χωπόθεν* coni. Schmid: *χ' ὥτι πόθεν BD*, *χ' ὥ τί ποτ' Byz.* — 50. *ἀντιφερίξαν D* — 52. *ὑπερποντίου D* —

Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ᾽ εὐρυλείμων
πότνιά σοι Λιβύα
δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων·
ἵνα Ϝοι χθονὸς αἶσαν
αὐτίκα συντελέθειν
ἔννομον δωρήσεται,
οὔτε παγκάρπων φυτῶν νήποινον, οὔτ᾽ ἀγνῶτα θηρῶν.

τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς *Ἀντ. γ΄.*
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
ταὶ δ᾽ ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐγαῖς,
νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι, θήσονταί
τέ νιν ἀθάνατον
Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων᾽, ἀνδράσι χάρμα φίλοις,
ἄγχιστον ὀπάονα μήλων,
Ἀγρέα καὶ Νόμιον,
τοῖς δ᾽ Ἀρισταῖον καλεῖν.
ὣς ἄρ᾽ εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν.

ὠκεῖα δ᾽ ἐπειγομένων ἤδη θεῶν *Ἐπ. γ΄.*
πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν᾽ ἆμαρ διαίτασεν·
θαλάμῳ δὲ μίγεν
ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν

---

54. *ἀρχάπολιν* *D* — 57. *ἐννόμως* Hartung — 59. *ὃν* om. *D* — 62. *θαησάμεναι* ex paraphrasi *θαυμάσασαι* restit. Bergk: *θηκάμεναι* (*θακ.* *B*) *B D*, *κατθηκάμεναι* Mosch. — *αὐγαῖς* coni. Bergk: *αὐταῖς* *B*, *αὐταῖς* *D* — 63. *τέ* *B*: *γέ* *E*, om. *D* — 64. *ἄγχιστον*: *ἄλπνιστον* coni. Hermann collato I. v 12 — 65. *ἀγραία* *B*[1] — 67. *ὠκεῖα* . . . *πρᾶξις* *B*: *ὠκεῖαι* . . . *πράξεις* *D*

ἀμφέπει κλεινάν τ' ἀέθλοις.
καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα
υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
ἔνθα νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων δέξεται,
καλλιγύναικι πάτρᾳ
δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.

ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι· Στρ. δ'.
βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν
ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως
παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ἰόλαον
οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι· τόν, Εὐρυ-
σθῆος ἐπεὶ κεφαλὰν
ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ' ὑπὸ γᾶν δι-
φρηλάτα Ἀμφιτρύωνος
σάματι, πατροπάτωρ
ἔνθα ϝοι Σπαρτῶν ξένος
κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.

τέκε ϝοῖ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων Ἀντ. δ'.
ἐν μόναις ὠδῖσιν Ἀλκμήνα
διδύμων κρατησίμαχον σθένος υἱῶν.
κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει,
μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν θρέ-
ψαντο καὶ Ἰφικλέα.

---

71. ἀγαθέᾳ interpretantur scholia: ἀγαθέα *B D* — καρνιάδα *B D* — 78. σοφοῖο *B* — 79. ἔγνον Ahrens collatis P. IV 120 et P. I 42: ἔγνων codd. — 80. ἀτιμώσ. *B*[1] — Εὐρυσθῆος *Byz.*: Εὐρυσθέος *B D* — 82. σάματι πατροπάτωρ codd.: σάματι πάρ, προπάτωρ ex scholiis elicuit Hartung — 85. μόναις] μόν' *D* — ἀλκμήνα *D*: ἀλκμάνα *B* — 87. περιβάλλει *B*: παραβάλλει *D* — 88. διρκέων *D* — ἀὲ Hermann: αἰεὶ *BD*, ἀναμέμναται coni. Pauw, ἀΐων μνᾶται Bergk scholiastam αἰσθάνεται

τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν.
Χαρίτων κελαδεννᾶν
μή με λίποι καθαρὸν
φέγγος. Αἰγίνᾳ τε γὰρ
φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι,

σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών. Ἐπ. δ'.
οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν
ξυνῷ πεπονημένον εὖ
μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω.
κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.
πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον, ἄφωνοί θ' ὡς ἕκασται
φίλτατον
παρθενικαὶ πόσιν ἢ
υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν,

ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου Στρ. ε'.
Γᾶς ἀέθλοις, ἔν τε καὶ πᾶσιν
ἐπιχωρίοις. ἐμὲ δ' ὦν τις ἀοιδὰν
διψάδ' ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι
καὶ τεῶν δόξαν παλαιῶν προγόνων· οἷοι Λιβύσσας
ἀμφὶ γυναικὸς ἔβαν

καὶ ἔχει μνήμην interpretantem secutus; ἀὲ Pisandrum usurpasse testatur gramm. anon. ap. Cram. An. Par. III 321, 28 — 91. φαμὶ . . . εὐκλεΐξαι . . . φυγών codd.: φατὶ coni. Schneidewin, εὐκλειξεν Pauw, εὐκλεΐξας Hermann, φυγόντ' Beck, τόνδ' . . . φυγόνθ' Dissen — 93. οὕν. *BD* τοὔν. Bergk — πεποναμένον codd.; cf. O. VI 11 — 96. σύν γε coni. Boeckh: σύν τε codd. et schol. — 98. ἕκασται *B*: ἑκάστα *D* — 99. ἢ codd.: αἱ δ' coni. Hartung — 101. ἔν τ' Ὀλ. *BD*, τ' eiec. *Byz.* — 103. δ' ὦν Hermann: δ' οὖν *BD*, δ' οὔ lemma cod. *B* — ἀοιδὰν διψάδ' ex schol. Hermann: ἀοιδᾶν δίψαν codd. — 105. καὶ τεῶν δόξαν

Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον μνα-
στῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀρισ-
τῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν εἶδος

ἔπλετο· χρυσοστεφάνου δέ ϝοι Ἥβας — Ἀντ. ε'.
καρπὸν ἀνθήσαντ' ἀποδρέψαι
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ' ἐν Ἄργει,
οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι, πρὶν
μέσον ἆμαρ ἑλεῖν,
ὠκύτατον γάμον. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρ-
μασιν αὐτίκ' ἀγῶνος·
σὺν δ' ἀέθλοις ἐκέλευ-
σεν διακρῖναι ποδῶν,
ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον.

οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ — Ἐπ. ε'.
νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κο-
σμήσαις τέλος ἔμμεν ἄκρον,
εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν
ἀμφί ϝοι ψαύσειε πέπλοις.
ἔνθ' Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,

παλαιῶν προγόνων transpos. Bergk: καὶ παλαιῶν δόξαν τεῶν προγόνων *B D*, παλαιὰν Mosch., παλαιὰ δόξα Schmid, ἑῶν cum Moschopulo Hermann — 106. Ἴρασα Heyne: Ἴρασσαν *B D*; Ἴρασαν ἐς Tricl. — 113. ἑλεῖν *G*: ἐλθεῖν *B D*, ἐλᾶν coni. Bergk — 115. ἀέθλοις *E*: ἀέθλοισιν *B D* — 116. σχήσοι *B*: σχήσει *D* — 117. οὕτω *B*: οὕτως *D* — 119. ἀγαγέσθαι coni. Naber —

παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν
ἄγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον. πολλὰ μὲν κεῖ-
νοι δίκον
φύλλ' ἔπι καὶ στεφάνους,
πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας.

---

122. χερὶ χερὸς D — 123. μὲν coni. Boeckh: μιν BD — 125. νίκας BD: νικᾶν V.

ΠΥΘΙΟΝ. Ι΄.

ΙΠΠΟΚΛΕΑͺ ΘΕΣΣΑΛΩͺ

ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜΩͺ

Pyth. 22 = ~~502~~ (498) a. Ch.

Strophae.

–̈ ⏒ –⏑ ⏑ –́ ⏓|
⏑ –̈ ⏒ –⏑ ⏑ –́ ⏑ – –̈|⏑ ⏑ – –́ ⏑ ⏓|
⏑ –̈⏑ ⏑ –⏑ ⏑ –́ ⏓ –⏑ ⏑ –́ ⏓|
⏑ –̈ –⏑ ⏑ –́ ⏒|–⏑ ⏑ –̈ – ⏑ –́⏑|⏑ – –̈ ⏑ – ⏑ ⏓|
⏑ –̈ – ⏑ –́ ⏑ –⏑ ⏑ –́|⏑ – ⏒
⏑⏑–⏑ ⏑ –́ ⏑ –|⏒ –̈ ⏑ – ⏑ ⏓|

Epodi.

⏒ –̈⏑ ⏑ – –̈|⏒ –⏑ ⏑ –́ ⏑ ⏓
–̈⏑ ⏑ – ⏓|
⏓ – ⏑ –́⏑ ⏑ – –̈|⏑ ⏑ – –́ ⏑ ⏓|
–̈ – ⏑ –́⏑ ⏑ – –̈ ⏑ ⏓|
–̈ – ⏑ –́⏑ ⏑ – ⏑ –́ ⏓|
⏒ – ⏑ –́ ⏑ –⏑ ⏑|–̈ ⏑ – –́ ⏑ ⏓|

Ὀλβία Λακεδαίμων· *Στρ. α΄.*
μάκαιρα Θεσσαλία· πατρὸς
δ' ἀμφοτέραις ἐξ ἑνὸς

---

1. *λακεδαίμων* B^1, *λακεδαῖμον* B^s *D* —

ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.
τί κομπέω παρὰ καιρόν; ἀλλά με Πυ-
θώ τε καὶ τὸ Πελιν-ναῖον ἀπύει
Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ θέλοντες
ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.

γεύεται γὰρ ἀέθλων· Ἀντ. α'.
στρατῷ τ' ἀμφικτιόνων ὁ Παρ-
νάσιος αὐ-τὸν μυχὸς
διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.
Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρ-
χά τε δαίμονος ὀρ-νύντος αὔξεται·
ὁ μέν που τεοῖς γε μήδεσι τοῦτ' ἔπραξεν·
τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρός,

Ὀλυμπιονί-κα δὶς ἐν πολεμαδόκοις Ἐπ. α'.
Ἄρεος ὅπλοις·
θῆκεν δὲ καὶ βαθυλεί-
μων ὑπὸ Κίρ-ρας ἀγὼν
πέτραν κρατησίποδα - Φρικίαν.
ἕσποιτο μοῖρα καὶ ὑστέραισιν
ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀν-θεῖν σφίσιν.

---

3. Ἀριστομάχου Heyne — 4. τί; κομπέω παρὰ καιρόν; interpunxit Mommsen — παρὰ: κατὰ schol. — πελιναῖον D, παλινν. B[1] — ἀπύει ex ἀπύειν corr. D — 5. ἱπποκλέα B D — 6. ἀνδρῶν codd.: νέων coni. Schmid — 8. ἀμφικτυ. codd.; στρατῷ περικτιόνων θ' coni. Hermann — παρνάσιος D: παρνάσσιος B — 9. -δρόμων B[pc], -δρομᾶν B[ac] — 11. τεοῖς γε Mosch.: τεοῖσί τε B D — 15. θῆκεν δὲ καὶ Boeckh: ἔθηκε καὶ codd. — βαθυλείμων D: βαθυλείμωνα B et schol. — ὑπὸ Κίρρας ἀγὼν Tricl.: ἀγὼν ὑπὸ Κίρρας B D — πέτραν codd.: πέτρας coni. Hartung; fort. βαθυλείμων ὑπὸ Κίρρας πετρᾶν ἀγών — 17. ἕσποιτο Mosch.: ἕποιτο B D —

τῶν δ' ἐν Ἑλλάδι τερπνῶν Στρ. β'.
λαχόντες οὐκ ὀλίγαν δόσιν,
μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς αἰεί
ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμ-
νητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς,
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,

καὶ ζώων ἔτι νεαρὸν Ἀντ. β'.
κατ' αἶσαν υἱὸν ἴδῃ τυχόν-
τα στεφάνων Πυθίων.
ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ·
ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις
ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον
πλόον. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν ἂν εὕροις
ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.

παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας, Ἐπ. β'.
δώματ' ἐσελθών,
κλειτὰς ὄνων ἑκατόμ-
βας ἐπιτόσσαις θεῷ
ῥέζοντας· ὧν θαλίαις ἔμπεδον

---

21. *αἰεὶ* coni. Schneidewin: *εἴη* codd. et schol., *οἷος* coni. Hermann — 24. *ἕλῃ*: *ὅλῃ* B^1 — 26. *ἴδῃ* ed. Rom. cum scholiis: *ἴδοι* *B D* — 27. *οὔ ποτ'* *B D*: *οὔ πως* coni. Hermann, *οὐ ποτάμβατος* Bergk — *αὐτῷ* Tricl. et alterum scholium: *αὐτοῖς* *B D* et prius scholium — 28. *βροτὸν* coni. Schmid: *βρότεον* *B D* — *ἁπτόμεσθα* Tricl.: *ἁπτόμεθα* *B D* — 29. *ἔσχατον· πλέων ναυσὶ* coni. Jurenka — *ἂν* om. *B D*, add. Mosch., *κεν* Hermann, *τάχ'* ex scholiis Bergk — 30. *ἐς* om. *D* — *θαυματὰν* coni. Schmid: *θαυμαστὰν* codd. — 32. *δώματ' ἐλθ.* *D* —

εὐφαμίαις τε μάλιστ' Ἀπόλλων
χαίρει, γελᾷ θ' ὁρῶν ὕβριν ὀρθίαν - κνωδάλων.

Μοῖσα δ' οὐκ ἀποδαμεῖ Στρ. γ'.
τρόποις ἐπὶ σφετέροισι· παν-
τᾷ δὲ χοροὶ - παρθένων
λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται·
δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδή-
σαντες εἰλαπινά-ζοισιν εὐφρόνως.
νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται
ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ

οἰκέοισι φυγόντες Ἀντ. γ'.
ὑπέρδικον Νέμεσιν. θρασεί-
ᾳ δὲ πνέων - καρδίᾳ
μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ' Ἀθάνα,
ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφ-
νέν τε Γοργόνα, καὶ - ποικίλον κάρᾳ
δρακόντων φόβαισιν ἤλυθε νασιώταις
λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι

θεῶν τελεσάν-των οὐδέν ποτε φαίνεται Ἐπ. γ'.
ἔμμεν ἄπιστον. — —
κώπαν σχάσον, ταχὺ δ' ἄγ-
κυραν ἔρει-σον χθονὶ
πρῴραθε, χοιράδος ἄλ-καρ πέτρας.
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ' ἄλλοτ' ἄλλον ὦτε μέλισσα θύ-νει λόγον.

---

35. εὐφαμίας *D* — 36. γελᾷ *B*: γαλᾶ *D* — ὀρθιᾶν *B D* — 38. δρόποις coni. Bergk — δὲ χοροὶ τὲ *D* — 48. θαυματὰ coni. Hermann — 52. πρώραθε codd. — ἀλκὰν *D* — 54. ὦτε *G I*: ὥστε *B D E* —

ἔλπομαι δ' Ἐφυραίων Στρ. δ'.
ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖ-
αν προχεόν-των ἐμὰν
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων θαητὸν ἐν ἅ-
λιξι θησέμεν ἐν - καὶ παλαιτέροις,
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
ἑτέροις ἑτέρων ἔρως ὑπέκνιξε φρένας·

τῶν δ' ἕκαστος ὀρούει, Ἀντ. δ'.
τυχών κεν ἁρπαλέαν σχέθοι
φροντίδα τὰν - πὰρ ποδός·
τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
πέποιθα ξενίᾳ προσανέι Θώ-
ρακος, ὅσπερ ἐμὰν - ποιπνύων χάριν
τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως.

πειρῶντι δὲ καὶ - χρυσὸς ἐν βασάνῳ πρέπει Ἐπ. δ'.
καὶ νόος ὀρθός.
ἀδελφεούς τε μέγ' αἰ-
νήσομεν ἐσ-λούς, ὅτι
ὑψοῦ φέροντι νόμον - Θεσσαλῶν
αὔξοντες· ἐν δ' ἀγαθοῖσι κεῖνται
πατρώιαι κεδναὶ πολίων κυβερ-νάσιες.

---

57. Ἱπποκλέαν F: ἱπποκλέα BD, τὸν Ἱπποκλέα Hermann, Ἱπποκλέα ποτε Kayser — 58. ἐν καὶ Tricl.: ἔν τε καὶ B^1 ἔν τε B^2D, ἔν τ' αὖ Heyne — παλαιοτ. D — 60. ἑτέροις lemma in V: ἑτέροισιν BD — ὑπέκνιξε ex scholiis Hermann: ἔκνιξε (-ξε B) BD, ἔκνιξέ γε Mosch., ἔκνιξε τὰς Tricl. — 61. ὀρούῃ mavult Bergk — 69. ἀδελφεοὺς BD: κἀδελφεοὺς Tricl. — τε μέγ' αἰν. scripsi: τ' ἐπαιν. BD, μὲν ἐπαιν. Hermann, ἐπί τ' αἰν. Bergk — 71. ἐν δ' BD, ἐνθ' U Mommsen — κεῖνται B: κεῖται D et schol.

Pythionicus
Thrasydaeus

ΠΥΘΙΟΝ. ΙΑ'.

ΘΡΑΣΥΔΑΙΩι ΘΗΒΑΙΩι

ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ

Pyth. 28 = ~~478~~ (474) a. Ch.

Strophae.

– – ⏑ –⏑ ⏑ –|⏑ ⏑ –⏑ ⏑ – ⏑ – – ⏑|
– – ⏑ –⏑ ⏑ –, – ⏑ –|⏑ ⏑ ⏑⏑ ⏑ – – ⏑ ⏑|
⏑⏑ ⏑ – ⏑ ⏑⏑ ⏑ –⏑ ⏑ ⏑|
– ⏑⏑⏑⏑ ⏑ – – –|⏑ ⏑⏑ –⏑ ⏑ ⏑|
– – ⏑ –⏑ ⏑ – ⏑|– – ⏑ – ⏑ ⏑|

Epodi.

–⏑ ⏑ –⏑ ⏑ – –|
⏑⏑ ⏑ –⏑ ⏑ – ⏑|
– –⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ ⏑|
⏑⏑ ⏑ –⏑ ⏑ – ⏑ – – ⏑ ⏑|
⏑ – ⏑ – ⏑ – – ⏑⏑ ⏑ –
⏑ –|⏑ – ⏑ –⏑ ⏑ – –|

Στρ. α'.

Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυι-ᾶτις,
Ἰνὼ δὲ Λευκοθέα
ποντιᾶν ὁμοθάλαμε Νη-ρηΐδων,

---

1. fort. *ἀγυιᾶτι* — 2. *δὲ* *B D*: *τε* Boeckh — *Νηρηΐδων* *Byz.*: *νηρεΐδων* *B D* —

ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
ματρὶ πὰρ Μελίαν
χρυσέων ἐς ἄδυτον τριπόδων
θησαυρόν, ὃν περίαλλ' ἐτί-μασε Λοξίας,

'Αντ. α'.

Ἰσμήνειον δ' ὀνύμαξεν, ἀλαθέα μαντείων - θῶκον·
ὦ παῖδες Ἁρμονίας,
ἔνθα καί νυν ἐπίνομον ἡ-ρωίδων
στρατὸν ὁμαγυρέα καλεῖ συνίμεν,
ὄφρα Θέμιν ἱερὰν
Πυθῶνά τε καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδήσετ' ἄκ-ρᾳ σὺν ἑσπέρᾳ,

'Επ. α'.

ἑπταπύλοισι Θήβαις
χάριν ἀγῶνί τε Κίρρας,
ἐν τῷ **Θρασυδαῖος** ἄμ-νασεν ἑστίαν
τρίτον ἔπι στέφανον πατρῷ-αν βαλών,
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα
νικῶν ξένου Λάκωνος Ὀρέστα.

Στρ. β'.

τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμ-νήστρας
χειρῶν ὕπο κρατερᾶν
ἐκ δόλου τροφὸς ἄνελε δυσ-πενθέος,

---

3. ἀριστογόνῳ (-ω D) B D, ἀριστογόνου, quod scholia interpretantur, praetulit Mommsen — 4. ἐς Tricl.: εἰς B D — 6. ἰσμήνιον B D — ἀλαθεία D — μαντείων B D: μαντίων Hermann — 8. ὁμήγυρ. D, ὁμηγερ. B — συνίμεν B et schol.: συνέμεν D — 10. κελαδήσετ' coni. Heyne: κελαδῆτε codd., κελαδῆτον Bergk, coniecturae receptae favet paraphrasis ὑμνήσητε — 13. ἄμνασεν ex scholiis Kayser: ἔμνασε codd., ἔμνασέ μ' Hermann — ἑστιᾶν . . . πατρῳᾶν coni. Rauchenstein probabiliter — ἔπι Hermann: ἐπὶ codd. — 16. νικᾶν coni. Hermann — 17. Κλυταιμνήστρας non Κλυταιμήστρας B D — 18. χειρῶν

ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ
χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
ψυχᾷ πόρευσ' Ἀχέροντος ἀκ-τὰν παρ' εὔσκιον,

Ἀντ. β'.

νηλὴς γυνά. πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐ-ρίπῳ
σφαχθεῖσα τῆλε πάτρας
ἔκνισεν βαρυπάλαμον ὄρ-σαι χόλον;
ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν
ἔννυχοι πάραγον
κοῖται; τὸ δὲ νέαις ἀλόχοις
ἔχθιστον ἀμβλακιῶν καλύψ-αι τ' ἀμάχανον

ἀλλοτρίαισι γλώσσαις· *Ἐπ. β'.*
κακολόγοι δὲ πολῖται.
ἴσχει τε γὰρ ὄλβος οὐ-μείονα φθόνον·
ὁ δὲ χαμηλὰ πνέων ἄφαν-τον βρέμει.
θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,

Στρ. γ'.

μάντιν τ' ὄλεσσε κόραν, ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρω-θέντων
Τρώων ἔλυσε δόμους
ἁβρότατος. ὁ δ' ἄρα γέρον-τα ξένον

Schmid: *χερῶν* codd. — *καρτ.* *B* — *ἐκ*: *κὴκ* (*κἀκ* Gildersleeve) Bergk — 20. *κασάνδρ.* *B*, *-δρα* *D* — 23. *χόλον* *B D*: *λόχον* *V* — 24. *δαμαζ.* *B*: *δαμαλιζ.* *D*, *θαμιζ.* coni. M. Schmidt — 25. *ἐννύχιοι* *B* — 26. *αἴσχιστον* coni. Hecker — *ἀμπλακιῶν* (vel *-ιᾶν*) coni. Hecker: *ἀμπλάκιον* (*ἀμβλ.* *B*) codd. — 29. *κἴσχει μέγας* coni. Hartung — 30. *ἄφαντος* *D* — *βρύει* coni. Hartung — 32. *κλυταῖς* *F*: *κλειταῖς* *B D* — 34. *ἔλυσε*: *ἔπαυσε* coni. Herwerden — *γέροντα ξένον* Tricl.: *ξένον γέροντα* *B D* —

Στρόφιον ἐξίκετο νέᾳ κεφαλᾷ,
Παρνασοῦ πόδα ναί-
οντ'· ἀλλὰ χρονίῳ σὺν Ἄρει
πέφνεν τε ματέρα θῆκέ τ' Αἴ-γισθον ἐν φοναῖς. — —

Ἀντ. γ'.

Ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδι-νάθην,
ὀρθὰν κέλευθον ἰὼν
τοπρίν· ἤ μέ τις ἄνεμος ἔ-ξω πλόου
ἔβαλεν, ὡς ὅτ' ἄκατον εἰναλίαν.
Μοῖσα, τὸ δὲ τεόν, εἰ
μισθοῖο συνέθεν παρέχειν
φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλ-λᾳ ταρασσέμεν,

Ἐπ. γ'.

ἢ πατρὶ Πυθονίκῳ
τό γέ νυν ἢ Θρασυδαίῳ·
τῶν εὐφροσύνα τε καὶ - δόξ' ἐπιφλέγει.
τὰ μὲν ἐν ἅρμασι καλλίνι-κοι πάλαι
Ὀλυμπίᾳ γ' ἀγώνων πολυφάτων
ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις·

---

35. νέα κεφαλά Heyne — 36. χρονίῳ Tricl.: χρόνῳ *B D* — 37. πέφνεν τε Mosch: ἔπεφνε (sine τε) *B D* — 38. φίλοι *B D*: φίλη *P*, unde φίλα Bornemann — ἀμευσιπόρους τριόδους coni. Hermann — ἐδινάθην *D*: ἐδινήθην *B*; cf. I. v 6 — 40. ἐναλ. *B D* — 41. δὲ τεὸν Mosch.: δ' ἐτεὸν *B D* — μισθοῖο scripsi: μισθῶ *B D*, μισθὸν σὺ Bornemann; genetivum interpretantur scholia — συνέθεν παρέχειν codd.: μισθῷ παρεχέμεν συνέθεν Hermann — 42. ἄλλᾳ *G* Heyne: ἄλλα χρή codd , χρὴ non legebant scholia — χαρασσέμεν coni. Bergk, παρασσέμεν Jurenka — 43. πυθονίκῳ Tricl.: πυθιονίκῳ *B*, πυθιονίκων *D*, Πυθόνικον coni. Bornemann — 46. τὰ μὲν ἐν Tricl.: τὰ μὲν (sine ἐν) *B D* — 47. Ὀλυμπίᾳ γ' coni. Ahlwardt: ὀλυμπίᾳ τ' *B D*, τ' eiec. Pauw, Ὀλυμπίας coni. Schmid coll. O. I 7, ὀλυμπίαν Boeckh — πολυφάτων *D B*[s]: πολύφατον *B*[1] — 48. θοὰν: θοαῖς coni. Hartung —

Στρ. δ'.

Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤ-λεγξαν
Ἑλλανίδα στρατιὰν
ὠκύτατι. θεόθεν ἐραί-μαν καλῶν,
δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
τῶν γὰρ ἂν πόλιν εὑ-
ρίσκων τὰ μέσα μάσσονι σὺν
ὄλβῳ τεθαλότα, μέμφομ' αἶ-σαν τυραννίδων·

Ἀντ. δ'.

ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι· φθονεροὶ δ' ἀμύ-
νονται
ἆται, εἴ τις ἄκρον ἑλὼν
ἡσυχᾷ τε νεμόμενος αἰ-νὰν ὕβριν
ἀπέφυγεν, μέλανα δ' ἂν' ἐσχατιὰν
κάλλιπεν θανάτοι'
αἶσαν γλυκυτάταν γενεᾷ,
εὐώνυμον κτεάνων κρατίσ-ταν χάριν πορών·

ἅ τε τὸν Ἰφικλείδαν Ἐπ. δ'.
διαφέρει Ἰόλαον

---

49. τε] δὲ Pauw paraphrasin secutus — γυμνοὶ *PQ* — 51. ἁλικίᾳ: εὐδικίᾳ coni. Hecker — 52. ἂμ Hermann: ἀνὰ *BD* — μακροτέρῳ (μακροτάτῳ *D* et schol.) σὺν ὄλβῳ *BD*, σὺν eiec. Tricl., μάσσονι σὺν coni. Bergk probabiliter — 54. ἀμύνονται ἆται, εἰ Hermann: ἀμύνοντ' ἄτα (ἄτᾳ schol.), εἰ codd. et schol., ἀμύνονται ῥᾷστ', εἰ coni. Leop. Schmidt; nominis ἆται altera syllaba cum εἰ coalescit — 55. ἀσυχᾷ (ἡσ. Mommsen) coni. Hermann: ἡσυχίᾳ *BD* — 56. μέλανα δ' coni. Hermann: μέλανος δ' codd., μέλανος Schmid — 57. κάλλιπεν θανάτοι' αἶσαν scripsi dubitanter: καλλίονα θανάτου ἐν (εσχεν ἐν *D*) *BD* — γλυκυτάταν coni. Bornemann: γλυκυτάτᾳ codd.; μόρον ὅδ' ἂν' ἐσχατιὰν καλλίονα βιοτᾶς ἔσχεν coni. Kayser, μέλανος ὁ δ' ἐσχατιὰν καλλίονα θανάτου τέτμεν coni. Bergk — 58. κράτιστον *B*[1], κρατίσταν *B*[s] *D* —

ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
σέ τε, ϝάναξ Πολύδευκες, υἱ-οὶ θεῶν,
τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,
τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου.

---

62. υἱοὺς maluit Pauw — 64. ἐντὸς coni. Hecker.

ΠΥΘΙΟΝ. ΙΒʹ.

ΜΙΔᾼ ΑΚΡΑΓΑΝΤΙΝῼ

ΑΥΛΗΤῌ

Pyth. 24 = 494 (490) a. Ch.

Strophae.

– ⁝́ ◡◡ – ◡◡ – | – ⁝́ ◡◡ – ◡◡ ⏓ |
⁝́ ◡◡ – ◡◡ –, | – ⁝́ ◡◡ – ◡◡ – |
– ⁝́ ◡◡ – ◡◡ – | – ⁝́ ◡ – – – ◡ ⏓ |
⁝́ ◡◡ – ◡◡ – | – ⁝́ ◡◡ – ◡◡ ⏓ |
– ⁝́ ◡◡ – ◡◡ – | – ⁝́ ◡ – – – ◡ ⏓ |
– ⁝́ ◡◡ – ◡◡ – – | ⁝́ ◡ – – – ◡ ⏓ |
– ◡◡ – ◡◡ – – – ◡ ⏓ |
⁝́ ◡ – – – ◡ – – – ◡ – – |

Στρ. αʹ.

Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ τ' ὄχθαις ἔπι μηλοβότου
ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν, ὦ Ϝάνα·
ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενείᾳ
δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ,

3. ὦ om. *D* — 5. εὐδόξῳ μίδᾳ *B*: εὐδόξω μίδα *D*, εὐδόξου μίδα *E* —

αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ, τάν ποτε
Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων
οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα·

Στρ. β'.

τὸν παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς
ἄιε λειβόμενον δυσπενθέι σὺν καμάτῳ,
Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,
εἰναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.
ἤτοι τό τε θεσπέσιον Φόρκοιο μαύρωσεν γένος,
λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον
δουλοσύναν τό τ' ἀναγκαῖον λέχος,
εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας

Στρ. γ'.

υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου
ἔμμεναι. ἀλλ' ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων
ἐρρύσατο παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,
ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων
χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον·
εὗρεν θεός· ἀλλά νιν εὑροῖσ' ἀνδράσι θνατοῖς ἔχειν,
ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον,
εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων,

7. γοργόνων *Q R* et schol.: om. *B D* — 8. διαπλέξασθ' ἀθ //// τὸν *D* — 9. ὀφίων om. *D*ac — 10. ἄ . ιε *D* — 11. ἄνυσσεν Boeckh: ἄνσεν (-σε *B*) *B D*, ἄνυσεν et ἄνσε schol., ἄιξεν coni. Kaibel — 12. ἐναλίᾳ *B D* — σερίφῳ (sine τε) *B D*: τε· πέτρα coni. Hermann³, τε Σερίφῳ Boeckh, Ϝὲ Σερίφῳ Mommsen — λαοῖσι Boeckh, λᾶσι Boehmer, τοῖσι Hermann² — 13. φόρκοι' ἀμαύρωσε *B D*: Φόρκοιο μαύρωσεν Hermann — 16. εὐπαράον *D* — συλήσ. *B D* — 17. αὐτορρύτου *B D* — 19. αὐλᾶν *D*ac — 21. ἐρικλάγηταν (?) *D* — 23. ὠνόμ. *B D* — 24. λαοσσόον Mosch. —

Στρ. δ'.

λεπτοῦ διανισσόμενον χαλκοῦ θ' ἅμα καὶ δονάκων,
τοὶ παρὰ καλλίχορον ναίοισι πόλιν Χαρίτων,
Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤ τοι σάμερον
δαίμων· τὸ δὲ μόρσιμον οὐ παρφυκτόν· ἀλλ' ἔσται χρόνος
οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω.

25. *διανισόμ.* *BD* — *θαμὰ* *BD* — 26. *καλλίχορον ναίοισι πόλιν* em. Hermann: *καλλιχόρῳ* *BD* (syll. paenultima in lit. *D*); *ναίοισι* *B*, *ναίουσι* *D*; *πόλιν* *BD*: *πόλει* V Mosch. — 27. *καφισσίδ.* *D* — *χορευταὶ* *B* — 29. *τελεύσει* *D* — *νιν ἤτοι* codd. schol.: *νέωτ' ἢ* tentavit Mommsen, *νιν, ἦτοι σάμερον* Buecheler; *τελεύτασεν, Μίδα, τοι σάμερον* Kaibel — 30. *τό γέ* *BD*, *τὸ δὲ* *Q* et scholia — 30 sq. *ἔσται χρόνῳ, ὃ ὅγε* coni. Schroeder — 31. *ἀελπτία* *D*, *ἀελπία* *B*, unde *ἀελπείᾳ* coni. Mommsen.

ΝΕΜΕΟΝΙΚΑΙΣ.

Α'.

ΧΡΟΜΙΩι

ΙΠΠΟΙΣ

473 (aut 471) a. Ch.

Strophae.

– ∸ ⏑ – ⏓ ∸ ⏑ ⏓ |
– ∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏖ – ⏖ ⏓ |
– ∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓ |
∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ ∸ ⏖ – – | ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏑ – – ∸ ⏖ – ⏖ – | ∸ ⏑ – – ∸ ⏑ – | –
∸ ⏑ – – ∸ ⏑ ⏓ |

Epodi.

∸⏑ ⏑ – – ∸ ⏑ – – | ∸ ⏖ – ⏖ ⏓, ∸ ⏑ ⏓ |
∸ ⏖ – ⏖ ∸ | ⏖ – – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
∸ ⏑ – – ∸ ⏖ – ⏖ ∸ | ⏖ – – ∸ ⏑ – – | ∸ ⏑ ⏓
– ∸ ⏑ – ∸ ⏖ –, | ∸ ⏑ – – ∸ ⏑ ⏓ |

Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ, Στρ. α'.
κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,

δέμνιον Ἀρτέμιδος,
Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα τ'
ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.

ἀρχαὶ δὲ βέβληνται θεῶν 'Αντ. α'.
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευ-
σέν τέ ϝοι χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς

Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων 'Επ. α'.
ἀφνεαῖς.
ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά ϝοι χαλκεντέος
λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλλοις
ἐλαιᾶν χρυσέοις
μιχθέντα. πολ-λῶν ἐπέβαν
καιρὸν οὐ ψεύδει βαλών.

---

4. κασιγνήταν lemma in D, unde κασίγνητον coni. Bornemann — 7. θ' ἔργμασι D^{ac}, θ' ἔργμασι D^{pc}, θ' ἔρμασι B — 8. θεῶν: θεῷ coni. Davisius; βέβληντ' ἐκ θεῶν coni. Mingarelli — 11. μεγάλων B: μεγίστων D — 13. σπεῖρε ex paraphrasi restituit Beck: ἔγειρε B D — 16. χαλκεντείος ex corr. B — 17. ὑπαιχμόν D — θαμὰ B: θ' ἅμα D^{ac}, utrumque agnoscunt scholia — χρυσέοις Tricl.: χρυσέοισι BD —

ἔσταν δ' ἐπ' αὐλείαις θύραις Στρ. β'.
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι·
χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.

πράσσει γὰρ ἔργῳ μὲν σθένος, Ἀντ. β'.
βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν,
συγγενὲς οἷς ἕπεται.
Ἁγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν,
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ-
σαι φίλοις ἐξαρκέων. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες

Ἐπ. β'.
πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον,
ὡς ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν ἐς αἴγλαν παῖς Διὸς

---

24. ἐσλοὺς Tricl.: ἐσλὸς *B D* quod ex antiqua scriptura ΕΣΛΟΣ pro ἐσλώς = ἐσλούς, remansisse scite monuit in scholiis Aristarchus — 25. δ' ἐν: δέ μ' olim conieceram — 31. ἔραμαι codd. et schol.: ἔρασαι coni. Mingarelli acute — 35. ὡς ἐπεὶ . . . 37. ὡς οὐ coni. Boeckh: ὡς ἐπεὶ . . . ὥς τ' οὐ codd. neque aliter schol., τόνδ' ὅπως . . . ὥς τ' οὐ coni. Beck,

ὠδῖνα φεύ-γων διδύμῳ
  σὺν κασιγνήτῳ μόλεν,

ὡς οὐ λαθὼν χρυσόθρονον Στρ. γ'.
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
ἀλλὰ θεῶν βασίλεα
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέκνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρ-
  θὸν μὲν ἄντεινεν κάρα, πειρᾶτο δὲ πρῶτον μάχας,

δισσαῖσι δοιοὺς αὐχένων Ἀντ. γ'.
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον δέος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει·
καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρού-
  σαισ' ἀπὸ στρωμνᾶς, ὁμῶς ἄμυνεν ὕβριν κνωδάλων.

Ἐπ. γ'.
ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις ἔδραμον σὺν ὅπλοις
  ἀθρόοι·

ὡς ἄρα . . . ὥς τ' οὐ vel ὡς ἐπεὶ . . . οὔτοι Hermann, ὡς ἐπεὶ . . . ὦπ' οὐ λαθὼν χρυσοθρόνοι' Ἥρας Ahrens — 39. βασίλεα Heyne: βασίλεια codd., βασιλὶς coni. Schmid — 43. ἄντεινε lemma in *B*: ἀνέτεινε *BD* — 45. ἀφίκτοις *D* — 46. ἀγχομένας *D* — χρόνος] χρόμος coni. M. Schmidt, χάνος Herwerden; ἀγχόμενοι δὲ χρόνῳ ψυχὰς ἀπέπνευσαν Benedictus — 48. δέος *BD*: βέλος V^{ac} *X*, ἄτλατος θέα coni. Jurenka — 50. ὁμῶς codd.: ὅμως Boeckh — 51. ἔδραμον σὺν ὅπλοις ἀθρόοι coni. Bergk: σὺν

ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς·
εὐθὺς δ' ἀπήμων κραδία
κᾶδος ἀμφ' ἀλλότριον.

ἔστα δὲ θάμβει δυσφόρῳ Στρ. δ'.
τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ· παλίγγλωσσον δέ ϝοι ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον,
ὀρθόμαντιν Τειρεσίαν· ὁ δὲ ϝοῖ
φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις,

ὅσσους μὲν ἐν χέρσῳ κτανών, Ἀντ. δ'.
ὅσσους δὲ πόντῳ θῆρας ἀιδροδίκας·
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τῷ ἐχθροτάτῳ
φᾶσέ νιν δώσειν μόρῳ.
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν

ὅπλοις ἔδραμον ἀθρόοι BD, *ἀθρόοι σὺν ὅπλοις ἔδραμον* coni. Hermann — 52. *φάσγανον* om. *BD*, add. Mosch.; *ξίφος ἐκτινάσσων* Tricl. — 54. *κραδία* coni. Schmid: *καρδία BD* — 60. *ἐκκάλεσεν* Tricl.: *ἐκάλεσαν* B^{ac}, *ἐκκάλεσαν D* B^{pc} (corr. prima manu) — 63. *δ' ἐν BD*, *ἐν* eiec. Schmid — 64 sq. *τινα . . . τῷ ἐχθροτάτῳ* (*πανεχθροτάτῳ* Kayser) . . . *μόρῳ* coni. Beck: *τινα . . . τὸν ἐχθρότατον . . . μόρον BD* et schol., *τινι . . . στείχοντι τὸν ἐχθρ. . . . μόρον* coni. Hermann; *τὸν ἐχθρότατον φᾶσέ νιν ὤσειν πόρον* Wilamowitz —

ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
  παῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν

Ἐπ. δ'.

ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον
  ἐν σχερῷ,
ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον
ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥβαν ἄκοιτιν
  καὶ γάμον
δαίσαντα, παρ - Δὶ Κρονίδᾳ
  σεμνὸν αἰνήσειν νόμον.

---

68. ἀντιάξωσιν mavult Bergk — γαίᾳ schol.: γαία *B*, γαῖαν *D*, quo probato φαιδίμᾳ . . . κόμᾳ scribendum erit, Γαίᾳ Hartung; σφε (vel σφι) φύρσεσθαι Bergk — κόμαν om. *D* — 69. ἔνεπ. Tricl.: ἔννεπ. *B D* — ἐν σχερῷ coni. Hermann: σχερῷ (σχέρω *D*) *B D* — καμάτων μεγάλων ἐν σχερῷ ἀσυχίαν τὸν ἅπαντα χρόνον Boeckh — 72. Δὶ Boeckh: διὶ *B D* — αἰνήσειν *D*: αἰνήσει *B* — νόμον ex scholiis Pauw: δόμον *B*[1] *D*, γάμον *B*[s], σταθμόν coni. Bergk.

NEMEON. B′.

ΤΙΜΟΔΗΜΩι ΑΘΗΝΑΙΩι

ΠΑΓΚΡΑΤΙΑΣΤΗι

ca. 455 a. Chr.

Strophae.

⏑ ⏒ ‿⏑⏑ – ⏑ ⏓|
⏒ ‿⏑⏑ – ⏑ – ⏑ – ⏓|
⏒ ⏒ ‿⏑⏑ – ⏑ – ⏒|‿⏑⏑ – –|
⏑⏑ ⏑ ‿⏑⏑ – ⏑ – –|– ‿⏑⏑ – ⏑ – –|⏒ ‿⏑⏑ – ⏓|
‿⏑⏑ – ⏓ ‿⏑⏑ – ⏓|

Ὅθενπερ καὶ Ὁμηρίδαι *Στρ. α′.*
ῥαπτῶν ἐπέων ταπόλλ' ἀοιδοὶ
ἄρχονται, Διὸς ἐκ προοιμίου· καὶ ὅδ' ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώ-
νων νικαφορίας δέδεκ-
ται πρῶτον Νεμεαίου
ἐν πολυύμνητῳ Διὸς ἄλσει.

---

4. ἱερῶν coni. Schmid: ἱερᾶν *B D* — πρῶτον codd. et schol.: πρώταν susp. Heyne —

ὀφείλει δ' ἔτι, πατρίαν Στρ. β'.
εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς
αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,
θαμὰ μὲν Ἰσθμιάδων δρέπεσ-
θαι κάλλιστον ἄωτον ἐν
Πυθίοισί τε νικᾶν
Τιμονόου παῖδ'. ἔστι δ' ἐοικὸς

ὀρειᾶν γε Πελειάδων Στρ. γ'.
μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.
καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν
δυνατός. ἐν Τροΐᾳ μὲν Ἕκ-
τωρ Αἴαντος ἐπάϊσ'· ὦ
Τιμόδημε, σὲ δ' ἀλκὰ
παγκρατίου τλάθυμος ἀέξει.

Ἀχάρναι δὲ παλαίφατον Στρ. δ'.
εὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις,
Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.
παρὰ μὲν ὑψιμέδοντι Παρ-
νασῷ τέσσαρας ἐξ ἀέθ-
λων νίκας ἐκόμιξαν·
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

---

6. δ' ἔτι *V*: δέ τι *B D* — 7. εὐθυπομπὸς *V*: εὐθύπομπος *B*, εὐθύποντος *D* — 8. ἀθάνας *D* — 9. θαμὰ *B D*: ἅμα coni. Hartung; cf. N. IV 15 — πυθέοισι *D* — 10. παῖδα δ' ἔστιν lemma *B* — 11. ὀρειᾶν *BD* et schol.: θερειᾶν coniecisse Cratetem testantur scholia — 12. ὠαρίων' ἀνεῖσθαι *B D*; Ὠαρίωνα νεῖσθαι Athen. XI p. 490 f. — 14. ἐπάϊσ' coni. Bergk: ἄκουσεν codd. — 15. τλάθυμος *B*: θυμὸς *D* — 16. παλαίφατον *BD*, παλαίφατοι ex novicio codice Boeckh — 19. παρὰ Tricl.: πὰρ *BD* — παρνασσῷ *BD* — 21. πύλαις coni. Hecker: πτυχαῖς codd. et schol. —

ἐν ἐσλοῦ Πέλοπος πύλαις Στρ. ε΄.
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
ἑπτὰ δ' ἐν Νεμέᾳ, τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ,
Διὸς ἀγῶνι. τόν, ὦ πολῖ-
ται, κωμάξατε Τιμοδή-
μου σὺν εὐκλέϊ νόστῳ·
ἀδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

---

23. ἀριθμοῦ B^1: ἀριθμῷ *D*, ἀριθμῶ B^s — 24. ἀριθμοῦ. Διός ἀγῶνι τόδ' (scil. τὸ ἐγκώμιον) coni. Bergk — εὐκλέϊ: εὐκλεεῖ *BD* — Τιμοδήμου Tricl., τιμοδήμω *BD*.

NEMEON. Γ′.

ΑΡΙΣΤΟΚΛΕΙΔῌ ΑΙΓΙΝΗΤῌ

ΠΑΓΚΡΑΤΙΑΣΤῌ.

ca. 469 a. Ch.

Strophae.

⏓ –⏑ ⏑ – ⏑ – ⏑| –⏑ ⏑ – ⏓ ⏑ ⏓|
⏓ ⏑ – ⏑ – ⏑| ⏑⏑ ⏑ – ⏑ – ⏑⏑ ⏑ ⏓|
⏑⏑ ⏑ –⏑ ⏑ – ⏑ – –| ⏑ ⏑⏑ ⏑ ⏓
⏑ ⏓ ⏑ – ⏓ ⏑ –| ⏑⏑ – ⏑ – – ⏑ ⏓|
⏓ – ⏑ – ⏑ – ⏑| ⏑⏑ ⏑ –⏑ ⏑ ⏓|
– ⏓ ⏑ – ⏑̄ –⏑ ⏑ – ⏓|
– ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – –| ⏑ ⏓|
⏑⏑ –⏑ ⏑ – ⏑| – ⏑ ⏓ ⏑ – ⏑ – ⏓|

Epodi.

⏓⏑ ⏑ – ⏑ –⏑| ⏑ – ⏑̄ – ⏑ – –|
⏑ ⏑⏑ ⏑ – ⏑ –| ⏑ ⏑⏑ ⏑ –⏑ ⏑ –,| ⏑ – ⏑ – ⏓ ⏑ ⏓|
– ⏑ –⏑ ⏑| – – ⏑ –⏑ ⏑ – –|
–⏑ ⏑ – ⏑ – ⏑ –⏑ ⏑ – – ⏑ –⏑ ⏑ –, – ⏑ ⏑⏑ ⏑ ⏓|
⏑⏑ –⏑ ⏑ – ⏑ –, ⏑ ⏑ –⏑ ⏑ – ⏑ – – ⏑ ⏓|

Ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, - λίσσομαι, *Στρ. α′.*
τὰν πολυξέναν ἐν ἱερομηνίᾳ - Νεμεάδι

---

1. ὦ om. *B* — 2. *πολυξείν. BD* —

ἵκεο Δωρίδα νᾶσον Αἴ-γιναν. ὕδατι γὰρ
μένοντ' ἐπ' Ἀ-σωπίῳ μελιγαρύων - τέκτονες
κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.
διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·
ἀεθλονικία δὲ μάλιστ' ἀοι-δὰν φιλεῖ,
στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν.

τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἀ-μᾶς ἄπο· Αντ. α'.
ἄρχε δ', οὐρανοῦ πολυνεφέλα κρέον-τι θύγατερ,
δόκιμον ὕμνον· ἐγὼ δὲ κεί-νων τέ νιν ὀάροις
λύρᾳ τε κοι-νάσομαι. χαρίεντα δ' ἕ-ξει πόνον
χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι
ᾤκησαν, ὧν παλαίφατον ἀλκὰν
οὐκ ἐλεγχέεσσιν Ἀριστοκλεί-δας ϝεὰν
ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς

παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν Επ. α'.
ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ
τὸ καλλίνι-κον φέρει.
εἰ δ' ἐὼν καλὸς ἔρ-δων τ' ἐοικότα μορφᾷ
ἀνορέαις ὑπερτάταις ἐπέβα
παῖς Ἀριστοφάνευς, - οὐκέτι προτέρω

---

3. γὰρ om. D — 4. μὴ γαρύων D — 5. γέθεν D — 6. πρῶτος D — 7. μάλλιστ' D — 9. ἀκᾶς D — 10. οὐρανοῦ πολυνεφέλα ex sententia Didymi Boeckh: οὐρανῷ πολυνεφέλα BD, οὐρανῷ πολυνεφέλᾳ Aristarchus et Ammonius; dativum agnoscit etiam schol. Eur. Hec. 685; schol. Pind.: οὐρανῷ αἰολικῶς ἀντὶ τοῦ οὐρανοῦ — πολυνεφέλα an πολυνεφέλᾳ scribas dubitare possis — 12. κοινάσομαι coni. Boeckh: κοινώσομαι codd., κοινῶς ᾄσομαι paraphr., unde κοίν' ἀείσομαι Bergk — ἕξεις coni. Rauchenstein — 13. πρότερον lemma in D — 14. ἀλκὰν (vel ὁρμὰν) coni. Rauchenstein: ἀγορὰν codd. et schol., ἕδραν coni. Kayser — 15. ἑὰν Pauw: τεὰν BD — 18. νεμέαν D — φέρειν ex schol. coni. Bergk — 20. Ἀριστοφάνευς VX: Ἀριστο-

ἀβάταν ἅλα κιόνων
ὑπὲρ Ἡρακλέος περᾶν - εὐμαρές,

ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας - ἐσχάτας Στρ. β΄.
μάρτυρας κλυτᾶς· δάμασε δὲ θῆρας ἐν - πελάγεϊ
ὑπερόχους, διά τ' ἐξερεύ-νασε τεναγέων
ῥοάς, ὅπα - πόμπιμον κατέβαινε νό-στου τέλος,
καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν
ἄκραν ἐμὸν πλόον παραμείβεαι;
Αἰακῷ σε φαμὶ γένει τε Μοῖ-σαν φέρειν.
ἕπεται δὲ λόγῳ δίκας ἄωτος ἐσλὸς αἰνεῖν·

Ἀντ. β΄.
οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν - κρέσσονες.
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσ-μον ἔλαβες
γλυκύ τι γαρυέμεν. παλαι-αῖσι δ' ἐν ἀρεταῖς
γέγαθε Πη-λεὺς ἄναξ ὑπέραλλον αἰχ-μὰν ταμών·
ὃς καὶ Ϝιωλκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ' εὐ-ρυσθενὴς
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·

καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν Ἐπ. β΄.

φάνους *BD* — προτέρω ex schol. Hermann: πρόσω codd. — 24. ὑπερόχους Mosch.: ὑπέροχος *BD*, ὑπερόχος vel ὑπερόχως schol. — διά τ' ἐξερ. coni. Boeckh: ἰδία τ' ἐρ. *BD*, ἰδίᾳ τ' ἐρ. et διά τ' ἐρ. schol., διά τ' αὖτ' ἐρ. coni. Hermann, σπιδίας τ' ἐρ. coni. M. Schmidt — 25. ὅπα codd. — 26. φράδασε *BD* — 29. ἐσλὸς *D*, ἐσλὸν *B*; schol.: τὸ ἐσλὸς ἀντὶ τοῦ ἐσλούς — 30. κρέσονες *D* — 31. μαντ. *D* — ἔλαχες ex scholiis Bergk — 34. μόνος *Byz.*: μοῦνος *BD* — 36. ἐγκονιτὶ mavult Bergk, ἀγκόνησι coni. Matthiae — 37. Ἰόλᾳ *Z*: ἰόλα *BD* — 38. χαλκότοξον *VX*: χαλκοτόξων *BD* —

ἕπετό ϝοι· οὐδέ μίν ποτε φόβος ἀνδροδάμας
ἔπαυσεν ἀκ-μὰν φρενῶν.
συγγενεῖ δέ τις εὐ-δοξίᾳ μέγα βρίθει·
ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ
ἄλλοτ' ἄλλα πνέων - οὔ ποτ' ἀτρεκέϊ
κατέβα ποδί, μυριᾶν δ'
ἀρετᾶν ἀτελεῖ νόῳ - γεύεται.

Στρ. γ'.

ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας - ἐν δόμοις,
παῖς ἐὼν ἄθυρε μεγάλα ϝέργα, χερ-σὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλ-λων ἴσον ἀνέμοις·
μάχᾳ λεόν-τεσσιν ἀγροτέροις ἔπρασ-σεν φόνον,
κάπρους τ' ἔναιρε, σώματα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν·
ἑξέτης τοπρῶτον, ὅλον δ' ἔπειτ' - ἂν χρόνον·
τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα

Ἀντ. γ'.

κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' - ἑρκέων·
ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦ-το προτέρων

---

39. ἀκμὰν *VX* Mosch.: ἀλκὰν *B D*, αἰχμὰν coni. Heyne — 41. ψεφηνὸς *B D*; Et. M. 818, 33: ψεφενὸς καὶ ψεφηνὸς ἀνήρ· σκοτεινός, οὐκ ἐπιφανής· ψέφος γὰρ τὸ σκότος· φησὶ Πίνδαρος Ἀριστοκλεῖ — ἀτρεμεῖ *D*, ἀτρεμέι Hecker — 43. ἀχιλλεὺς *B D* — 45. ἴσον ἀνέμοις Schmid: ἶσον τ' ἀνέμοισιν *B D*, ἴσα τ' ἀνέμοις Mosch. — 46. μάχᾳ Tricl.: ἐν μάχᾳ *BD*, μάχας (sine φόνον) paraphr.; μάχας λεόντεσσί τ' ἀγρ. ἔπρ. πικράς coni. Rauchenstein, φόνον λε. ἀγρ. ἔπρασσ' ἐν μάχᾳ transposuit M. Schmidt — 47. σώματα . . . ἀσθμαίνοντα κόμ. Heyne: σωμάτια . . . ἀσθμαίνοντα κόμ. *B*, σώματι (σώματα *D*pc) . . . ἀσθμαίνοντα κόμ. *D*, σώματι . . . ἀσθμαίνοντι κόμ. Tricl., σώματι . . . ἀσθμαίνων ἐκόμ. ex paraphrasi Hartung — 50. ἐθάμβεον *Byz.*: ἐθάμβευν *B*, ἐνθάμβεν *D*, ἐνθάμβευν lemma in *D* — 52. προτέρων *B*s: πρότερον *B*i *D* —

ἔπος ἔχω· βαθυμῆτα Χεί-ρων τράφε λιθίνῳ
Ἰάσον' ἔν-δον τέγει, καὶ ἔπειτεν Ἀσ-κλαπιόν,
τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·
νύμφευσε δ' αὖτις ἀγλαόκολπον
Νηρέος θύγατρα, γόνον τέ Ϝοι - φέρτατον
ἀτίταλλεν ἐν ἁρμένοισι πάντα θυμὸν αὔξων·

ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς Ἐπ. γ'.
ὑπὸ Τροΐαν δορίκτυπον ἀλαλὰν Λυκίων
τε προσμένοι - καὶ Φρυγῶν
Δαρδάνων τε, καὶ ἐγ-χεσφόροις ἐπιμίξαις
Αἰθιόπεσσι χεῖρας ἐν φρασὶ πά-
ξαιθ', ὅπως σφίσι μὴ - κοίρανος ὀπίσω
πάλιν οἴκαδ' ἀνεψιὸς
ζαμενὴς Ἑλένοιο Μέμ-νων μόλοι.

Στρ. δ'.

τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν - αὐτόθεν·
Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμ-νος ἔβαλεν
ὀπὶ νέων ἐπιχώριον - χάρμα κελαδέων.
βοᾷ δὲ νι-καφόρῳ σὺν Ἀριστοκλεί-δᾳ πρέπει,
ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις

53. βαθυμῆτα D^{pc}: βαθυδμῆτα $B\ D^{ac}$ — 54. λιθίνω γ' ἰάσον' B, λιθίνω ἰάσων' D — ἔπειτεν D^{pc}: ἔπει. τὸν B^{i}, ἔπειτὸν D^{ac}, ἔπι. τὸν B^{s} — ἀσκληπ. codd., at v. P. III 6 — 55. τὸν: τῶν D^{i} — μαλακ. Byz.: μαλθακ. B D — 56. αὔτις Boeckh: αὖθις B D — ἀγλαόκολπον B^{i}: ἀγλαόκαρπον $B^{s}\ D^{ac}$, ἀγλαόκρανον D^{pc}, ἀγλαόκαρνον V^{i} X — 57. Νηρέως B — 58. ἀτίταλλεν ἐν ἁρμ. Pauw: ἀτίταλλεν ἁρμ. (omisso ἐν) B D — 58. πᾶσι coni. Hecker: at cf. N. VI 2 — 60. δορύκτ. D — 61. ἐγχεσιφ. B — 62. χεῖρας codd. et schol.: κῆρας coni. Iacobs — πάξαι θάπος coni. Bergk — 65. ὕμνον D — 66. κλαδ. D — 67. βοᾷ v. l. schol. — 68. εὐκλεεῖ B D —

Πυθίου Θεάριον· ἐν δὲ πεί-ρᾳ τέλος
διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται,

'Αντ. δ'.

ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀ-νήρ, τρίτον
ἐν παλαιτέροισι, μέρος ἕκαστον οἷ-ον ἔχομεν
βρότεον ἔθνος· ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς
ὁ μακρὸς αἰ-ών, φρονεῖν δ' ἐνέπει τὸ παρ-κείμενον·
τῶν οὐκ ἄπεσσι. χαῖρε, φίλος. ἐγὼ τόδε τοι
πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' - ἀμφέπει,
πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν,

ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς, 'Επ. δ'.
ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος,
δαφοινὸν ἄγ-ραν ποσίν·
κραγέται δὲ κολοι-οὶ ταπεινὰ νέμονται.
τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοί-
σας, ἀεθλοφόρου - λήματος ἕνεκεν
Νεμέας 'Επιδαυρόθεν τ'
ἄπο καὶ Μεγάρων δέδορ-κεν φάος.

---

72. *ἐν δ' ἀνδρ.* *BD*, *δ'* eiec. Hermann — *τρίτον* *Byz.*: *τρίτατος* *B*, *τρίτατον* *D*, *τρίτος* Bergk — 74. *κὰς τέσσαρας ἀρετάς* vel *καὶ τετράδ' ἐς ἀρετᾶς* susp. Bergk — 75. *ὁ* om. *BD*, add. ex schol. Tricl. — *μακρὸς* *D*: *θνατὸς* *B* cum Aristarcho — *αἰών*: *ἐών* *B* — 76. *ἄπεσσι* coni. Bergk: *ἄπεστι* codd. et schol. — *τό δέ τι* *D* — 77. suppl. in marg. *D* — 79. *Αἰολῇσιν* Boeckh: *αἰολίσιν* *BD* — *πνοαῖσιν* *V*: *πνοαῖς* *BD* — 80. *πετ.* *D* — 83. *κλεοῦς* *D*: *κλειοῦς* *B*, *κλεὸς* *V*; conf. Pind. fr. 308.

ΝΕΜΕΟΝ. Δ'.

ΤΙΜΑΣΑΡΧΩι ΑΙΓΙΝΗΤΗι

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι

ca. 465 a. Ch.

Strophae.

⏒ – ⏒ –⏑ ⏑ – | ⏑ – –⏑ ⏑ ⏓ |
⏒ –⏑ ⏑ – ⏑ ⏓ |
– – ⏑ –⏑ ⏑ – – | ⏒ – ⏑ –⏑ ⏑ ⏓ |
– ⏑ –⏑ ⏑ – ⏑ – | ⏑ –⏑ ⏑ – ⏓ |
– ⏒ – ⏑ –⏑ ⏑ – | ⏒ –⏑ ⏑ – ⏑ ⏓ |
– ⏒ – ⏒ –⏑ ⏑ – | ⏑ –⏑ ⏑ – ⏓ |
⏖ ⏑ –⏑ ⏑ – ⏑ ⏓ |
⏓ –⏑ ⏑ – ⏑ – ⏑ – ⏓ |

Ἄριστος εὐφροσύνα πόνων - κεκριμένων *Στρ. α'.*
ἰατρός· αἱ δὲ (σοφαὶ
Μοισᾶν θύγατρες) ἀοιδαὶ
θέλξαν νιν ἁπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει

---

3. *θύγατρες* Schmid: *θυγατέρες B D* — *ἔθελξαν* B^{ac} — *νιν ἁπτόμεναι B D* et schol.: *συναντόμεναι* coni. Leutsch, *συναπτ.* Rauchenstein, fort. *ἀρδομέναν* — 4. *τόσον Byz.*: *τόσσον BD* — *τεύχει BD*; Plut. de tranqu. 6 *οὐδὲ θερμὸν ὕδωρ τοσόνδε τέγξει μαλθακὰ γυῖα κατὰ Πίνδαρον* —

γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει,
ὅ τι κε σὺν Χαρίτων τύχᾳ
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

τό μοι θέμεν Κρονίδᾳ τε Δὶ - καὶ Νεμέᾳ Στρ. β'.
Τιμασάρχου τε πάλᾳ
ὕμνου προκώμιον εἴη·
δέξαιτο δ' Αἰακιδᾶν
ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν
φέγγος. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀελίῳ
σῶς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
ἅμα κε τῷδε μέλει κλιθεὶς
ὕμνον κελάδησε καλλίνικον

Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρ-μον στεφάνων Στρ. γ'.
πέμψαντι καὶ λιπαρᾶν
εὐωνύμων ἀπ' Ἀθανᾶν,
Θήβαις τ' ἐν ἑπταπύλοις
οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μίγνυον,
Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν
ξένιον ἄστυ κατέδραμεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

---

8. ἐξέλῃ ex scholiis Bergk: ἐξέλοι *BD* — 9. τό μοι B^1 *D*, τό περ B^s — Δὶ Boeckh: διὶ *BD* — 11. ὕμνον *D* — 12. ἠύπυργον Schmid: εὔπυργον *B D*, ὑψίπυργον coni. Schroeder — 13. ζαθερεῖ scholiastam legisse putat Lehrs, ζαμενὲς coni. Bergk — 14. σῶς scripsi: σὸς codd. et schol., ὃς coni. Pauw — 15. ἅμα scripsi: θάμα codd. et schol. — 16. ὕμνον . . . πέμψαντι coni. Pauw: ὕμνον . . . πέμψαντα codd., ὕμνον . . . πέμψαντος schol., υἱὸν . . . πέμψαντα coni. Bergk — 19—38. in *D* ab alia manu exarati sunt — 19. τ' om. *D* — 20. οὕνεκεν *BD* — 23. ξείνιον *BD* — κατέδραμεν Tricl.: κατέδρακεν *BD*

ξὺν ᾧ ποτε Τροΐαν κραται-ὸς Τελαμὼν Στρ. δʹ.
πόρθησε καὶ Μέροπας
καὶ τὸν μέγαν πολεμιστὰν
ἔκπαγλον Ἀλκυονῆ,
οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ
ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
δὶς τόσους, ἀπειρομάχας ἐὼν κε φανείη
λόγον ὁ μὴ ξυνιείς· ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

τὰ μακρὰ δ' ἐξενέπειν ἐρύ-κει με τεθμὸς Στρ. εʹ.
ὧραί τ' ἐπειγόμεναι·
ἴυγγι δ' ἕλκομαι ἦτορ
νεομηνίᾳ θιγέμεν.
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει

χαμαὶ πετοῖσαν. ἐμοὶ δ' ὁποί-αν ἀρετὰν Στρ. ϛʹ.
ἔδωκε πότμος ἄναξ,
εὖ ϝοῖδ' ὅτι χρόνος ἕρπων
πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει

---

et schol. — 25. κραταιὸς vel κράτιστος coni. Schmid: καρτερὸς *BD* — 30. τόσους Tricl.: τόσσους *BD* — 31 sq. ἐπηρεάζοντα Stob. flor. 46, 12 et schol. Soph. El. 1026 — 36. καίπερ *BD* — 37. ἐπιβουλίαις *V* — δόξομεν Tricl.: δόξωμεν *BD* — 42. ἔνδωκε coni. Mommsen, vide vv. 82 et 90 — 46. ἀπάρχει *BD*:

ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·

ἐν δ' Εὐξείνῳ πελάγει φαεν-νὰν Ἀχιλεὺς Στρ. ζ'.
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ'
Ἀπείρῳ διαπρυσίᾳ,
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται,
Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαολκὸν
πολεμίᾳ χερὶ προστραπὼν
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν,

δάμαρτος Ἱππολύτας Ἀκάσ-του δολίαις Στρ. η'.
τέχναισι χρησάμενος·
τᾷ Δαιδάλου δὲ μαχαίρᾳ
φύτευέ ϝοι θάνατον
ἐκ λόχου Πελίαο παῖς, ἄλαλκε δὲ Χείρων.
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμὰν
τε δεινοτάτων σχάσαις ὀδόντων

ὑπάρχει lemma in *B D*, ἐπάρχει coni. Pauw, ἀποικεῖ Rauchenstein — 49. ἐν δ' εὐξείνῳ *B D*, ἐν εὐξένῳ Tricl.; fort. ἐν Εὐξένῳ δ' Ἀχιλεὺς φαεννὰν πελάγει — Ἀχιλλεὺς *D* — 53. ἰώνιον *B* — 54. λατρίαν Schmid — Ἰαολκὸν *V*: Ἰαωλκὸν *B D* — 55. χερὶ Tricl.: χειρὶ *B D* — παρτραπὼν coni. Hartung; πολεμίαν χέρα προστρ. Rauchenstein — 58. χρησάμενος *B D* et schol.: χωσάμενος quidam ap. Tricl. — 59. δαιδάλου *B D*: δαιδάλῳ coni. Didymus — 61. ἔφερεν *D* — 62. θρασυμαχάνων em. Hermann collato O. VI 67: θρασυμαχᾶν *B D* — 64. τε: τ' ἦ coni. Bergk, fort. τε δϝειν. —

ἔγαμεν ὑψιθρόνων μίαν - Νηρεΐδων· Στρ. θ'.
εἶδεν δ' εὔκυκλον ἕδραν,
τᾶς οὐρανοῦ βασιλῆες
πόντου τ' ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. ἀπότρεπε
αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.

Θεανδρίδαισι δ' ἀεξιγυί-ων ἀέθλων Στρ. ι'.
κᾶρυξ ἑτοῖμος ἔβαν
Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ
Νεμέᾳ τε συνθέμενος,
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,
Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις

στάλαν θέμεν Παρίου λίθου - λευκοτέραν· Στρ. ια'.
ὁ χρυσὸς ἑψόμενος
αὐγὰς ἔδειξεν ἁπάσας,
ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει

---

68. *ἐξύφαναν* coni. Bury — *ἐγγενὲς* ex scholiis Rittershusius: *ἐς γενεὰς B D*, *ἐς γένας* Tricl., *ἐς γένος* Ursinus, *ἐς γέρας* Pauw — 70. *Εὐρώπαν*: *εὔπορον* coni. Kayser, *εὐρωπὰν* Bergk, *εὔορμον* Leutsch — 75. *Οὐλ.* Schmid: *Ὀλ. B D* — 77. *νέον* D^{ac} — *πάτραν ἵν'* Hermann: *πάτρανιν* D^{ac}, *πάτραν νιν B* D^{pc} — 78. *τεὰν* codd.: *σὰν* Hermann — 82. *ὁ χρυσὸς δ' ἑψ.* coni. Boeckh —

φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα,
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλλησε Κορινθίοις σελίνοις·

τὸν Εὐφάνης ἐθέλων γεραι-ὸς προπάτωρ Στρ. ιβ'.
σὸς ἄεισεν τότε, παῖ.
ἄλλοισι δ' ἄλικες ἄλλοι·
τὰ δ' αὐτὸς ἄν τις ἴδῃ,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

---

87. ἵν' ἐν codd.: ὃς ἐν coni. Rauchenstein, ἕνεκ' Mommsen — 88. θάλλησε Schmid: θάλησε codd.; cf. N. x 42 — 90. σὸς ἄεισεν τότε (ποτε Hermann) παῖ coni. Rauchenstein: ὁ σὸς ἀείσεται παῖ codd. et schol. — 91. ἄν τις ἴδῃ ex scholiis Hermann: ἄν τις τύχῃ codd., ἄντα τύχῃ vel ἀντιτύχῃ Mingarelli — 93. οἷον *D* Didymus: οἷον Aristarchus, utrumque *B*, οἵων coni. Ahrens, οἵαν Boeckh — ἔριδας v. l. schol. — 94. ἕλκει *B*ac, fort. ἕλκων — 95. μαλακὰ coni. Schmid: μαλθακὰ *B D*.

(Zeus) — Aegina

Aeakus

1. gem. Endeis (T. des Kentauren Chiron) — 2. gem. Psamatheia (Nereide)

Telamon — Peleus — Phokos

1. gem. Antigone [T. d. Eurytion in Phthia]

2. gem. Thetis

Achill

Psalychiden

Kleonikos — Themistios

Lampon — ** (mater) — Euthymenes

Pytheas — Phylakidas

NEMEON. E'.

ΠΥΘΕΑι ΑΙΓΙΝΗΤΗι

ΠΑΓΚΡΑΤΙΑΣΤΗι

481 (vel 483) a. Ch.

Strophae.

– ∸ ⏑ – ⏓ ∸ ⏑ –| ∸ ⏑ – – ∸ ⏑ – –|∸ ⏖ – ⏖ – –
[∸ ⏑ ⏓|
∸ ⏖ – ⏖ – –|∸ ⏖ – ⏖ ∸ ⏑ – ⏑ ∸ –|
∸ ⏑ – – ∸ ⏑ – –|∸ ⏑ ⏓
– ∸ ⏑ – –|∸ ⏑ ⏖ – ∸ ⏑ ⏓|
– ∸ ⏑ – ⏓ ∸ ⏖ – ⏖ ⏓|
– ∸ ⏑ ⏖ – ∸ ⏑ – –,|∸ ⏑ – – ∸ ⏑ – ⏓|

Epodi.

⏒ ∸ ⏖ – ⏖ – ⏓,|∸ ⏑ – – ∸ ⏑ – ⏓|
∸ ⏖ – ⏖ – –, ∸ ⏑ – ⏓,|∸ ⏑ – – ∸ ⏑ ⏓|
– ∸ ⏖ – ⏖ – –,|∸ ⏑ – ⏓ ∸ ⏑ –|
– ∸ ⏑ – – ∸ ⏖ – ∸ ⏖|– ⏖ – ⏓, ∸ ⏑ –|
– ∸ ⏖ – ⏖ – – ∸ ⏑ ⏓|
∸ ⏑ – – ∸ ⏖ – ⏖ ∸|⏖ – – ∸ ⏑ – ⏓|

Οὐκ ἀνδριαντοποιός εἰμ', *Στρ. α'.*
ὥστ' ἐλινύσοντα' Ϝεργάζεσθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος

(die müßig dastehen sollen)

1. ἐλινύσσ. D —

ἑσταότ᾽· ἀλλ᾽ ἐπὶ πάσας ὁλκάδος ἔν τ᾽ ἀκάτῳ, γλυκεῖ᾽ ἀοιδά,
στεῖχ᾽ ἀπ᾽ Αἰγίνας, διαγγέλλοισ᾽, ὅτι
Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς
νίκη Νεμείοις παγκρατίου στέφανον,
οὔπω γένυσι φαίνων τέρειναν ματέρ᾽ οἰνάνθας ὀπώραν,

'Αντ. α'.

ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ-
ρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νη-ρηίδων
Αἰακίδας ἐγέραρεν ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
τάν ποτ᾽ εὔανδρόν τε καὶ ναυσικλυτὰν
θέσσαντο πὰρ βωμὸν πατέρος Ἑλλανίου
στάντες, πίτναν τ᾽ εἰς αἰθέρα χεῖρας ἁμᾶ
Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ καὶ βία Φώκου κρέοντος,

'Επ. α'.

ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ᾽ ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα ϝειπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλκίμους
δαίμων ἀπ᾽ Οἰνώνας ἔλασεν.
στάσομαι. οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει᾽ ἀτρεκές·
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι.

---

2. in marg. add. *D* — 5. *νίκη* Heyne: *νικῇ* *B D*, *νικῇ* Bergk — 6. *γέννι* coni. Hermann — *οἰνάνθαν ὀπώρας* coni. Pauw — 7. *νηρεΐδων* *B D* — 8. *ἐγέραιρε* *B D*: *ἐγέραρε* ed. Rom. — 12. *ἐνδαΐδεος* *D* — 13. *ὃν* Schmid: *τὸν* *B D* — *τίκατ᾽* *D* — *ἐπὶ ϝρήγμ.* Mommsen; conf. P. I 45 — 15. *δὴ* *B*: *δὲ* *D* — 17. *ἀτρεκές* Bergk: *ἀτρεκής* (*ἀτερκ.* *D*) *B D* — 19. *σιδηρ.* *B D* —

εἰ δ᾽ ὄλβον ἢ χειρῶν βίαν — Στρ. β΄.
ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται, μακρά μοι
αὐτόθεν ἅλμαθ᾽ ὑποσκάπτοι τις· ἔχω γονάτων ἐλαφρὸν ὁρμάν·
καὶ πέραν πόντοιο πάλλοντ᾽ αἰετοί.
πρόφρων δὲ καὶ κείνοις ἄειδ᾽ ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
φόρμιγγ᾽ Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων

ἁγεῖτο παντοίων νόμων. — Ἀντ. β΄.
αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν,
Πηλέα θ᾽, ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελε, ξυνᾶνα Μαγνήτων σκοπὸν
πείσαισ᾽ ἀκοίταν ποικίλοις βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
ὡς ἆρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου

Ἐπ. β΄.
εὐνᾶς· τὸ δ᾽ ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν. τοῦ δ᾽ ἄρ᾽ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·

---

20. ἔχω γον. *Byz.*: ἔξω γονν. *B D* — ἐλαφρὸν coni. Schmid: ἐλαφρὰν *B D* — 22. κἀκείνοις codd. — ἄειδ᾽ ἐν coni. Pauw: ἄειδεν Schmid, ἀείδει *B D* — 23. ὁ om. B^{ac} — μέσσαις *B*, μοίσσαις *D* — 26. κρηθηὶς codd. — Ἱππολύτα: Ἱππολύτου θυγάτηρ interpretantur scholia hic et N. IV 88 — 27. ξυνᾶνα *D*: ξυνεῦνα *B* — 28. ἀκοίταν: Ἄκαστον coni. Bergk — ποικίλοι *D* — 29. συνέπαξε *B*: συνέπλεξε *D* — 30. ἀκάστα *D* — 32. τοῦ δὲ ὀργ. codd.: τοῖο δ᾽ ὀργ. coni. Hermann, τοῦ δ᾽ ἄρ᾽ ὀργ. Rauchenstein —

εὐθὺς δ' ἀπανάνατο νύμφαν, ξεινίου πατρὸς χόλον
δείσαις· ὁ δ' εὖ φράσθη κατένευ-
σέν τέ ϝοι ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
ποντιᾶν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν,

γαμβρὸν Ποσειδάωνα πεί- *Στρ. γ'.*
σαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·
ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ. — —
πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ
πάντων. τὺ δ' Αἰγίναθεν ἄπ', Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πιτνὼν ποικίλων ἔψαυσας ὕμνων.

ἤτοι μεταΐξαντα καὶ *Ἀντ. γ'.*
νῦν τεὸς μάτρως σ' ἀγάλλει καί σου ὁμόσπορον ἔθνος, Πυθέα.
ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτεις,
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ', ὅτι

---

34. *δ' εὖ φρ. BD*: *δ' ἐφρ.* ex schol. Ald. — 36. *ποντιᾶν* Heyne: *ποντίαν* codd. — *πράξον D* — 37. *κλειτὰ* D^{pc} — 38. *ἔνθα μὲν* coni. Mingarelli — 40. *συγγενὲς D* — 41. *Αἰγίναθεν ἄπ'* scripsi praeeunte Mingarellio, qui *Αἰγίναθεν ὦ* proposuerat: *Αἰγίνᾳ θεᾶς* codd. et pars schol., *Αἰγίνᾳ θεοῦ* Schmid — 43. *τεὸς μάτρως σ'* (fort. *τὲ* (= *σὲ*, cf. O. I 49) *τεὸς μάτρως*) *ἀγάλλει καί σου ὁμόσπορον ἔθνος Πυθέα* scripsi scholiorum vestigia secutus: *τεὸς μάτρως ἀγάλλει κεῖνου ὁμ. ἔθν. πυθέας* codd. — 45. *ἐλθόντας*: fort. *ἔρδοντας* — *τ' ἐκράτεις* Kayser: *τε κράτει* codd. —

ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν

Ἐπ. γ΄.

ἐπαύρεο. χρὴ δ᾽ ἀπ᾽ Ἀθανᾶν τέκτον᾽ ἀθληταῖσιν ἔμμεν.
εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ᾽ ἀείδειν, μηκέτι ῥίγει· δίδοι
φωνάν, ἀνὰ δ᾽ ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου·
πύκταν τέ νιν καὶ παγκρατίῳ
φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ᾽ ἀρετάν, προθύροισιν δ᾽ Αἰακοῦ
ἀνθέων ποιάεντα φέρειν στεφανώματα σὺν ξανθαῖς Χάρισσιν.

---

47. *μάρνανται* coni. Ahlwardt — 48. *σὺν τύχᾳ* codd. et schol.: *συμπτυχᾷ* coni. Hartung — 50. *δίδοι* coni. Hermann: *δίδου* codd. — 52. *πύκτα D* — *παγκρατίῳ B*: *παγκρατίου D* — *διπλόαν D* et schol.: *τριπλόαν B* — 54. *ἀνθέων* coni. Hermann: *ἄνθεα* codd.

NEMEON. ϛʹ.

ΑΛΚΙΜΙΔῌ ΑΙΓΙΝΗΤῌ

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ

ca. 463 vel 465 a. Ch.

Strophae.

⏑ – –,| – ⏑ –⏑ ⏑ – |⏑ – ⏑⏑ ⏑ ⏓
– ⏑ –⏑ ⏑ – |⏑ – – ⏑̄ – ⏑ –⏑ ⏑ ⏓|
⏑⏑ ⏑ –⏑ ⏑ – | ⏑⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ ⏓|
⏑⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑⏑ ⏑ |– ⏑̄, – ⏑ ⏓
⏑⏑ –| –⏑ ⏑ –⏑ ⏑ ⏓|
–⏑ ⏑ –⏑ ⏑ –| – –⏑ ⏑ – ⏑⏑ ⏑ |– ⏑̄, – ⏑ – ⏓|
⏓ –⏑ ⏑ –⏑ ⏑ – ⏑ – ⏑ –|

Epodi.

–⏑ ⏑ – –⏑ ⏑ –|⏑ ⏑ – ⏑⏑ ⏑ –|
–⏑ ⏑ ⏑⏑ ⏑ – ⏑ ⏓|
– –⏑ ⏑ –⏑ ⏑ –|⏑ ⏑ – –⏑ ⏑ –|
–⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ –|
– –⏑ ⏑ – –|⏑ ⏑ –⏑ ⏑ –
⏑̄⏑̄ – ⏑ ⏓,| ⏑ – ⏑ – ⏓
– – –|⏑ ⏑ – ⏑ ⏓
– –⏑ ⏑ – |⏑⏑ –⏑ ⏑ ⏓|

Ἓν ἀνδρῶν, Στρ. α'.
ἓν θεῶν γένος· ἐκ μιᾶς - δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείρ-
γει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐ-
δέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσ-
φέρομεν ἔμπαν ἢ μέγαν
νόον ἤ-τοι φύσιν ἀθανάτοις,
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐ-
δὲ μετὰ νύκτας ἄμμε πότμος
οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

τεκμαίρει Ἀντ. α'.
καί νυν Ἀλκιμίδας τὸ συγ-γενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρού-
ραισιν, αἵτ' ἀμειβόμεναι
τόκα μὲν ὦν βίον ἀν-
δράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι
σθένος ἔμαρψαν. ἦλθέ τοι
Νεμέας - ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων
Διόθεν αἶσαν νῦν πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλα κυναγέτας,

3. *αἰὲν* Hermann: *αἰεὶ* codd. — 6. *ἄμμι* coni. Schneidewin — 7. *οἵαν τιν'* coni. Hermann[2]: *ἄν τιν'* codd., *αἶσαν τίν'* coni. Ahrens, *ἂν σύμφυτος* Hermann opusc. VIII 70 — 8. *τεκμ. δὲ καὶ BD*, *δὲ* del. Schmid — *Ἀλκιμίδα* coni. Hartung — 10. *ἄνδρεσσιν BD* — 13. *τε πέφαντ' BD*; *τε* eiec. Tricl. — 14. *ἄμοιρος D* —

ἴχνεσιν ἐν - Πραξιδάμαντος ἑὸν - πόδα νέμων Ἐπ. α'.
πατροπάτορος ὁμαιμίου.
κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν - Αἰακίδαις
ἔρνεα πρῶτος ἔνεικεν ἀπ' Ἀλφεοῦ,
καὶ πεντάκις Ἰσθ-μοῖ στεφανωσάμενος,
Νεμέᾳ δὲ τρίς,
ἔπαυσε λάθαν
Σωκλείδα, ὃς ὑπέρτατος
Ἁγησιμάχῳ υἱέων γένετο.

ἐπεί ϝοι Στρ. β'.
τρεῖς ἀεθλοφόροι πρὸς ἄ-κρον ἀρετᾶς
ἦλθον, οἵτε πόνων ἐγεύ-
σαντο. σὺν θεοῦ δὲ τύχᾳ
ἕτερον οὔ τινα ϝοῖ-
κον ἀπεφάνατο πυγμαχία πλεόνων
ταμίαν στεφάνων μυχῷ Ἑλ-
λάδος ἁπάσας. ἔλπομαι
μέγα ϝει-πὼν σκοποῦ ἄντα τυχεῖν
ὥτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦ-
τον ἐπέων, ὦ Μοῖσ', ἄγ' οὖρον
εὐκλεΐα· παροιχομένων γὰρ ἀνέρων

---

16. *ὁμαισίου* coni. Rauchenstein, *ὁμαίμονος* Hecker, *ὁμαιχμίου* Hermann — 18. *ἔνεικεν* suppl. Bergk, *ἐδρέψατ'* Hartung, *ἐλαίας* Boeckh — 19. *ἰσθμοῖ Byz.*: *ἰσθμῷ B*, *ἰσθμοῖῶ D* — 20. *τρὶς* codd.: *τρεῖς* coni. Hermann coll. O. VII 82, *τρὶς κάππαυσε* Boeckh[2] — 21. *σωκλείδᾳ* Tricl. — 22. *ἀγησιμάχω B*, *Ἀγησιμάχου* schol. — *υἱέων γένετο* Tricl.: *υἱῶν ἐγένετο BD* — 23. *ἐπεὶ οἱ D* — 25. *πλεόνων* om. codd., ex scholiis add. Schmid — 27. *σκοποῦ ἄντα τυχεῖν* coni. Mingarelli: *ἄντα σκοποῦ τυχεῖν* (*τετυχεῖν B*) *BD*; *ἂν τετυχεῖν* v. l. schol. — 28. *εὔθυν'* Schmid: *εὐθὺν BD*; cf. O. VII 33 — *ἐπέων ὦ Μοῖσ' ἄγ' οὖρον* coni. Boeckh: *ἄγε μοῖσα οὖρον ἐπέων BD*, *ἄγε Μοῖσα | οὖρον ἐπέων* coni. Hermann — 29. *εὐκλεΐα παροιχ.* Boeckh: *εὐκλέα παροιχ. BD*,

ἀοιδαὶ 'Αντ. β'.
καὶ λόγοι τὰ καλά σφιν ἔργ' - ἐκόμισαν,
Βασσίδαισιν ἅ τ' οὐ σπανί-
ζει· παλαίφατος γενεά,
ἴδια ναυστολέον-
τες ἐπικώμια, Πιερίδων ἀρόταις
δυνατοὶ παρέχειν πολὺν ὕμ-
νον ἀγερώχων ἐργμάτων
ἕνεκεν. - καὶ γὰρ ἐν ἀγαθέᾳ
χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτη-
σεν ἀπὸ ταύτας αἷμα πάτρας
χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν

'Επ. β'.
ἔρνεσι Λα-τοῦς· παρὰ Κασταλίᾳ - τε Χαρίτων
ἑσπέριος ὁμάδῳ φλέγεν·
πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμ-φικτιόνων
ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν
τίμασε Ποσει-δάνιον ἂν τέμενος·
βοτάνα τέ νιν
πόθ' ἁ λέοντος
νικῶντ' ἤρεφε δασκίοις
Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.

εὐκλέ' ἀποιχ. Schneidewin collato P. I 93 — 30. ἀοιδαὶ καὶ λόγοι coni. Pauw: ἀοιδοὶ καὶ λόγιοι *B D* et schol. — 30. ἐκόμισαν Tricl.: ἐκόμιξαν *B D* — 31. Βασιδ. *D*, Βουδίδαισιν scribendum censuit Didymus — 35. ἱμάντι δεθεὶς Tricl.: ἱμαντωθεὶς *B D* — αἵματι coni. Hermann; τωὐτοῦ αἵματος χρ. Bergk — 36. χρυσαλακάτου: χρυσαλακάτας Schmid, χρυσοπλοκάμου Hermann — ἅδων *B*, ἄδων D^{ac} — 37. κασταλία *B D* — 38. ἑσπερίοις D^{ac} — 39. τε om. *B* — 40. Κρεοντιδᾶν coni. Rauchenstein — 43. νικῶντ' ἤρεφε coni. Hermann: νικάσαντ' ἔρεψε *B D*, νικάσαντ' ἔρεφ' ἀσκίοις coni. Schmid, ἀσκίοις scripserat iam Tricl. —

πλατεῖαι Στρ. γ'.
πάντοθεν λογίοισιν ἐν-τὶ πρόσοδοι
νᾶσον εὐκλέα τάνδε κοσ-
μεῖν· ἐπεί σφιν Αἰακίδαι
ἔπορον ἔξοχον αἶ-
σαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
πέταται δ' ἐπί τε χθόνα καὶ
διὰ θαλάσσας τηλόθεν
ὄνυμ' αὐ-τῶν· καὶ ἐς Αἰθίοπας
Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλ-
το· βαρὺ δ' ἔμπεσέ σφι νεῖκος·
χαμαὶ καταβὰς Ἀχιλεὺς ἀφ' ἁρμάτων,

φαεννᾶς Ἀντ. γ'.
υἱὸν εὖτ' ἐνάριξεν Ἀ-όος ἀκμᾷ
ἔγχεος ζακότοιο. καὶ
ταῦτα μὲν παλαιότεροι
ὁδὸν ἀμαξιτὸν εὗ-
ρον· ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·
τὸ δὲ παρ ποδὶ ναὸς ἑλισ-
σόμενον αἰεὶ κυμάτων
λέγεται - παντὶ μάλιστα δονεῖν
θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων
δίδυμον ἄχθος ἄγγελος βᾶν,

---

46. σφιν *Byz.*: σφισιν *BD* — 48. τηλόθεν γ' Tricl. — 49. ὄνομ' *BD*, κλέος ex schol. Bergk — 50. ἀπον. Tricl.: ἂν ἀπον. *BD* — δ' ἔμπεσε σφι νεῖκος coni. Kayser: δέ σφιν νεῖκος ἔμπεσ' *BD* — 51. χαμαὶ καταβὰς (χαμᾶζε καβάς Hermann) Ἀχιλεὺς coni. Dissen: Ἀχιλεὺς χαμαὶ καββὰς (καμβὰς *B*) *BD*; fort. καββὰς Ἀχιλεὺς χαμαὶ αἶψ' — 52. ἐνάριζεν *B* — Ἀόος ἀκμᾷ coni. Schmid: ἀοῦς αἰχμᾷ codd.; ἀκμᾷ habet vet. paraphr. — 53. ταῦτα coni. Pauw: ταύταν codd., τάνδε Schmid — 56. παντὶ om. B^1, παντιὸς (i. e. παντὶ et παντὸς) *D* — 57. βᾶν coni.

πέμπτον γ' ἐπὶ Ϝείκοσι τοῦτο γαρύων

Ἐπ. γ'.

εὖχος ἀγώ-νων ἄπο, τοὺς ἐνέποι-σιν ἱερούς,)
Ἀλκιμίδας τό γ' ἐπάρκεσε
κλειτᾷ γενεᾷ· δύο μὲν Κρονίου - παρ τεμένει,
παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν
κλᾶρος προπετὴς - ἄνθε' Ὀλυμπιάδος.
δελφῖνί κεν
τάχος δι' ἅλμας
εἰκάζοιμι Μελησίαν,
χειρῶν τε καὶ ἰσχύος ἀνίοχον.

Hermann: *ἔβαν* codd. — 58. *γ'* om. codd., add. Hermann — 60. *Ἀλκιμίδα ὅ γ' ἐπάρκεσε κλειτὰ γενεά* coni. Schmid, *Ἀλκιμίδα, τό γ' ἐπάρκεσας κλειτᾷ γενεᾷ* Bergk; *τ'* pro *γ'* maluit Hermann — 62. *καὶ πολυτιμίδαν B*: *καὶ πολυτιμίδα D*, *καὶ σὲ Πολυτιμίδα* coni. Hermann — 64. *δι' D*: *δ' B* — 65. *εἰκάζοιμι* coni. Bergk: *ἶσον εἴποιμι B D* — 66. *χερῶν D*.

NEMEON. Z′.

ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

ΠΕΝΤΑΘΛΩι

(467 a. Ch.)

Strophae.

⏑ ⏒ –⏑⏑ – ⏑ – ⏒ ⏑ – ⏑ ⏓|
⏒⏑⏑ – ⏑ ⏖́⏑ – ⏑| ⏒ –⏑⏑ – ⏑ – ⏒ ⏑ – ⏑ ⏓|
⏒⏑⏑ – ⏑ – – ⏑ ⏒ ⏑ – ⏑ ⏓|
⏑ ⏒ ⏑ – ⏒ ⏑ ⏖ ⏑|–⏑⏑ – ⏑ – ⏓|
⏑ ⏒⏑⏑ – ⏒ ⏑ – ⏑ ⏖́ ⏑ ⏓|
⏒ –⏑⏑ – ⏑ –| ⏖́ ⏑ ⏖ ⏑ – ⏑ ⏓|
⏒ ⏖⏖ – ⏑ –| ⏖́ ⏑ – ⏑ ⏓|
– ⏒⏑⏑ – ⏑ – –|⏑ –⏑⏑ – ⏑ – ⏓|

Epodi.

⏑ ⏒ ⏑ – –⏑⏑ – ⏖́ ⏑ ⏓|
⏖ ⏑ –⏑⏑ – – ⏑ ⏓|
– ⏑ –⏑⏑ – ⏖ ⏑ –|⏑ ⏓
⏖ ⏑ –⏑|⏑ – ⏖ ⏑ – ⏑ ⏓|
⏖́ ⏑ –⏑⏑ – ⏑ –| ⏖́ ⏑ –⏑⏑ – ⏑ – ⏑ – ⏓|

Ἐλείθυια, πάρεδρε Μοι-ρᾶν βαθυφρόνων, *Στρ. α΄.*
παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥ-
ρας, γενέτειρα τέκ-νων· ἄνευ σέθεν

1. ἐλειθ. Tricl.: εἴλειθ. *B D* — πάρεδρος *D* — 2. τέκνον *D* —

οὐ φάος, οὐ μέλαι-ναν δρακέντες εὐφρόναν
τεὰν ἀδελ-φεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.
ἀναπνέομεν - δ᾽ οὐχ ἅπαντες ἐπὶ ϝίσα·
εἴργει δὲ πότμῳ ζυγένθ᾽ - ἕτερον ἕτερα. σὺν δὲ τὶν
καὶ παῖς ὁ Θεαρίω-νος ἀρετᾷ κριθεὶς
εὔδοξος ἀείδεται - Σωγένης μετὰ πενταέθλοις.

πόλιν γὰρ φιλόμολπον οἰ-κεῖ δορικτύπων Ἀντ. α΄.
Αἰακιδᾶν· μάλα δ᾽ ἐθέλοντι σύμ-
πειρον ἀγωνίᾳ - θυμὸν ἀμφέπειν.
εἰ δὲ τύχῃ τις ἔρ-δων, μελίφρον᾽ αἰτίαν
ῥοαῖσι Μοι-σᾶν ἐνέβαλε· ταὶ μεγάλαι γὰρ ἀλκαὶ
σκότον πολὺν ὕμ-νων ἔχοντι δεόμεναι·
ἔργοις δὲ καλοῖς ἔσοπ-τρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
εἰ Μναμοσύνας ἕκα-τι λιπαράμπυκος
εὕρηται ἄποινα μόχ-θων κλυταῖς ἐπέων ἀοιδαῖς.

σοφοὶ δὲ μέλ-λοντα τριταῖ-ον ἄνεμον Ἐπ. α΄.
ἔμαθον, οὐδ᾽ ὑπὸ κέρ-δει βλάβεν·
ἀφνεὸς πενιχρός - τε θανάτου πέρας
ἅμα νέονται· ἐγὼ - δὲ πλέον᾽ ἔλπομαι
λόγον Ὀδυσσέος ἢ πάθεν
διὰ τὸν ἁδυεπῆ γενέσθ᾽ Ὅμηρον·

---

3. *εὐφρόναν B*: *εὐφροσύναν D* — 4. *ἀδελφ. ἐλάχ. D*: *ἐλάχ. ἀδελφ. B*, *ἀδελφ. λάχ.* Tricl. — 5. *ἀναπλέομεν* coni. Bornemann — 6. *πότμος D* — *ζυγένθ᾽* coni. Schmid: *ζυγόνθ᾽ BD* — 8. *ἔνδοξος D* — *πενταέθλ. Byz.*: *πεντάθλ. BD* — 9. *δορικτύπων B*[s]: *δορίκτυπον* (*δορύκτ. D*) *B*[i] *D* — 10. *ἀγωνίας* coni. Hartung — 12. *ἐνέβαλεν* ex schol. Schmid: *ἔβαλε B D* — *ταὶ B*: *αἱ D* — *ῥοαῖσι* codd.: *πνοαῖς* unus ex scholiastis — 13. *δέομαι D* — 16. *εὕρηται ἀπ᾽* coni. Hermann: *εὕρηται τις ἀπ. BD*, *εὕρῃ τις ἀπ.* Schmid — 18. *βλάβεν B* et schol.: *λάβεν D* — 19. *ἀφνεός τε πεν. B D*, *τε* eiec. *Byz.* — *πέρας ἅμα* coni. Wieseler: *παρὰ σᾶμα B D* — 21. *πάθεν Byz.* et fort.

ἐπεὶ ψεύδεσί ϝοι ποτα-νᾶ τε μαχανᾷ Στρ. β′.
σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπ-
  τει παράγοισα μύ-θοις· τυφλὸν δ' ἔχει
ἦτορ ὅμιλος ἀν-δρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
ἓ τὰν ἀλά-θειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς
ὁ καρτερὸς Αἴ-ας ἔπαξε διὰ φρενῶν
λευρὸν ξίφος· ὃν κράτισ-τον Ἀχιλέος ἄτερ μάχᾳ
ξανθῷ Μενέλᾳ δάμαρ-τα κομίσαι θοαῖς
ἂν ναυσὶ πόρευσαν εὐ-θυπνόου Ζεφύροιο πομπαὶ

πρὸς Ἴλου πόλιν. ἀλλὰ κοι-νὸν γὰρ ἔρχεται Ἀντ. β′.
κῦμ' Ἀίδα, πέσε δ' ἀδόκητον ἐν
  καὶ δοκέοντα· τι-μὰ δὲ γίνεται,
ὧν θεὸς ἁβρὸν αὔ-ξῃ λόγον τεθνακότων.
βίᾳ θάνεν - τοι παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου
μολὼν χθονός, ἐν - Πυθίοισι δὲ δαπέδοις
κεῖται Πριάμου πόλιν - Νεοπόλεμος ἐπεὶ πράθεν,
τᾷ καὶ Δαναοὶ πόνη-σαν· ὁ δ' ἀποπλέων
Σκύρου μὲν ἅμαρτεν, ἵ-κοντο δ' εἰς Ἐφύραν πλάνητες.

---

schol.: πάθαν B D — 22. τε om. B D, add. Hermann — 25. ἓ τὰν coni. Boeckh: ἐὰν BD, ἑτὰν coni. Bergk — ἰδέμεν coni. Schmid: εἰδέμεν B D — 29. εὐθυπνόου D: εὐθυπόρου B — ζεφύρεο D — πομπαί D et B margo: πνοαί B, quod πνοιαί scribendum fuit — 31. αίδαο B D — 32. αὔξῃ cum schol. Bergk: αὔξει B D — 33. βίᾳ θάνεν τοι . . . μολὼν scripsi: βοαθόων τοὶ γὰρ . . . ἔμολεν BD, qua in lectione ἔμολεν pro genuina ἔμολον vel μόλον e Didymi coniectura scriptum esse scholia testantur; γὰρ eiec. Hermann, μόλεν coni. Schmid; βοαθόν· ἦ τοι . . . μόλεν coni. Feine — 35. πριάμου Tricl.: πριάμοιο B D — νεοπτόλ. codd. — 37. ἅμαρτε, πλαγχθέντες δ' εἰς Ἐφύραν Boeckh: ἅμαρτεν. ἵκοντο δ' εἰς ἐφύραν πλαγχθέντες BD (πλαχθ. D^{ac}); ἀμ. ἵκ. δ' εἰς ἐφ. πλάναισίν (vel πλάνητες) coni. Bergk —

Μολοσσίᾳ - δ' ἐμβασίλευ-εν ὀλίγον Ἐπ. β'.
χρόνον· ἀτὰρ γένος αἰ-εὶ φέρει
τοῦτό ϝοι γέρας. ᾤ-χετο δὲ πρὸς θεόν,
κτέαν' ἄγων Τροΐα-θεν ἀκροθινίων·
ἵνα κρεῶν νιν ὕπερ μάχας
ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.

βάρυνθεν δὲ περισσὰ Δελ-φοὶ ξεναγέται. Στρ. γ'.
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχ-
ρῆν δέ τιν' ἔνδον ἄλ-σει παλαιτάτῳ
Αἰακιδᾶν κρεόν-των τολοιπὸν ἔμμεναι
θεοῦ παρ' εὐ-τειχέα δόμον, ἡρωΐαις δὲ πομπαῖς
θεμισκόπον οἰ-κεῖν ἐόντα πολυθύτοις
εὐώνυμον ἐς δίκαν. - τρία ϝέπεα διαρκέσει·
οὐ ψεῦδις ὁ μάρτυς ἔργ-μασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ' - ἐκγόνων θρασύ μοι τόδ' εἰπεῖν

φαενναῖς ἀρεταῖς ὁδὸν - κυρίαν λόγων Ἀντ. γ'.
οἴκοθεν. ἀλλὰ γὰρ ἀνάπαυσις ἐν
παντὶ γλυκεῖα ϝέρ-γῳ· κόρον δ' ἔχει
καὶ μέλι καὶ τὰ τέρπν' - ἄνθε' Ἀφροδίσια.
φυᾷ δ' ἕκασ-τος διαφέρομεν βιοτὰν λαχόντες,
ὁ μὲν τά, τὰ δ' ἄλ-λοι· τυχεῖν δ' ἕν' ἀδύνατον
εὐδαιμονίαν ἅπα-σαν ἀνελόμενον· οὐκ ἔχω

---

39. φέρει *D*: φέρεν *B*, ἔσχεν paraphr. — 41. κτέατ' ἀνάγων *D* — 43. βάρυνθε *D* — δὲ περισσὰ coni. Schmid: περισσὰ δὲ *BD* — 47. θεμίσκοπον *BD* — πολυθύτης *D*; post πολυθύτοις interpunxit Aristarchus, ante ἐς δίκαν Heyne — 49. ψεύδεσι μάρτυς coni. Bornemann — μάρτυς *B*[1] *D*: μάντις *B*[3] — 50. τόδ', εὑρεῖν φαενν. coni. Steffen — 51. λέγων coni. Heimsoeth — 56. οὐδ' ἔχω Schmid — 59. ἀρομένῳ coni. Hermann: ἀραμένῳ *BD* —

εἰπεῖν, τίνι τοῦτο Μοῖ-ρα τέλος ἔμπεδον
ὤρεξε. Θεαρίων, - τὶν δ' ἐοικότα καιρὸν ὄλβου

δίδωσι, τόλ-μαν τε καλῶν - ἀρομένῳ   Ἐπ. γ'.
σύνεσις οὐκ ἀποβλάπ-τει φρενῶν.
ξεῖνός εἰμι, σκοτει-νὸν ἀπέχων ψόγον·
ὕδατος ὥτε ῥοὰς - φίλον ἐς ἄνδρ' ἄγων
κλέος ἐτήτυμον αἰνέσω·
ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.

ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ - μέμψεταί μ' ἀνὴρ   Στρ. δ'.
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων·
καὶ ξενίᾳ πέποιθ', - ἔν τε δαμόταις
ὄμματι δέρκομαι - λαμπρόν, οὐχ ὑπερβαλών,
βίαια πάντ' - ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων
ποτὶ χρόνος ἕρ-ποι. μαθὼν δέ τις ἂν ἐρεῖ,
εἰ παρ μέλος ἔρχομαι - ψάγιον ὄαρον ἐννέπων.—
Εὐξενίδα πάτραθε Σώ-γενες, ἀπομνύω
μὴ τέρμα προβὰς ἄκονθ' - ὥτε χαλκοπάρᾱον ὄρσαι

θοὰν γλῶσσαν· ὅ σ' ἐξέπεμ-ψεν παλαισμάτων   Ἀντ. δ'.

---

60. *σύνεσιν* coni. Hermann — 61. *κοτεινὸν* scripsit Boeckh, *κελαινὸν* vel *ἐρεβεννὸν* coni. Bergk — 62. *ἐς* *B*: *ὡς* *D* — 63. *ποτίφρος* *D* — 65. *καὶ ξενίᾳ* coni. Mommsen: *καὶ προξενίᾳ* codd., *καὶ* eiec. Hermann — 66. *ὑπερβαλών* coni. Schmid: *ὑπερβάλλων* codd., *ὑπερβλέπων* coni. Mommsen — 68. *τις ἂν ἐρεῖ* *B D* et schol.: *τις ἐρέει* coni. Boeckh — 69. *ψάγιον* *BD* et Hesych.: *ψέγιον* Tricl. — 70. *Εὐξεινίδι Σωγένους πάτρᾳ* Hartung — *ὑπομνύω* ex schol. Bergk — 71. *τέρμα περῶν* coni. Herwerden — *προβάντ'* vel *ὄρσαις* scribendum censuit Holwerda — *ὥτε* Boeckh: *ὡσείτε* *B D*, *ὥστε* Tricl. — 72. *ὅ σ' ἐξέπεμψεν* coni. Bergk: *ὃς ἐξέπεμψας* *B*, *ὃς ἐξέπεμψε* *D* —

αὐχένα καὶ σθένος ἀδίαντον, αἴ-
θωνι πρὶν ἀελίῳ - γυῖον ἐμπεσεῖν.
εἰ πόνος ἦν, τὸ τερπ-νὸν πλέον πεδέρχεται.
ἔα με· νι-κῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς
ἀνέκραγον, οὐ - τραχύς εἰμι καταθέμεν·
εἴρειν στεφάνους· ἐλαφ-ρόν ἀναβάλεο, Μοῖσά, τοι·
κόλλα χρῦσὸν ἔν τε λευ-κὸν ἐλέφανθ' ἁμᾷ
καὶ λείριον ἄνθεμον - ποντίας ὑφελοῖσ' ἐέρσας.

Διὸς δὲ μεμ-ναμένος ἀμ-φὶ Νεμέᾳ 'Επ. δ'.
πολύφατον θρόον ὕμ-νων δόνει
ἡσυχᾷ. βασιλῆ-α δὲ θεῶν πρέπει
γάπεδον ἂν τόδε γα-ρυέμεν ἁμέρᾳ
ὀπί· λέγοντι γὰρ Αἰακόν
νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

ἐᾷ μὲν πολίαρχον εὐ-ωνύμῳ πάτρᾳ, Στρ. ε'.
Ἡράκλεες, σέο δὲ προπρεῶνα μὲν
ξεῖνον ἀδελφεόν τ'. - εἰ δὲ δεύεται
ἀνδρὸς ἀνήρ τι, φαῖ-μέν κε γείτον' ἔμμεναι
νόῳ φιλή-σαντ' ἀτενέι γείτονι χάρμα πάντων
ἐπάξιον· εἰ - δ' αὐτὸ καὶ θεὸς ἀνέχοι,
ἐν τίν κ' ἐθέλοι, Γίγαν-τας ὃς ἐδάμασας, εὐτυχῶς

73. ἀμίαντον coni. Hecker — 75. πέραν Hermann: περ ἂν B D — 77. ἀναβάλεο Tricl.: ἀναβάλλεο B D — 78. κόλλα coni. Rauchenstein: κολλᾷ B D — 81. πολύφατον B D et schol.: πολυφάτων Tricl. — θρόον ὕμνων Schmid: ὕμνων (ὕμνον D) θρόον B D — 83. θαμερᾶ B, θεμερᾶ D, ἁμέρᾳ Hermann, εὔθρόᾳ Schmid — 84. ματροδόκοισι B D, corr. Tricl. — 85. ἐᾷ coni. Hermann: ἐμᾷ B D et schol., τεᾷ Pauw, ὑμᾷ Heyne — 86. δεύεται B[1] et pars schol.: γεύεται B[s] D, quod Aristarchum probasse scholia tradunt — 88. φιμίσαντ' D — 89. ἀνέχοι Thiersch: ἂν ἔχοι B D, ἀλέγοι Bergk —

καίειν πατρὶ Σωγένης - ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων ἐυκ-τήμονα ζαθέαν ἀγυιάν·

ἐπεὶ τετραόροισιν ὧθ' - ἁρμάτων ζυγοῖς 'Αντ. ε'.
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς,
ἀμφοτέρας ἰὼν - χειρός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥ-ρας πόσιν τε πειθέμεν
κόραν τε γλαυ-κώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν - δυσβάτων θαμὰ διδόμεν.
εἰ γάρ σφισιν ἐμπεδοσ-θενέα βίοτον ἁρμόσαις
ἥβᾳ λιπαρῷ τε γή-ραϊ διαπλέκοις
εὐδαίμον' ἐόντα, παί-δων δὲ παῖδες ἔχοιεν αἰεὶ

γέρας τόπερ - νῦν καὶ ἄρει-ον ὄπιθεν. — — 'Επ. ε'.
τὸ δ' ἐμὸν οὔ ποτε φά-σει κέαρ
ἀτρόποισι Νεοπ-τόλεμον ἑλκύσαι
ἔπεσι· ταῦτα δὲ τρὶς - τετράκι τ' ἀμπολεῖν
ἀπορία τελέθει, τέκνοι-
σιν ἅτε μαψυλάκας Διὸς Κόρινθος.

---

93. ὧθ' *D*: ὧσθ' *B* — 95. Ἥρας coni. Bothe: ἦραν *BD* — 96. δύνασαι δέ in parenthesi posuit Bergk — 98. σφισιν Aldina: σφιν *BD* — 101. ὄπισθεν (-θε *D*) *BD* — 103. ἀτρόπασι *D* — 104. ταὐτὰ Boeckh: ταῦτα *BD* — τετράκι Schmid: τετράκις *BD* — 105. μαψυλάκαις coni. Schneider.

Chariadae, Aegina

Megas

Deinis

NEMEON. H'.

ΔΕΙΝΙΔΙ ΑΙΓΙΝΗΤῌ

ΣΤΑΔΙΕΙ

ca. 459 a. Ch.

Strophae.

– – – ⏖ – –| – ⏑ – – – ⏖ – ⏖ – ⏒|
– ⏑ – ⏒ – ⏑ – – – ⏑ – –| – ⏖ ⏒
– ⏑ – ⏒ – ⏑ – –| – ⏑ – – – ⏖ – ⏖ ⏒|
⏖ – ⏖ – – – ⏑ – –|⏖ – ⏖ – ⏒|
– ⏑ – ⏒ – ⏑ –| – ⏑ – ⏒ – ⏑ – ⏒|

Epodi.

– – ⏖ – ⏖ –| – ⏑ – – – ⏑ ⏒|
– ⏑ – – – ⏖ – ⏖ ⏒|
⏖ – – ⏑ –, – – ⏖| – ⏖ – ⏒ – ⏑ ⏒|
– – ⏑ – – – ⏑ – ⏑ ⏒
– ⏑ – – – ⏖ – ⏖ –| – ⏑ ⏒
– ⏑ – – – ⏖ –| – ⏑ – ⏒ – ⏖ – ⏖ – –|
– ⏑ – – – ⏑ – –,| – ⏑ – – – ⏑ – ⏒ – ⏑ ⏒|

Pubertas

Στρ. α'.

Ὥρα πότνια, κᾶρυξ Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
ἅτε παρθενηίοις παίδων τ' ἐφίζοισα γλεφάροις

---

2. παρθενηΐοισι *B*, παρθενίοισι *D* — βλεφ. *BD* —

τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.
ἀγαπατὰ δὲ (καιροῦ μὴ πλανα-
θέντα πρὸς ἔργον ἕκαστον)
τῶν ἀρειόνων ἐρώ-
των ἐπικρατεῖν δύνασθαι·

Ἀντ. α'.

οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς Οἰνώνας βασιλεὺς
χειρὶ καὶ βουλαῖς ἄριστος· πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄω-
τοι περιναιεταόντων
ἤθελον κείνου γε πεί-
θεσθ' ἀναξίαις ἑκόντες,

Ἐπ. α'.

οἵ τε κρανααῖς ἐν Ἀθά-
ναισιν ἅρμοζον στρατόν,
οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας
ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν,
Δείνιος δισσῶν σταδίων
καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
σὺν θεῷ γάρ τοι φυτευθεὶς
ὄλβος ἀνθρώποισι παρμονώτερος·

3. ἁμάρας *D*, ἁμέραις Hecker — ἀνάγκαις Hermann, ἀν' ἀγκὰς Schmid — 6. ποιμένος *D* — 9. ἀβ. Tricl.: κἀβ. *B D* et schol. — 12. Πελοπηϊάδαι coni. Schmid: πελοπηΐδαι *B D* — 14. φέρων: φίλων *D* — 16. Νεμεαῖον coni. Pauw.: νέμειον *B D* —

Στρ. β'.

ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν.
πολλὰ γὰρ πολλᾷ λέλεκται· νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ
ἐς ἔλεγχον ἅπας κίνδυνος· ὄ-
ψον δὲ λόγοι φθονεροῖσιν·
ἅπτεται δ' ἐσλῶν ἀεί,
χειρόνεσσι δ' οὐκ ἐρίζει.

Ἀντ. β'.

κεῖνος καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις.
ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον λάθα κατέχει
ἐν λυγρῷ νείκει· μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.
κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσ-
σῆ Δαναοὶ θεράπευσαν·
χρυσέων δ' Αἴας στερη-
θεὶς ὅπλων φόνῳ πάλαισεν.

Ἐπ. β'.

ἦ μὰν ἀνόμοιά γε δά-
οισιν ἐν θερμῷ χροῒ
ἕλκεα ῥῆξαν πελεμιζόμενοι

---

18. ὅσπερ *B*: ὥσπερ *D* — ποντίω *D* — 19. ἀναπν. *D* — 20. πολλᾷ Pauw: πολλὰ *B D* — 21. δὲ λόγοι om. Tricliniani; fort. ὄψον φθονεροῖσι δὲ μόμφοι — 23. ἀμφικυλίσαις Boeckh: ἀμφικυλίσσαις *B D* — 24. λάθαν *D* — κατέχει ἐν λυγρ. coni. Hermann: κατέχει ν λυγρ. *D*, κατέχει τε λυγρ. *B*, κάτεχεν ἐν λυγρ. Bergk — 25. ἀντέτακται *D* — 26. ψάθοις *D* — 27. ὅπλαν *D* — 29. πελεμ. coni. Wakefield Aristarchi interpretationem κινούμενοι secutus: πολεμ. *B D* —

ὑπ' ἀλε-ξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,
ἄλλων τε μόχθων ἐν πολυφθόροις
ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι,
αἱμύλων μύθων ὁμόφοι-
τος, δολοφραδής, κακοποιὸν ὄνειδος·
ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.

Στρ. γ'.

εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ, ἀλλὰ κε-λεύθοις
ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος
μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν
καὶ χθονὶ γυῖα καλύψαιμ'
αἰνέων αἰνητά, μομ-
φὰν δ' ἐπισπείρων ἀλιτροῖς.

Ἀντ. γ'.

αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ᾄσσει,
ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις

---

31. *ἐν πολυφθόροις* coni. Boeckh: *πολυφθόροισιν ἐν B D* — 33. *αἱμύλων* Tricl.: *αἱμυλίων B D* — 37. *χρυσὸν δ' εὐχ. B* — 38. *καγ χθονὶ* Bergk — *καλύψαιν* coni. Bergk — 40. *αὔξονται δ' ἀρεταὶ* coni. Schmid; veterem lectionem *ὕμνοισιν* glossa *αὔξεται* summotam esse suspicor — *ᾄσσει* Boeckh: *ἀΐσσει B D*, *αἴνῳ* coni. Bergk — 41. *ἐν* om. codd., add. Boeckh; *δένδρον ἀναΐσσει σοφ.* coni. Pauw — *ὑγρὰν* coni. Schmid —

ὑπερώτατα· μαστεύει δὲ καὶ
τέρψις ἐν ὄμμασι θέσθαι
πιστόν. ὦ Μέγα, τὸ δ' αὖ-
τις τεὰν ψυχὰν κομίξαι

οὔ μοι δυνατόν· κενεᾶν δ' 'Επ. γ'.
ἐλπίδων χαῦνον τέλος·
σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
ὑπερεῖ-σαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοι-δαῖς δ' ἀνὴρ
νώδυνον καί τις κάματον
θῆκεν. ἦν γε μὰν ἐπικώμιος ὕμνος
δὴ πάλαι καὶ πρὶν γενέσθαι
τὰν 'Αδράστου τάν τε Καδμείων ἔριν.

---

43. *ὄμμασ' ἰδέσθαι* coni. Herwerden — 44. **πιστὸν** ex schol. Mommsen: *πιστά B*, *πίσταν D*, *πίστιν* Tricl. — 46. *Χαριάδαις τε*: *Χαριάδαισι* coni. Heyne — 46. *λευρὸν* coni. Herwerden — 47. *ὑπερείσω* coni. Hermann, *ὑπερέσσαι* Mezger — *ποδῶν*: *δρόμων* coni. Rauchenstein — 48. *προσφόρῳ* ex scholiis coni. Wiskemann — 51. *τῶν τε Καδμ* coni. Naber.

Proitos v. Argos — Amythaon

Megapenthes — Bias — Melampus

Hipponoos — Talaos — Antiphates

Capaneus — Adrastos [Gem. ? d. d. K. Polybos in Sikyon] — Eriphyle — Oicles

Amphiaraos

Alkmaeon

[NEMEON. Θ΄.]

ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

ΑΡΜΑΤΙ

ca. 473 a. Ch.

Strophae.

–́ ⏕ – ⏕ –́ – | –́ ⏕ – ⏕ –́ ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑ – – | –́ ⏕ – ⏕ –́ | – –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏕ – ⏕ –́ | – –́ ⏕ – ⏕ –́ – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏕ – ⏕ –́ – | –́ ⏕ – ⏕ –́ | – –́ ⏑ – [– –́ ⏑ ⏓ |
– –́ ⏑ – – –́ ⏑ – | – –́ ⏑ – ⏓ |

Στρ. α΄.

Κωμάσομεν παρ' Ἀπόλλωνος ***Σικυωνόθε****, Μοῖσαι,*
τὰν νεοκτίσταν ἐς ***Αἴτναν****, ἔνθ' ἀναπεπταμέναι ξείνων*
νενίκανται θύραι,
ὄλβιον ἐς ***Χρομίου*** *δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον*
πράσσετε.
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ
διδύμοις παίδεσσιν αὐδὰν μανύει,
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.

---

3. *πράσσεται* (*εται* in ras.) *D* — 4. *αὐδὰν*: *αὐχὰν* coni. Hermann; *παίδεσσ' ἀοιδὰν* Boeckh —

Στρ. β'.

ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν
μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ' ἐπέων καυχᾶσσ'
ἀοιδὰ πρόσφορος.
ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ'
αὐτὰν ὄρσομεν
ἱππείων ἀέθλων κορυφάν, ἅτε Φοίβῳ θῆκεν Ἄδρα-
στος ἐπ' Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ
μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,

Στρ. γ'.

ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ' ἑορταῖς
ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμ-
φαινε κυδαίνων πόλιν.
φεῦγε γὰρ Ἀμφιάρηόν τε θρασυμήδεα καὶ δεινὰν στάσιν
πατρῴων οἴκων ἀπό τ' Ἄργεος· ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν
Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.
κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.

Στρ. δ'.

ἀνδροδάμαν δ' Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,
δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν ἔσσαν
μέγιστοι λαγέται,
καί ποτ' ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀν-
δρῶν αἰσιᾶν

---

7. μηδαμᾷ coni. Hecker — καυχᾶσσ' coni. Schneidewin: καύχας *BD*, καύχαις coni. Benedictus — 8. αὐτὰν ὄρσομεν coni. Schmid: αὐτὸν ὄρσωμεν *BD* — 13. Ἀμφιάρηόν ποτε *B*, unde Ἀμφιάρην ποτέ coni. Bergk — 14. λύᾳ: fort. δύᾳ — 16. ἀνδροδάμαν δ' coni. Schneidewin: ἀνδροδάμαντ' (-μαδαν τ' *D*) *BD*; ἀνδροδάμαν τ' *Byz.* — 17. ἰοκλείδα *B* — ἔσσαν Boeckh: ἦσαν *B D* — λαγέται add. Bergk, τουτάκι Rauchenstein, τοὔμπαλιν Christ — 18. αἰσιᾶν Tricl.: αἰσιῶν *B*, om. *D* —

οὐ κατ᾿ ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελί-
ξαις οἴκοθεν μαργουμένους
στείχειν ἐπώτρυν᾿, ἀλλὰ φείσασθαι κελεύθου.

Στρ. ε΄.

φαινομέναν δ᾿ ἄρ᾿ ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι
χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν· Ἰσμηνοῦ
δ᾿ ἐπ᾿ ὄχθαισι γλυκὺν
νόστον ἐρυσσάμενοι λευκανθέα σώμασι πίαναν καπνόν.
ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας· ὁ δ᾿ Ἀμ-
φιάρῃ σχίσσεν κεραυνῷ παμβίᾳ
Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ᾿ ἅμ᾿ ἵπποις,

Στρ. ϛ΄.

δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν
θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις φεύ-
γοντι καὶ παῖδες θεῶν.
εἰ δυνατόν, Κρονίων, πεῖραν μὲν ἀγάνορα Φοινικο-
στόλων
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι
ὡς πόρσιστα, μοῖραν δ᾿ εὔνομον
αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,

Στρ. ζ΄.

Ζεῦ πάτερ, ἀγλαΐαισιν δ᾿ ἀστυνόμοις ἐπιμῖξαι

---

23. ἐρυσσάμενοι Hermann: ἐρυσάμενοι *D*, ἐρεισάμενοι *B*, ὀλεσσάμενοι coni. Benedictus, ἐρυκόμενοι Herwerden — πίαναν Hermann: ἐπίαναν *B D* — 24. νεογήους *D* — σχίσε *B*ˢ, σχίσεν *D*, σχίσαις *B*¹, quo recepto Bury scripsit κρύψ᾿ ἄνδρ᾿ ἅμ᾿ ἵπποις — ταμβία *D* — 28. πεῖροις *D* — φοινικοστόλον *D* — 29. ταύταν: τακτὰν coni. Wilamowitz — ἀναβαλλέμεν coni. Herwerden — 31. ὦ ζεῦ *D* —

λαόν. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυ-
χὰς ἔχοντες κρέσσονας
ἄνδρες. ἄπιστον ἔειπ'· αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει
κλέπτεται,
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζο-
βόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις
ἔκρινας ἂν κίνδυνον ὀξείας ἀυτᾶς,

Στρ. η'.

οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου. παῦροι δὲ
βουλεῦσαι φόνου
παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν
στίχας
χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν Ἕκτορι μὲν κλέος
ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,

Στρ. θ'.

ἔνθα Ῥέας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
παιδὶ τωὔτ' Ἀγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώτᾳ·
τὰ δ' ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φά-
σομαι.
ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ,
τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.

---

32. *ἐντί BD*: *εἰσίν* Boeckh coll. P. v 116 — 33. *ἄνδρες* bis habet *B* — *αἰδὸς D* — 38. *ταρ ποδίον D* — 39. *μὰν B*: *μὲν D* — 41. *ἔνθα Ῥέας* coni. Boeckh: *ἔνθ' ἀρείας BD*, utrumque schol. — fort. *καλέοντι*, cf. P. vi 13 — 42. *τωὔτ'* Leutsch: *τοῦτ' BD* — *ἀγησιδάμῳ D* — 43. *ἐγκονίᾳ* Mommsen — *χέρσῳ* (vel *χέρσου*) schol. — 45. *ὅλαον D* —

Στρ. ι΄.

εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
κῦδος, οὐκ ἔνεστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας
ἐφάψασθαι ποδοῖν.
ἡσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται
μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ· θαρσαλέα δὲ παρὰ κρα-
τῆρα φωνὰ γίνεται.
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,

ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν Στρ. ια΄.
ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμ-
ψαν θεμιπλέκτοις ἅμα
Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν, ὑπὲρ
πολλᾶν τε τιμαλφεῖν λόγοις
νικᾶν, ἀκοντίζων σκοποῖ' ἄγχιστα Μοισᾶν.

---

46. *κτεάνοισι BD* — 47. *οὐκ ἔνεστι* coni. Pauw: *οὐκέτι B*, *οὐκ ἔστι D*, *οὐκέτ' ἐστὶ* Tricl., *ἄνδρ' οὐκ ἔστι* Rauchenstein, *οὐκ ἔστι πρόσωθεν* Buecheler, *οὐ πόρσω πόρος τις* Bury, *οὐκ ἔστιν πέραν τοῦ θνατὸν* Mommsen — 48. *ἡσυχίαν* Tricl.: *ἡσυχία BD* — 49. *αὐδᾷ D* — *κρατῆρα BD*: *κρητῆρι* schol. ad Luciani Conv. 32, Orion 35, 15 — 51. *ἀργυραίεσι D* — 52. *θεμιπλέτοις D* — *ἅμα* ex scholiis Schmid: *ἀμφὶ BD* — 54. *πολλᾶν* scripsi: *πολλῶν BD* — *τιμαλφοῖν D* — 55. *νικᾶν BD*, *νίκαν* an *νικᾶν* probet dubitat scholiasta — *σκοποῖ'* Ahrens: *σκοποῦ BD*.

Inachos
Io (Zeus)
Epaphus
Libya
Agenor Belus
Cadmus Aegyptus Danaos
Lynceus Hypermnestra
Abas
Akrisius Proetus
Dana[e]
Perseus

[NEMEON. Ι′]

ΘΕΑΙΩι ΑΡΓΕΙΩι

ΠΑΛΑΙΣΤΗι

ca. 465.

Strophae.

⏑⏑ – ⏑⏑ –́ ⏑ – | ⏓ –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –́ | – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ –́ – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –́ ⏓ | –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – | –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ ⏓ |

Epodi.

–́ ⏑ – – –́ ⏑⏑ | – ⏑⏑ –́ – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ –́ – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́ – | –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́ ⏓ –́ ⏑ – ⏓ |
–́ ⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ – ⏑⏑ –́ ⏓ |
⏑́⏑ ⏑ – –́ ⏑ – –́ | ⏑⏑ – ⏑⏑ –́ – | –́ ⏑ – – –́ ⏑ ⏓ |

Στρ. α′.

Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν, Χάριτες,

Ἄργος, Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε· φλέγεται δ' ἀρεταῖς
μυρίαις ἔργων θρασέων ἕνεκεν.
μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·
πολλὰ δ' Αἰγύπτῳ τὰ κατέκτιθεν ἄστη ταῖς Ἐπάφου παλάμαις·
οὐδ' Ὑπερμήστρα παρεπλάγχθη, μονό-
ψαφος ἐν κουλεῷ κατασχοῖσα ξίφος.

Ἀντ. α'.

Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν·
γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο (κεραυνωθεῖσα Διὸς βέλεσιν)
μάντιν Οἰκλείδαν, πολέμοιο νέφος.
καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι·
(Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε λόγον·)
πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν
καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ·

Ἐπ. α'.

θρέψε δ' αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ' ὄλβῳ φέρτατος
ἵκετ' ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις

---

2. ὑμνεῖται D — 4. κακρὰ D — περσέως D, περσέ . . B — 5. τὰ κατέκτιθεν coni. Mommsen, Boeckhium τὰ inserentem et Hermannum ἔκτιθεν corrigentem secutus: κατῴκισθεν B D — 6. ὑπερμή. B: ὑπερμνή. D — μονόψαφος ex scholiis Hecker: μονόψαφον codd. — κουλεῷ Hermann: κολεῷ B D — 8. βέλεϊ D — 10. γυναιξὶν Schmid: γυναιξὶ B D — 11. τοῦτον ex scholiis Schmid: τὸν B D, πιστὸν vel ἐτὸν coni. Bergk — 12. πατρὶ δ' lemma in D: πατρί τ' codd. — 14. ἐς ἐκ. B — fort. γαμετάν —

Τηλεβόας ἔναρεν· τῷ ⟨δ'⟩ ὄψιν ἐειδόμενος
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν
σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ' Ὄλυμπον
ἄλοχος Ἥ-βα τελεί-
α παρὰ ματέρι βαίνοισ' ἔστι, καλλίστα θεῶν.

Στρ. β'.

βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος
μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι·
ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
καὶ παλαισμάτων λάβε φροντίδ'. ἀγών τοι χάλκεος
δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν·
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσ-
χεν Θεαῖος εὐφόρων λάθαν πόνων.

Ἀντ. β'.

ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον Μοίσαισιν ἔδωκ' ἀρόσαι,
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ ϝοι στόμα· πᾶν δὲ τέλος

15. ἔναρεν· τῷ δ' ὄψιν coni. Hermann: ἔναρε (ἔναιρε̄ B) τι οἱ B D, ἐναρόντι οἱ ex schol. Schmid, ἐναρόντος ὄψιν Mommsen, ἔναρεν, ϝοῖ δ' ὄψιν Heimer — 19. ἀργείων D — 22. χάλκεον B[s] — 24. ἀλία D[1], ἀλίου D[s] — Θεαῖος Hermann: θειαῖος B D — εὐφόρων B[1] D, εὐφρόνων B[s], utrumque schol. — 26. Μοίσαισιν coni. Heyne: μοίσαισί τ' B D — 29. μὰν ex scholiis Schmid: μὲν B D —

ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ
προσφέρων τόλμαν παραιτεῖται χάριν.

Ἐπ. β'.

γνώτ' ἀείδω Ϝοῖ τε καὶ ὅστις ἁμιλλᾶται περὶ
ἐσχάτων ἀέθλων κορυφαῖς· ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν. ἁδεῖαί γε μὲν ἀμβολάδαν
ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
ἔμολεν Ἥ-ρας τὸν εὐ-
άνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις.

Στρ. γ'.

ἕπεται δέ, Θεαῖε, ματρώων πολύγνωτον γένος ὑμετέρων,
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις θαμάκις.
ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
Ἀντία τε ξύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προίτοιο καθ' ἱπποτρόφον

---

31. *οἱ* coni. Kayser: *θεῷ* codd. et schol. — 32. *κορυφᾶς* Schmid et unus ex scholiastis — *ὕστατον D* — 33. *γε* om. *D* — *ἀδείᾳ . . . ἐν τελετᾷ* v. l. schol. — 34. *νιν* om. *D* — 36. *χαλκέοις* vel *παγχαλκέοις* pro *παμποικίλοις* alter scholiasta legisse videtur — 37. *Θεαῖε* Böckh: *θειαῖε B D* — *πολύγνωτον γένος* codd.: *πολυγνώτῳ γένει* coni. Schmid, *πέδ' εὔγνωτον γένος* Bergk, *ἐφέπει . . . γένος* Bury; *δέκεται* Rauchenstein — 38. *σὺν* om. *B D*, ex schol. add. Schmid — 40. *ξύγγ.* Schmid: *σύγγ. B D* — 41. *νικαφορίαις Byz.*: *νικαφορίαισι B D* — *ὅσσοις D* — *Προίτοιο καθ' ἱπποτρόφον ἄστυ θάλησαν* coni. Rauchenstein: *ἱππότροφον ἄστυ τὸ Προίτοιο θάλησε B D*, *Προίτοιο τόδ' ἱππ. ἄστυ θάλησε* coni. Boeckh, *Προίτοιό τ' ἀν' ἱππ. ἄστυ θάλησαν* Bergk; *θάλλ.* scripsi, ut N. IV 88 —

ἄστυ θάλλησαν Κορίνθου τ' ἐν μυχοῖς,
καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·

'Αντ. γ'.

Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν,
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις·
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν· (μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς·)
ὅντε Κλείτωρ καὶ Τεγέα καὶ 'Αχαιῶν ὑψίβατοι πόλιες
καὶ Λύκαιον παρ Διὸς θῆκε δρόμῳ
σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει.

'Επ. γ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν παρ Παμφάη
καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν· ἐπεὶ
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
μοῖραν 'Ερμᾷ καὶ σὺν 'Ηρακλεῖ διέποντι θάλειαν,
μάλα μὲν ἀν-δρῶν δικαί-
ων περικαδόμενοι. καὶ μὰν θεῶν πιστὸν γένος.

Στρ. δ'.

μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ
Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θεράπνας,

---

43. οἰνοραῖς *D* — 46. ἐξελέγχει *D* — 48. θῆκεν Tricl., ἔθηκε *BD* — δρόμῳ: δόμῳ coni. Bury; post δρόμῳ interpunxit Bergk — 48. ποδῶν τε χειρῶν τε *B*, ποδῶν τε χειρῶν *D*, τε prius eiec. Schmid — 49. παμφάη Tricl. cum schol. — 50. θαῦμ' εἰ σφίσιν ἐγγενές, ἔμμεν coni. Herwerden — 56. διῒ *BD* — νέμοντα. *D* — τάν θ' *D* — θεράπεας *D* —

πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ
τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ
εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ.
τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολω-
θεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ·

'Αντ. δ'.

ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
ἥμενον· κείνου γὰρ ἐπιχθονίων πάντων γένετ' ὀξύτατον
ὄμμα· λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
ἐξικέσθαν, καὶ μέγα Ϝέργον ἐμήσαντ' ὠκέως.
καὶ πάθον δεινὸν παλάμαις 'Αφαρητίδαι Διός· αὐτίκα γάρ
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ' ἔναν-
τα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·

'Επ. δ'.

ἔνθεν ἁρπάξαντες ἄγαλμ' 'Αΐδα, ξεστὸν πέτρον,
ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ' οὔ νιν φλάσαν,
οὐδ' ἀνέχασσαν· ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·

---

57. ἀμπιμπλ. *D* — 60. ἀκμᾷ coni. Pauw: αἰχμᾷ *B D*, ἀκᾷ coni. Bury; conf. N. VI 52 — 61. πεδ' αὖ γ. *D*, πόδ' αὐγ. *B*, ποταυγ. Stephanus — 62. ἥμενον Aristarchus: ἥμενος *B D*, ἡμένος vel ἡμένως scribendum esse coniecit Didymus, ἡμένῳ coni. Thiersch — 64. ἐμήσαντ' coni. Schmid: ἐμνήσατ' *B*, ἐμνήσαντ' *D* — 65. πόθον *D* — 'Αφαρηϊάδαι coni. Boehmer — 66. Λήδας παῖς: fort. παῖς Ζηνός — πατρωΐῳ Schmid: πατρῴῳ (-ώω *D*) *B D* — 69. ἀνέχασσαν Wakefield: ἀνέχασαν *B*, ἀνέσχασαν *D* — 71. σκᾶψε coni. Herwerden — ψιλ. *D* —

ἅμα δ' ἐκαί-οντ', ἐρῆ-
μοι. χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων.

Στρ. ε'.

ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.
θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
ὄρθιον φώνησε· „Πάτερ Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ
φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν

'Αντ. ε'.

καμάτου μεταλαμβάνειν." ὣς ἔννεπε· Ζεὺς δ' ἀντίος ἤλυθέ ϝοι
καὶ τόδ' ἐξαύδασ' ἔπος· „'Εσσί μοι υἱός· τόνδε δ' ἔπειτα πόσις
σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
στάξεν ἥρως. ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμ'· εἰ μὲν θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον

---

72. δ' ἐκαίοντ' Boeckh: δὲ κέοντ' *BD* — κρασόνων *D* — 73. ἀλφεοῦ *D* — ἐχώρησεν *B* — 74. πνοὰς Schmid: ἀμπνοὰς *B*, ἀναπνοὰς *D* — τεθνεῶτ' *D* — 75. δὴ Schmid: δὲ *BD*; Bergk eiecto δὲ proposuit δάκρυ' ἀνὰ (ὑπὸ postea Bergk, ἅμα Bury) στοναχαῖς — 77. ἐπίτελλον *B* — 78. πόντῳ *D* — 79. ἤνεπε *B*, ἔνεπε *D* — ἀντίος *D*: ἀντία *B* — 80. τὸν δ' ἔπ. *D* — 81. θνατῶν D^{ac} — 82. στάξεν em. Pauw: ἔσταξεν *BD*, ἔσταξ' Tricl. —

αὐτὸς Οὔλυμπον θέλεις οἰκεῖν ἐμοὶ
σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει·

Ἐπ. ε'.

ἔστι σοὶ τούτων λάχος· εἰ δὲ κασιγνήτου πέρι
μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ϝίσον,
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν."
ὣς ἄρ' αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν.
ἀνὰ δ' ἔλυ-σεν μὲν ὀφ-
θαλμόν, ἔπειτα δὲ φωνὰν χαλκομίτρα Κάστορος.

---

84. οὐλ. Tricl.: ὀλ. *BD* — θέλεις Tricl.: ἐθέλεις *B D*, νοεῖς coni. Kayser — οἰκεῖν ἐμοὶ om. codd., ex scholiis add. Benedictus, ναίειν ἐμοὶ add. Boeckh — 90. χαλκομ. Tricl.: χαλκεομ. *B D*.

NEMEON. IA′.

ΑΡΙΣΤΑΓΟΡᾼ ΤΕΝΕΔΙῼ

ΠΡΥΤΑΝΕΙ.

Strophae.

⁝ ⏑ – – ⁝ ⏖ – ⏖ ∸ ⏓ ⁝ ⏑ ⏓ |
⁝ ⏑ – – ∸ ⏑ – – ⁝ ⏖ – ⏖ ∸ ⏓ |
⁝ ⏖ – ⏖ ∸ – ⁝ ⏖ – ⏖ ⏓ |
⁝ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
⁝ ⏖ – ∸ ⏑ – | ⁝ ⏑ – – ∸ ⏖ ⏓ |

Epodi.

⁝ ⏖ – ⏖ ∸ – | ⁝ ⏖ – ⏖ ∸ |
⁝ ⏑ – – ⁝ ⏖ – ⏖ – – ⁝ ⏑ ⏓ |
⁝ ⏖ – ⏖ ∸ | – ⁝ ⏖ – ⏖ ∸ ⏓ |
⁝ ⏖ – ⏖ ∸ – ⁝ ⏖ – ∸ ⏑ ⏓ |
⁝ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ ⏓ |
⁝ ⏑ – ⁝ ⏑ – –, ⁝ ⏖ – ⏖ ⏓ |

Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία, Στρ. α′.
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,

---

1. πρυτανεῖς *D* —

εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
οἵ σε γεραί-ροντες ὀρ-
θὰν φυλάσσοισιν **Τένεδον**,

'Αντ. α'.

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
πολλὰ δὲ κνίσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
καὶ ξενίου Διὸς ἀσκεῖται θέμις ἀενάοις
ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος
δυωδεκάμη-νον περά-
σαι σὺν ἀτρώτῳ κραδίᾳ.

'Επ. α'.

ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' **'Αρκεσίλαν**
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.
εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους,
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδει-ξεν βίαν·
θνατὰ μεμνάσθω περιστέλλων μέλη
καὶ τελευ-τὰν ἁπάντων γᾶν ἐπιϝεσσόμενος.

Στρ. β'.

ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί μιν αἰνεῖσθαι χρεών,
καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' 'Αρισταγόραν
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον

---

4. ἀγλαῶ σκάπτω *B D* — πύλας *B* — 6. λοιβαῖσιν *Byz.*: λοιβαῖς *B D* — 8. Θέμις Boeckh, θέμις vulgo — 10. περᾶσαί νιν coni. Hartung — 11. ἀνδρὸς ἐγὼ olim conieceram — ἀγησίλαν *B* — 12. ἀρτεμίαν coni. Schneider — 13. μορφᾷ παραμεύσεται ἄλλους ex scholiis Pauw: μορφᾶ παραμεύσεται (παραμέμψεται *B*) ἄλλων *B D*, μορφὰν παραμεύσεται ἄλλων coni. Boeckh — 14. ἐπιδείξῃ coni. Breyer — 17. ἀγαθοῖσί μιν coni. Mingarelli: ἀγαθοῖς μὲν *BD*, ἀγανοῖσί μιν coni. Hecker coll. P. IV 101 — 18. μελισδούπ. *B* — λαιδ. *D* — μελιζέμεν *B D*: μελίζεν coni. Pauw, μέλειν ἐν Hermann[3], μεμίχθ' ἐν Mommsen — 19. περικτυόν. *D* —

ἐστεφάνω-σαν πάλᾳ
  καὶ μεγαυχεῖ παγκρατίῳ.

ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν 'Αντ. β'.
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ 'Ολυμπίᾳ ἀέθλων.
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλιον ἂν - δηριών-
  των ἐνόστησ' ἀντιπάλων,

πενταετηρίδ' ἑορτὰν 'Ηρακλέος τέθμιον 'Επ. β'.
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμ-φθέντ' ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλ-κων ὀπίσσω θυμὸς ἄτολμος ἐών.

Στρ. γ'.
συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
αἷμ' ἀπὸ Σπάρτας· 'Αμύκλαθεν γὰρ ἔβα σὺν 'Ορέστᾳ
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων·
καὶ παρ' 'Ισμηνοῦ ῥοᾶν κεκραμένον
ἐκ Μελανίπ-ποιο μά-
  τρωος. ἀρχαῖαι δ' ἀρεταὶ

Αντ. γ'.
ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·
ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,

---

21. *μεγαυχεῖ* coni. Schmid: *μεγαλαυχεῖ* codd. — 22 et 23 om. *D* — 26. *ἐνοστήσαντ' ἀντ. D* — 28. *ἀνδησ.* Tricl.: *ἀναδησ. B D* — 30. *ἔλαβον B* — 33. *μὰν* coni. Pauw: *λίαν B D* et schol. — 35. *χαλκεντέα* coni. Schmid: *χαλκέων τε B*, *χαλκεντέων D* — *ἀνάτων D* — 36. *ἰσμιν. D* — *ῥοᾶν* Bergk: *ῥοὰν* vulgo — 38. *ἀλασσ. D* —

δένδρεά τ᾽ οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις
ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,
ἀλλ᾽ ἐν ἀμεί-βοντι. καὶ
θνατὸν οὕτως ἔθνος ἄγει

Ἐπ. γ΄.

μοῖρα. τὸ δ᾽ ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
τέκμαρ· ἀλλ᾽ ἔμπαν μεγαλανορίαις ἐν βαίνομεν,
ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα· προμαθείας δ᾽ ἀπόκειν-ται ῥοαί.
κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·
ἀπροσίκ-των δ᾽ ἐρώτων ὀξύτεραι μανίαι.

---

40. πάσ᾽ ἐτέων *B* — περόδοις Schmid coll. fr. 314: περιόδοις *B D* — 41. πλούτῳ om. *B* — 42. οὕτως ἔθνος ex scholiis Heyne: οὕτω σθένος *B D* — 44. μεγαλον. *D* — ἐν βαίνομεν: ἐμβαίνομεν *B D* — 46. γυῖα: λῆμα coni. Hartung — 48. ἔρωτες ὀξύτεροι coni. Hartung.

ΙΣΘΜΙΟΝΙΚΑΙΣ.

Α΄.

ΗΡΟΔΟΤΩι ΘΗΒΑΙΩι

ΑΡΜΑΤΙ

ca. 458 a Ch.

Strophae.

```
—́ ⏖ — ⏖ — — —́ ⏑ — ⏓|
—́ ⏖ — ⏖ — ⏓ —́ ⏑ ⏓|
—́ ⏑ — — —́ ⏖ — ⏖ — ⏓|
—́ ⏖ — ⏖ ⏓
⏓ —́ ⏑ —|— —́ ⏖ — ⏖ ⏓|
—́ ⏑ — — —́ ⏖ — ⏖ —   —́ ⏖ —|  —́ ⏑ — — —́ ⏑ —
```

Epodi.

```
— —́ ⏑ — — —́ ⏖ — ⏖ —|— —́ ⏑ ⏓|
—́ ⏖ — ⏖ — — —́|⏖ — ⏖ — — —́ ⏑ ⏓|
—́ ⏖ — ⏖ — —|—́ ⏑ — — —́ ⏖ ⏓|
— —́ ⏑ — — —́ ⏖ —   —́ ⏑ —|— —́ ⏑ — ⏓|
— —́ ⏑ — — —́ ⏑ —|⏓ —́ ⏖ — ⏖ —|— —́ ⏑ — — —́ ⏑ — ⏓|
```

Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα, *Στρ. α΄.*
πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον

---

1. *ἁμᾶ B* —

θήσομαι. μή μοι κραναὰ νεμεσάσαι
Δᾶλος, ἐν ᾇ κέχυμαι.
τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς;
εἶξον, ὦ 'πολλωνιάς· ἀμφοτερᾶν
τοι χαρίτων - σὺν θεοῖς ζεύξω τέλος,

καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων 'Αντ. α'.
ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ
δειράδ'· ἐπεὶ στεφάνους
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος, ἐν ᾇ
καὶ τὸν ἀδεί-μαντον Ἀλκμήνα τέκεν

'Επ. α'.
παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρίξαν κύνες.
ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
ἁνία τ' ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντι, θέλω
ἢ Καστορείῳ ἢ Ἰολά-
οι' ἐναρμόξαι νιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ
Θήβαις ἐτέκνωθεν κράτιστοι.

ἔν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων, Στρ. β'.
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον

---

3. θάσομαι *D* — 4. ἐν ᾇ τέταμαι coni. Hartung, ἐν ἂν κέχυμαι coni. Herwerden — 5. ἀγαθοῖο *D* — 6. ἀμφοτέροις *D*, -τέραν *B*, -τέρων lemma *B* — 8. Κείῳ *D* — ἀμφιρρύτᾳ *B* — 9. ἁλιερκέος coni. Hermann; at cf. I. I 32, VI 5, fr. 122, 10 — 11. ἓξ ὤπασε *B D*: ἐξώπασεν Aristarchus, ἓξ ὤπασαν lemma in *D* — 15. νωμάσαντι θέλω coni. Wiskemann: νωμάσαντ' ἐθέλω codd. et schol.; cf. I. VI 43 — 16. 'Ιολάοι' Mommsen: ἰολάου *B D* — 18. ἀέθλοισι θίγον: στεφάνοισι θίγον schol. ad

καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ,
γευόμενοι στεφάνων
νικαφόρων· λάμπει δὲ σαφὴς ἀρετὰ
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν
τ' ἀσπιδοδού-ποισιν ὁπλίταις δρόμοις·

οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς, 'Αντ. β'.
καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν.
οὐ γὰρ ἦν πενταέθλιον, ἀλλ' ἐφ' ἑκάστῳ
ἔργματι κεῖτο τέλος.
τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις
ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρ-
κας ἔφανεν - καὶ παρ' Εὐρώτᾳ πέλας,

'Επ. β'.
'Ιφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,
Τυνδαρίδας δ' ἐν 'Αχαιοῖς ὑψίπεδον Θεράπνας οἰκέων ἕδος.
χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι 'Ισθμῷ τε ζαθέᾳ
'Ογχηστίαισίν τ' ἀιόνεσ-
σιν περιστέλλων ἀοιδάν,
γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν
'Ασωποδώρου πατρὸς αἶσαν,

I. IV 18 — *θίγον*: *μίγεν* coni. Wiskemann — 20. *λεβήταισι B*, *λεβήτεσι D* — 21. *σευόμενοι D* — 23. *γυμνοῖσι* Tricl.: *γυμνοῖς BD* — *ἀσπιδόσιν πεισιν* (aut . . . *πασιν*) *D* — 24. *οἷά τε B* et schol.: *οἷς τε D* — *αἰχμαῖς* et *λιθίνοις* . . . *δίσκοις* (*δίσκοισιν D*) codd.: *αἰχμὰς* et *λιθίνους* . . . *δίσκους* Pauw — 25. *ὁπότε B D*: *ὁπόταν* Eustath. Od. 1591, 30, *ποτ' ἀνὰ* Ammonius p. 41, *ὁπότ' ἐν* Boeckh, *ὁπότ' αὖ* Kayser, *ὁπότεν* Vogt — 26. *ἦν* Rom.: *ἦ ε̄ B*, *ἦς D*, *ἦς* lemm. *D* fortasse recte — *πεντάθλιον* coni. Boeckh: *πένταθλον B D* — 28. *ἀθρόους D* — 29. *ῥεέθροσί τε D* — *ἔφανεν* coni. Schmid: *ἔφανε B D* — *εὐρώτα B D* et schol., *Εὐρώτα πόρῳ* coni. Herwerden — 32. *Ποσειδάωνί τ' ἰσθμῷ* coni. Mingarelli — 34. *αἶσαν*: *αἶγαν D* —

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν, Στρ. γ'.
ἅ νιν ἐρειπόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
δέξατο συντυχίᾳ·
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
συγγενὴς εὐαμερίας. ὁ πονή-
σαις δὲ νόῳ καὶ προμάθειαν φέρει.

εἰ δ' ἀρετᾷ 'ντέταται τις πᾶσαν ὀργάν, Ἀντ. γ'.
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
μὴ φθονεραῖσι φέρειν
γνώμαις. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ,
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰ-
πόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν.

Ἐπ. γ'.
μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀνθρώποις γλυκύς,
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόντος τράφει·
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται.
ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμί-
ζων ἄρηται κῦδος ἁβρόν,
εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται· πολιατᾶν
καὶ ξένων γλώσσας ἄωτον.

---

36. *ἐρειπόμενον* coni. Hartung: *ἐρειδόμενον* BD — *ναυαγίοις* coni. Schmid, *ναυαγίᾳ* schol. — 41. *ἀρετᾷ* BD Aristarchus: ante Aristarchum *ἀρετά* scriptum fuisse videtur — *'ντέταταί τις* scripsi: *κατάκειται* codd. et schol., *καταθῇ τις* coni. Hartung; *ἐν δ' ἀρετᾷ τέτατ' εἴ τις* Jurenka — 42. *δαπάναις* Tricl.: *δαπάναισι* (*-νεσι* D) BD — 47. *ἄλλοις ἄλλος* Tricl.: *ἄλλος* (omisso *ἄλλοις*) B, *ἄλλος ἄλλοις* D — *ἕρμασιν* D — *ἀνθρώποις* Tricl.: *ἀνθρώποισι* BD — 48. *τράφει* B: *τρέφει* D — 49. *ἀμύνειν* coni. Herwerden — 51. *δέκεται* coni. Boeckh: *δέ-*

ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν, Στρ. δ'.
γείτον', ἀμειβομένοις εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,
καὶ σέθεν, Ἀμφιτρύων,
παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευ-
σῖνα καὶ Εὔ-βοιαν ἐν γναμπτοῖς δρόμοις·

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν Ἀντ. δ'.
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς
Ἡροδότῳ ἔπορεν
ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων
ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσω-
παμένον εὐ-θυμίαν μείζω φέρει.

Ἐπ. δ'.
εἴη νιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς
Πιερίδων ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις
Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα, τιμὰν ἑπταπύλοις
Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔν-
δον νέμει πλοῦτον κρυφαῖον,
ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀίδᾳ τελέων οὐ
φράζεται δόξας ἄνευθεν.

χεται *BD* — 53. ἀμοιβ. *D* — 54. ἱπποδρομίων coni. Rauchenstein — 61. Ἡροδότοιο πόρεν coni. Mommsen — ἔμπορεν *B* — 63. σεσιγαμένον coni. Hermann; cf. O. XIII 87 — εὐυμνίαν coni. Naber — 64. πτερύγεσιν *BD* — ἀγλααῖς Tricl.: ἀγλαΐαισι *B*, ἀγλααῖσι *D* — 65. πυθόθεν *BD* — 66. χεῖρα: fort. κρᾶτα — 68. ἀλαοῖσι coni. Chrysippus — ἐμπαίζων coni. Rauchenstein, ἄλλοις δ' ἐνιλλώπτων Bergk.

vgl. Pyth. VI.

ΙΣΘΜΙΟΝ. Β'.

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΑΡΜΑΤΙ

ca. 470 a. Ch.

Strophae.

– ∸ ⏖ – ⏖ – ⏑̄,| ∸ ⏑ – – ∸ ⏑ ⏓|
∸ ⏑ – – ∸ ⏑ –| ∸ ⏑ – – ∸ ⏖ – ⏖ –|
∸ ⏑ – – ∸ ⏑ – ⏓| ∸ ⏖ – ⏖ – ⏓|
∸ ⏖ – ⏖ ∸ ⏓ ∸ ⏑ – ⏓|
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – ⏓|

Epodi.

∸ ⏖ – ⏖ –,| – ∸ ⏖ – ⏖ – ⏓ ∸ ⏑ ⏓|
∸ ⏖ – ⏖ – – ∸ ⏑ – –|
∸ ⏑ – – ∸ ⏑ – ⏓|
∸ ⏑ – ⏓ ∸ ⏑ – – ∸ ⏖ ⏓|
∸ ⏑ – – ∸ ⏖ – ⏖ –|
∸ ⏑ ⏖ – ∸ ⏑ – –|

Στρ. α'.

Οἳ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων
ἐς δίφρον Μοισᾶν ἔβαι-
νον | κλυτᾷ φόρμιγγι συναντόμενοι,

---

1. οἳ ex scholiis Pindari et Aristophanis Pac. 696 rest. Schmid: ὅσοι *B D* — 2. ἐς δίφρον *B*[s] *D*: ἐν δίφρῳ *B*[1], unde

ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

Ἀντ. α'.

ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις·
οὐδ' ἐπέρναντο γλυκεῖ-
αι μελιφθόγγου ποτὶ Τερψιχόρας
ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.
νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι
ῥῆμ' ἀλαθείας ὁδῶν ἄγχιστα βαῖνον,

Ἐπ. α'.

Χρήματα, χρήματ' ἀνήρ, ὃς φᾶ κτεάνων θ' ἅμα λει-
φθεὶς καὶ φίλων.
ἐσσὶ γὰρ ὢν σοφός, οὐκ ἀγνῶτ' ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ
πέμπεν ἀναδεῖσθαι σελίνων,

Στρ. β'.

εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.
ἐν Κρίσᾳ δ' εὐρυσθενὴς
εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν

ἐν δίφρον veterem lectionem fuisse suspicor — συναντώμενοι B — 6. μοῦσα BD — τότ' D: ποτ' B et schol. Aristoph. l. l. — 7. ἐπέρνατο B — μελιφθόγγου coni. Heyne collato O. VI 21: μελίφθογγοι B D et schol. — 8. ἀγυρ. D, ἀργυρωθείσας coni. Gurlitt — 9. τὸ om. BD, ex schol. add. Heyne — 10. ἀληθ. BD — ὁδῶν add. Hermann, στάθμας Schnitzer, ἀνήρ, σποπου̃, ἐτᾶς Bergk — 11. θ' ἅμα BD: θαμά Boeckh — 12. ἀγνῶτ' B: ἄγνωτ' D, utrumque schol., ἀγνὼς coni. Bornemann — 15. αὐτῷ: αὖον susp. Bergk — κόμᾳ Boeckh: κόμα BD, κόμαν coni. Ceporinus — 16. ἀναδ. Schmid: ἀνδ. BD — 18. εὐρυσθενὴς codd., εὔφρων ἄναξ coni. Kayser —

καὶ τόθι· κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς
ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη
ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,

Ἀντ. β'.

τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἀνίαις.
ὅντε καὶ κάρυκες Ὡ-
ρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα
Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·
ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ
χρυσέας ἐν γούνασιν πιτνόντα Νίκας

Ἐπ. β'.

γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς
ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμιχθεν.
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι
οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,
οὔτε μελικόμπων ἀοιδᾶν.

Στρ. γ'.

οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται,
εἴ τις εὐδόξων ἐς ἀν-
δρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν
Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,

---

19. *κλειναῖς δ' Ἐρ.* coni. Heyne: *δ'* om. *BD* et schol., quo probato ante *καὶ τόθι* interpungunt; *ἀγλαΐαν. καὶ τόθι κλειναῖς τ' Ἐρ.* coni. Bergk — 22. *νεῖμ' ἁπάσαις* coni. Pauw: *νωμᾷ πάσαις* codd. — 23. *ἀνέγνων* *B D* — 24. *Ἀλείου* schol. — 25. *ἀσπάζοντο* ex *ἀσπάζονται* corr. *B* — 26. *πίτνοντο* *D*, *πιτνῶντα* ed. Cratandr. — 34. *ἄγοι* *D*: *ἄγει* vel *ἄγοι* *B* — 36. *ξενοκρ.* *B D* —

'Αντ. γ'.

ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·
καὶ θεῶν δαῖτας προσέπ-
τυκτο πάσας· οὐδέ ποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν·
ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείας,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν.

'Επ. γ'.

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται
Ϝελπίδες,
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν,
μηδὲ τούσδ' ὕμνους· ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.
ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

---

38. πανελλάνῳ D — 39. δαῖτας ex scholiis ed. Morell.: διαίτας B D — προσέπνυκτο D — 40. οὔριος πνεύσαις coni. Hermann — ὑπέστειλεν ἱστ. B D — 41. φάσιν ex φράσιν B — θερείας coni. Hecker (conf. Herod. I 189): θερείαις D, θερίαις B, θέρειος coni. Wilamowitz — 42. πλέον B — ἀκτάν B D: ἀκτάς ex scholiis Ald., ἀγάς ex schol. Schneidewin — 43. ἀμφικρέμονται D — 44. σιγάσω coni. Hartung — 45. μὴ δὲ B D: μήτε coni. Heyne — 46. ἐλινύσσ. D — 48. ξένον B.

ΙΣΘΜΙΟΝ. Γ′ Δ′.

ΜΕΛΙΣΣῼ ΘΗΒΑΙῼ

ΙΠΠΟΙΣ ΠΑΓΚΡΑΤΙῼ

ca. 475 et 476 a. Ch.

Strophae.

– ⏑ – ⏓ – ⏑ – ⏓ | – ⏑ – – – ⏑ – ⏓ |
– ⏑ – – – ⏑⏑ – | ⏑⏑ – ⏓ – ⏑ ⏓ |
– ⏑⏑ ⏕ ⏑⏑ – ⏓ – ⏑ – ⏓ |
– ⏑⏑ – ⏑⏑ – – – ⏑ – ⏓ |
– ⏑ – – – ⏑ – – | – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – | – ⏑ – ⏓
– ⏑ – – | – ⏑ – – – ⏑ – ⏓ |

Epodi.

– – ⏑⏑ – ⏑⏑ – | – – ⏑⏑ ⏓ |
– ⏑⏑ – ⏑⏑ – ⏓ |
– ⏑ – ⏓ – ⏑ ⏓ |
– – ⏑ – ⏓ – ⏑ – |
– – ⏑⏑ – ⏑⏑ – ⏓ | – ⏑ – – – ⏑ – – | – ⏑ – ⏓ – ⏑ ⏓ |
– – ⏑⏑ – ⏑⏑ – | – ⏑ – ⏓ – ⏑ – | – – ⏑ – – – ⏑ ⏕ –
[– ⏑ ⏓ |

Στρ. α΄.

Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις
ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,
ἄξιος εὐλογίαις ἀστῶν μεμῖχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλαγίαις
δὲ φρένεσσιν
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.

Ἀντ. α΄.

εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ δεξαμένῳ στεφάνους, τὰ
δὲ κοί-λα λέοντος
ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν

Ἐπ. α΄.

ἱπποδρομίᾳ κρατέων. ἀνδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασιν·
καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέ-
στειχον τετραοριᾶν πόνοις.
αἰὼν δὲ κυλινδομέναις
ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν· ἄτρωτοί γε μὰν
παῖδες θεῶν.

---

11. *βάσαισιν B* — 12. *βαθυστέρνου* codd.: *βαθυστέρνῳ* ex scholiis Bergk — 17. *Λαβδακίδαισι ξυνν.* Mommsen — *πλούτου BD*: *πλούτῳ* coni. Pauw — *διέστιχον BD*, *διέστειχον* Hermann: *διέστιλβον* coni. Bulle — 18. *ἄλλ' ἄλλοι τ' B* —

[IV.]

Στρ. β'.

Ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος,
ὦ ***Μέλισσ'***, *εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις,*
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος. ἄλλοτε δ' ἀλ-
λοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.

Ἀντ. β'.

τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοὶ
ὕβριος· ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πᾶν τέλος· ἀνορέαις δ'
ἐσχάταισιν
οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις·

Ἐπ. β'.

καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν.
ἱπποτρόφοι τ' ἐγένοντο,
χαλκέῳ τ' Ἄρει ϝάδον.
ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν
μάκαιραν ἑστίαν·

---

19. carmen quartum cum tertio cohaeret in *D*, vacuo loco ab eo separatum est in *B* — 20. *ἔφανας Byz.*: *ἔφανες BD* — *ἰσθμίοις ὑμετέρας* om. *D* — 23. *βιότου* coni. Schneidewin: *βίον B D*, *τὸ βίον* Tricl. — 25. *ὦν B*: *ὦ D* — 26. *ἀμφικτυ. D* — *τ'* abesse malo — 31. *καὶ μηκέτι* codd.: fort. *τᾶν μηκέτι*, *ὧν μηκέτι μακρότερ' ἦν* coni. Hartung, *ὡς μηκέτι* Naber — 33. *τ'* om. *D* —

νῦν δ' αὖ μετὰ χειμερίων
ποικίλα μηνῶν ζόφον χθὼν ὧτε φοινικέοισιν ἄν-
θησεν ῥόδοις

Στρ. γ'.

δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν, ἀλλ' ἀνεγειρομένα
χρῶτα λάμπει,
Ἀωσφόρος θαητὸς ὡς ἄστροις ἐν ἄλλοις·

Ἀντ. γ'.

ἅ τε κὴν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν
ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδῶν.
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον, Πανελλάνεσσι δ' ἐριζόμενοι δαπάνᾳ
χαῖρον ἵππων.
τῶν ἀπειράτων γὰρ ἄγνωστοι σιωπαί.

ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων, Ἐπ. γ'.
πρὶν τέλος ἄκρον ἱκέσθαι·
τῶν τε γὰρ καὶ τῶν διδοῖ.
καὶ κρέσσον' ἀνδρῶν χειρόνων

36. *χειμερίων ποικίλα* coni. Hartung: *χειμέριον ποικίλων* *B D* — *ὧτε* *D*: *ἅτε* *B*, *ᾇτε* Pauw — *ἄνθησε̄* *B*: *ἄνθος* *D* — 42. *ἀωσφ.* *B*: *ἑωσφ.* *D* — 43. *κὴν* *D*: *κεὶν* *B*, *κἀν* Boeckh — *νικᾶν* et *νίκαν* agnoscunt scholia, *νίκαν . . . ὤπασεν. τοιάδε* Mommsen — 45. *ἀοιδῶν* *B* et schol.: *ἀοιδάν* *D*, *ἀοιδᾶν* Tricl. — 48. *ἄγνωστοι* *B D*: *ἄγνωτοι* Mommsen — 50. *ἄκρον* om. *B* — 51. *διδοῖ τέλος* *B D*, *τέλος* eiec. Tricl. —

ἔσφαλε τέχνα καταμάρψαισ᾽. ἴστε μὰν Αἴαντος ἀλκάν,
φοίνιον τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ Ϝῷ
φασγάνῳ μομφὰν ἔχ᾽ ἐν παίδεσσιν Ἑλλάνων, ὅσοι
Τρῴανδ᾽ ἔβαν.

Στρ. δ΄.

ἀλλ᾽ Ὅμηρός τοι τετίμακεν δι᾽ ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
εἴ τις εὖ Ϝείπῃ τι· καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ
διὰ πόν-τον βέβακεν
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.

Ἀντ. δ΄.

προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν
ὕμνων
καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ᾽ ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων
ἐν πόνῳ, μῆτιν δ᾽ ἀλώπηξ, αἰετοῦ ἅ τ᾽ ἀναπιτναμένα
ῥόμβον ἴσχει·
χρὴ δὲ πᾶν ἔρδοντα μαυρῶσαι τὸν ἐχθρόν.

---

53. *τέχνα* D: *τέχνᾳ* B — *καταμάρψαισ᾽* codd.: *καταμάρψαι* ex scholiis Mommsen coll. P. IV 146 — *μὰν* B: *καὶ* D — *ἀλκὰν φοίνιον, τὰν ὀψίᾳ* vulgo: interp. corr. Madvig. — 54. *ἔχ᾽ ἐν* coni. Bergk: *ἔχει* codd. — *παίδευσιν* D — 58. *ἕρποι* D — 59. *πόντον* coni. Naber — 63. *ἔρνει. Τελεσιάδᾳ τολμ.* nonnullos interpunxisse testantur scholia — *τόλμᾳ* (*α*) . . . *θυμὸν* B D: *τόλμαν ὅμοιος* . . . *θυμῷ* coni. Kayser, *τόλμαν* . . . *θυμῷ* coni. Hartung — 64. *θηρῶν* Heyne: *θηρᾶν* codd., *θηρᾷ* alterum scholium — 66. *πὰν Ϝέρδ.* Schroeder — *ἔρδοντα μαυρ.* Boeckh: *ἔρδοντ᾽ ἀμαυρ.* codd. —

οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν· 'Επ. δ'.
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ' αἰχμᾷ βαρύς.
καίτοι πότ' Ἀνταίου δόμους
Θηβᾶν ἀπὸ Καδμεϊᾶν μορφὰν βραχύς, ψυχὰν δ'
ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνήρ,
τὰν πυροφόρον Λιβύαν,
κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα
σχέθοι,

Στρ. ε'.

υἱὸς Ἀλκμήνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε πάσας
καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,
ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.
νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον
ἀμφέπων ναίει, τετίματαί τε πρὸς ἀθανάτων φίλος, Ἥ-
βαν τ' ὀπυίει,
χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.

Ἀντ. ε'.

τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ
καὶ νεόδματα στεφανώματα βωμῶν, αὔξομεν
ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
τοὺς Μεγάρα τέκε ϝοι Κρειοντὶς υἱούς·
τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς
παννυχίζει,
αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ·

---

69. αἰχμᾷ (αἰχμᾶ D) B D, ἀκμᾷ coni. Pauw — 71. ἄκαμπτος D et schol.: ἄκομπος B — 72. ξείνων BD — Ποσειδᾶνος σφ' ἐρέπτοντα coni. Hermann probabiliter — 74. βαθύκρημνον coni. Heyne probabiliter — 74. θέναι D — 75. πορθμὸν codd. et schol.: πορθμοὺς Schmid — 76. αἰγιόχῳ διὶ B D, διὶ eiec. Tricl. — 77. ὀπύει B, ὀπήει D — 82. τέκεν οἱ coni. Schmid: οἱ τέκε B D^{pc}, τέκε (om. οἱ) D^{ac} — Κρειοντὶς Schmid: Κρεοντὶς codd. — υἱῆς D — 83. ἀναπελλ. D — 84. πλακτίζοισα Hecker

καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων *Ἐπ. ε'.*
γίνεται, ἰσχύος ἔργον.
ἔνθα λευκωθεὶς κάρα
μύρτοις ὅδ' ἀνὴρ διπλόαν
νίκαν ἀνεφάνατο καὶ παίδων τρίταν πρόσθεν, κυ-
βερνατῆρος οἰακοστρόφου
γνώμᾳ πεπιθὼν πολυβού-
λῳ. σὺν Ὀρσέᾳ δέ νιν κωμάξομαι, τερπνὰν ἐπι-
στάζων χάριν.

— *αἰθέρα*: *ἀέρα* Plut. de prim. frig. 10 — *κνισᾶντι B D* — 85. *τέρμ' ἀέθλων* Schmid: *ἀέθλων τέρμα B D* — 87. *λευκανθὴς* coni. Hecker — 89. *καὶ παίδων τρ.* coni. Mommsen: *παίδων τρ. B D*, *παίδων τὴν τρ.* Tricl., *παίδων τε τρ.* coni. Hermann, *παῖς δ' ἐὼν τρ.* Jurenka — 90. *πεπιθὼς* coni. Hartung, *πίσυνος* Hermann — *κωμάζομαι B* — *ἐπιστάζων* Tricl.: *ἀποστάζων B*, *ἐπιστοχάζων D*.

Psalychiden
Kleonikos
Lampon
Pytheas Phylakidas

ΙΣΘΜΙΟΝ. Ε′.

ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

ΠΑΓΚΡΑΤΙῼ

ca. 474 a. Ch.

Strophae.

–́ ⏑ – ⏓ –́ ⏖ – ⏖ – ⏓|
⏖́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏖ ⏓|
–́ ⏑ – – –́ ⏖ – ⏖ – ⏓|
–́ ⏖ – ⏖ ⏓|
–́ ⏑ – – –́ ⏖ – ⏖ – –|
⏖́ ⏑ – – –́ ⏑ – –,| –́ ⏑ – – –́ ⏖ –| –́ ⏑ – – –́ ⏑ – –

Epodi.

–́ ⏑ – – –́ ⏖ – ⏖ – ⏓|
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –|
–́ ⏑ – – –́ ⏖ – ⏖ ⏓|
–́ ⏑ – –́ ⏖ ⏓|
–́ ⏑ – – –́ ⏑ – – –́ ⏖ –|
⏖́ ⏑ – – –́ ⏖ – ⏖ – –|
–́ ⏑ – ⏓ –́ ⏖ – ⏖ ⏓|
–́ ⏖ – ⏖ –́|⏖ – – –́ ⏑ –|
–́ ⏖ – ⏖ –|– –́ ⏑ – ⏓|

Μᾶτερ Ἀελίου πολυώνυμε Θεία, Στρ. α'.
σέο Ϝέκατι καὶ μεγασθενῆ νόμισαν
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων·
καὶ γὰρ ἐριζόμεναι
νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι
διὰ τεάν, ὦ 'νασσα, τιμὰν ὠκυδινάτοις ἐν ἀμίλ-
λαισι θαυμασταὶ πέλονται·

ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν Ἀντ. α'.
κλέος ἔπραξεν, ὅντιν' ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν
ἢ ταχυτᾶτι ποδῶν.
κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν ἄλ-
πνιστον εὐανθεῖ σὺν ὄλβῳ,

εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ. Ἐπ. α'.
μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,
εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.
θνατὰ θνα-τοῖσι πρέπει.
τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά,
***Φυλακίδα,** κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν,*
Πυθέα τε, παγκρατίου. τὸ δ' ἐμὸν

---

2. *σέο Ϝέκατι*: *σέο γ' ἕκατι B D*, *γ'* ignorant scholia, expulit Bergk — 5. *ὑφ' ἅρμασιν* ex scholiis Bergk: *ἅρμασι* (sine praepos.) *D*, *ἐν ἅρμασι B* — 6. *ὠκυδινάτ. B D*: cf. P. XI 38, *ὠκυδινήτ.* Mommsen — *θαυμαστοὶ* schol. — 8. *ἔπραξεν* codd. et schol. ad v. 9: *ἔπραξαν* schol. ad v. 2 — 9. *ἐθείρας* coniunctis versibus 3 et 4 coni. Ahlwardt — 11. *δαίμονας* codd. et schol.: *δαίμονος* coni. Heyne collato P. IV 279 — 12. *ἄλπνιστον* v. l. in schol.: *ἀνέλπιστον B D* — 13. *λόγῳ ἐσλὸς* coni. Hecker — *ἀκούῃ B*: *ἀκούσῃ D* — 16. *θνατοῖσι* Tricl.: *θνατοῖς B D* — 19. *Πυθέα τε B D*: *Πυθέᾳ τε* Tricl. —

οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·
σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς

τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται — Στρ. β'.
θεοδότων ἔργων κέλευθον ἂν καθαράν,
μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ
κιρνάμεν ἀντὶ πόνων.
καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ
λόγον ἐκέρδαναν, κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐ-
λῶν τε παμφώνοις ὁμοκλαῖς

μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς — Ἀντ. β'.
Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι.
ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς
Οἰνεΐδαι κρατεροί,
ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος
γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει, Κάστορος δ' αἰχμὰ Πολυδεύ-
κεος τ' ἐπ' Εὐρώτα ῥεέθροις·

ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ — Ἐπ. β'.
Αἰακοῦ παίδων τε. τοὶ καὶ σὺν μάχαις
δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι
Ἡρακλῆ-ι πρότερον,
καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν.

---

23. ἀνὰ *D* — 24. ἀοιδᾶς vel ἀοιδᾶν mavult Bergk — 25. κιρνάμεν *Byz.*: κιρνάμεναι *BD* — 27. φορμίγγεσιν *BD* — 31. κρατεροί Tricl.: καρτεροί *BD* — 36. ἑσπόμενοι *B*: ἑπόμενοι *D*; ἔπραθον σπόμενοι coni. Bergk; at cf. I. VI 17. O. VIII 11. IX 83. P. IV 40 — 37. ἡρακλῆϊ Tricl.: ἡρακλεῖ *B D*; Ἡρακλεῖ τε πρότερον coni. Hartung — 38. ἀτρείδαις Tricl.: ἀτρείδαισιν *B D* — παιδόθεν *D* —

λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,
καὶ στράταρχον Αἰθιόπων ἄφοβον,
Μέμνονα χαλκοάραν; τίς ἄρ' ἐσλὸν Τήλεφον
τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις;

τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν Στρ. γ'.
διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
πολλὰ μὲν ἀρτιεπὴς
γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
κελαρύσαι· καὶ νῦν ἐν Ἄρει μαρτυρήσαι κεν πόλις Αἴ-
αντος ὀρθωθεῖσα ναύταις

ἐν πολυφθόρῳ **Σαλαμὶς** *Διὸς ὄμβρῳ,* Ἀντ. γ'.
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ·
Ζεὺς τά τε καὶ τὰ νέμει,
Ζεὺς ὁ πάντων κύριος. ἐν δ' ἐρατεινῷ
μέλιτι καὶ τοιᾷδε τιμᾷ καλλίνικον χάρμ' ἀγαπά-
ζοντι. μαρνάσθω τις ἔρδων,

ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου Ἐπ. γ'.
ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς
μόχθος ἀνδρῶν, οὐδ' ὁπόσαι δαπάναι

---

41. *χαλκοαρᾶν* mavult Bergk — *ἄρ'* coni. Schmid: *γὰρ BD* — 42. *Μυσίαις παρ' ὄχθαις*, vel *ᾧ δορὶ τρῶσε παρ' ὄχθαισιν Καΐκου* coni. Hermann, *ᾧ δορὶ τρῶσε Καϊκείοις παρ' ὄχθαις* Bergk; de licentia nominum propriorum conf. P. XII 12 — 44. *τετείχηται* v. l. fr. 321 — *πάλιν B* — 48. *κελαρύσαι* coni. Bergk: *κελαδῆσαι* codd., *κελαδέειν* Boeckh — 50. *ἰσαρίθμων* legebat scholiasta — 52. *τά τε* Boeckh: *τάδε B D* — 54. *τοιᾷδε τιμᾷ* v. l. in scholiis: *τοιαῖδε* (*τοιαίδε D*) *τιμαί BD* — *δέ τις BD*, *δὲ* eiec. Tricl. —

ἐλπίδων - ἔκνισ᾽ ὄπιν.
αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι,
χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.
λάμβανέ ϝοι στέφανον, φέρε δ᾽ εὔμαλλον μίτραν,
καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.

---

58. *ἐκπίδ. D* — *ἔκνισ᾽ ὄπιν* Cratandrina: *ἔκνιξ᾽ ὄπιν B*, *ἔκνιζ᾽ ὄπιν D*, *ἔκνισ(α) ὀπί* Aristarchus, *ἐξέπεσον* coni. Rauchenstein — 59. *ἐν γυιοδάμαις* (*γηοδ. D*) *B D*, fort. *ἢ γυιοδαμᾶν* — 60. *Φυλακίδᾳ* Schmid: *φυλακίδα B*, *φυλακίδαν D* — *εὐθυπορῆσαι B D*: *εὐθυπονῆσαι* Rom. — 61. *νόων D* — 63. *νέον B*: *νόον D* — *σύμπεψον B*.

ΙΣΘΜΙΟΝ. ϛʹ.

ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

ΠΑΓΚΡΑΤΙῼ

ca. 480 a. Ch.

Strophae.

– –̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – |
–̈ ⏑ – – –́ ⏑ – – –̈ ⏑⏑ – |
–̈ ⏑ – – –́ ⏑ – – | –̈ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – – | –̈ ⏑ – ⏓
–̈ ⏑ – ⏓ | –̈ ⏑⏑ – ⏑⏑ ⏓ |
– –̈ ⏑ – – –́ ⏑ ⏓ |
–̈ ⏑⏑ – ⏑⏑ – – | –̈ ⏑ – – –́ ⏑⏑ ⏓ |
⏑⏑̇ ⏑ – – –́ ⏑ – – ⏑⏑̇ ⏑ ⏓ |
– –̈ ⏑ – – –̈ ⏑⏑ – | ⏑⏑ – – –́ ⏑ ⏓ |
– –̈ ⏑ – – –́ ⏑ – – |

Epodi.

–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – |
–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – |
–̈ ⏑ – – –́ ⏑ – –, | –̈ ⏑⏑ – ⏑⏑ ⏓ |
–̈ ⏑ – – –́ ⏑ –, | – –̈ ⏑⏑ – ⏑⏑ – ⏓ –̈ ⏑ – ⏓ |
–̈ ⏑ – – –́ ⏑ – –, | –̈ ⏑⏑ – ⏑⏑ –
– –̈ ⏑ – – | –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ ⏓ |
–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ | – –̈ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓ |

Στρ. α .

Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου
δεύτερον κρατῆρα Μοισαίων μελέων
κίρναμεν Λάμπωνος εὐαέθλου γενεᾶς ὕπερ, ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ,
τὶν ἄωτον δεξάμενοι στεφάνων,
νῦν αὖτεν Ἰσθμοῦ δεσπότᾳ
Νηρεΐδεσσί τε πεντήκοντα, παίδων ὁπλοτάτου
Φυλακίδα *νικῶντος. εἴη δὲ τρίτον*
σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.

Ἀντ. α΄.

εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς
καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,
σύν τέ ϝοι δαίμων φυτεύει δόξαν ἐπήρατον, ἐσχατιαῖς ἤδη πρὸς ὄλβου
βάλλετ᾽ ἄγκυραν θεότιμος ἐών.
τοίαισιν ὀργαῖς εὔχεται
ἀντιάσαις ἀίδαν γῆράς τε δέξασθαι πολιὸν
ὁ Κλεονίκου παῖς· ἐγὼ δ᾽ ὑψίθρονον
Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς
ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.

---

2. *Μοισαίων* Heyne: *μοισέων* codd. — 3. *εὐάθλ.* ***B D*** — 4. *τίν γ᾽* coni. Pauw — 5. *αὖτεν Ἰσθμοῦ* Usener Jhb. f. Phil. 117, 65 conferens latinum *autem* et *ἔπειτεν* P. IV 211. N. III 54. I. VII 20: *αὖτ᾽ ἐν ἰσθμοῦ* ***B D***, *αὖτε Ἰσθμοῦ* Hermann, *αὖτις Ἰσθμοῦ* Boeckh, *αὖ τίν, Ἰσθμοῦ δέσποτα* Bergk — 9. *σπεύδειν* ***D*** — 12. *ἐσχατιαῖς* ***B***: *ἐσχατιὰς* ***D***, utrumque schol., *ἐσχατιαὶς* Bergk — 17. *ἕσπεσθαι* coni. Pauw: *σπέσθαι* codd.; *ἀνδρὸς φιλτάτου σπέσθαι κλυταῖς* Herwerden; cf. I. V 36 — *κλυταὶς* Bergk —

ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι, 'Επ. α΄.
τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν,
τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.
μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι
καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους·
οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις,
ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥ-
ρωος, εὐ-δαίμονος γαμβροῦ θεῶν,

οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα Στρ. β΄.
καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον
ἆγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον ἐς Τροΐαν, ἥρωσι μόχθον,
Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν
ἐν ναυσὶν Ἀλκμήνας τέκος.
εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων
ϝέθνεα, καὶ τὸν βουβόταν οὔρεϊ ϝίσον
Φλέγραισιν εὑρὼν Ἀλκυονῆ, σφετέρας οὐ φείσατο
χερσὶν βαρυφθόγγοιο νευρᾶς

Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων 'Αντ. β΄.
ἐς πλόον ξυνὸν κύρησεν δαινυμένων.

---

19. ὑμέ *D* — τ': δὲ quod paraphrasis exhibet, probat Bergk — 20. ἔμμεν Boeckh: εἶναι codd. — 21. ἐπιστείχοντι *B*ˢ — 22. σχερῶ *B D* — 23. πέρανείλοιο *B* — 24. οὔτε codd.: οὐδὲ schol. — παλιγλ. *B* — 25. ἀΐει ex scholiis Hermann: ἀΰει *B D* — 29. λαομεδοντείαν . . . ἀμπλακίαν codd., corr. Kayser — 31. πέφνεν τε malo — 32. τ' ἔθνεα codd., τ' eiec. Boeckh — τὸν om. *D* — 33. σφετέρας δ' οὐ *B D*, δ' eiec. Heyne — 36. ξυνὸν supplevi, τοῦτον Mommsen, πλόον, κύρησε πάντων Tricl. — κύρησε *D*: κήρυσσε *B* — δαινυμένων (δαν. *D*) *B D*: δαινύμενον ex schol. Mommsen —

τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι,
καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,
ἄνδωκε δ' αὐτῷ φέρτατος
οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών·
ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους
αὔδασε τοιοῦτον ϝέπος· Εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ,
θυμῷ 'θέλων ἀρᾶν ἄκουσας,

νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις 'Επ. β'.
λίσσομαι, παῖδα θρασὺν ἐξ Ἐριβοίας
ἀνδρὶ τῷδε ξείνιόν μου μοιρίδιον τελέσαι,
τὰν μὲν ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται
θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ·
θυμὸς δ' ἑπέσθω. ταῦτ' ἄρα ϝοι φαμένῳ πέμψεν θεὸς
ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁ-
δεῖα δ' ἔν-δον νιν ἔκνιξεν χάρις,

εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ· Στρ. γ'.
Ἔσσεταί τοι παῖς ὃν αἰτεῖς, ὦ Τελαμών·
καί νιν ὄρνιχος φανέντος κέκλε' ἐπώνυμον εὐρυβίαν Αἴαντα λαῶν,

---

38. *κρατ.* *D* — *'Αμφιτρυωνίδαν* *B* — 41. *ἀνατείναις* Boeckh: *ἀντείνας* *BD* — 42. *ἔπος* coni. Heyne: *τι ἔπος* *BD*, quod ex O. VI 16 illatum esse videtur — 43. *θυμὸν* *D* — *ἐθέλων* Boeckh; cf. I. I 15 — *ἐμᾶν . . . ἀρᾶν* Mommsen: *ἐμὰν . . . ἀρὰν* *BD* — 44. *θεσπεσίαις* ex scholiis ed. Crat.: *θεσπεσίαν* *BD* — 46. *ξείνιόν μου* (*μευ*) coni. Schnitzer: *ξεῖνον* (*κεῖν.* *D*) *ἁμὸν* (*ἀμ.* *D*) *BD*, *ξεινοτίμῳ* coni. Rauchenstein — 47. *τὰν μὲν* coni. Rauchenstein: *τὸν μὲν* codd., *τὼς μὲν* Hartung — *με νῦν* coni. Stephanus: *μίμνοι* *BD* — 52. *ἔσαιταί* *D* — 53. *κέκλε'* Bergk: *κέκλετ'* *BD*, *κέκλεν* Melanchthon —

ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου.
ὣς ἄρα ϝειπὼν αὐτίκα
ἕζετ'. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς·
Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας
Πυθέᾳ τε κώμων Εὐθυμένει τε. τὸν Ἀργείων τρόπον
εἰρήσεται πάντ' ἐν βραχίστοις.

ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου Ἀντ. γ'.
τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,
ἀγλαοὶ παῖδές τε καὶ μάτρως· ἀνὰ δ' ἄγαγον ἐς φάος
οἵαν μοῖραν ὕμνων,
τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων
ἄρδοντι καλλίστᾳ δρόσῳ,
τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν
θεοφιλῆ ναίοντι. Λάμπων δὲ μελέταν
ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος,
υἱοῖσί τε φράζων παραινεῖ,

ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων. Ἐπ. γ'.
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,
μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·
γλῶσσα δ' οὐκ ἔξω φρενῶν· φαίης κέ νιν ἀνδράσιν
ἀεθληταῖσιν ἔμμεν

---

56. *ἀναγήσ.* coni. Mingarelli: *ἀγήσ.* *B D*, *διηγήσασθαι* scholia interpretantur — 57. *γάρ τ'* coni. Schmid — 59. *πάντ' ἐν* coni. Schneidewin: *ποῦ κέν B*, *πα κ' ἐν D* — 61. *τρεῖς, ἀπ' Ἰσθ.* distinxit Bergk, antea sine distinctione vulgabatur *τρεῖς ἀπ' Ἰσθ.* — *τὰν δ'* vel *τὰ δ'* coni. Bergk — 62. *μάτρως· ἀνὰ δ'* coni. Schmid: *μάτρωες. ἀν δ'* codd. — 63. *Ψαλυχιδᾶν* coni. Schmid: *ψαλυχιαδᾶν BD*, utrumque schol. — 66. *ναίοντι* scripsi: *ναίουσι* codd., *ναίοισι* Hermann — 70. *κἀν* mavult Herwerden collato O. II 49 — *ξείν. BD* — 72. *νιν ἀνδράσιν* coni. Heyne: *νιν ἄνδρ' ἐν* codd. et schol., *Μένανδρον* ex glossa

Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.
πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
χρυσοπέπλου Μναμοσύνας ἀνέτει- 11
λαν παρ' εὐτειχέσιν Κάδμου πύλαις.

Tricliniana Mommsen — 73. *χαλκοδάμαν* coni. Heyne probabiliter; cf. N. IX 16 — 74. *σφε* codd.: *γε* Et. M. 673, 22 et Cramer An. Par. III 15, unde alios *Ϝε* legisse collegit Bergk.

ΙΣΘΜΙΟΝ. Ζ΄.

ΣΤΡΕΨΙΑΔῌ ΘΗΒΑΙῼ

ΠΑΓΚΡΑΤΙῼ

ca. 454 a. Ch.

Strophae.

⏑ ⏑ –⏑ ⏑ – ⏑ – ⏑ – ⏑ |
⏑ –⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – – ⏑ ⏑ |
– –⏑ ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – ⏑ |
– –⏑ ⏑ – ⏑ – ⏑ – | ⏑
– – –⏑ ⏑ – ⏑ – | – –⏑ ⏑ – ⏑ – | ⏑
– ⏑ –⏑ ⏑ –, | – – ⏑ – ⏑ ⏑ |

Epodi.

– ⏑ –⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ |
– –⏑ ⏑ – ⏑ – –⏑ ⏑ – ⏑ |
– –⏑ ⏑ – ⏑ – |
⏑ ⏑ –⏑ ⏑ – ⏑ – ⏑ – – |
– ⏑ –⏑ ⏑ – ⏑ – | ⏑ –⏑ ⏑ – ⏑ ⏑ |
–⏑ ⏑ – – ⏑
– –|⏑ ⏑ – – ⏑ –⏑ ⏑ ⏑ |

Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, *Στρ. α΄.*
καλῶν ἐπιχωρίων μάλιστα θυ-μὸν τεὸν
εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον

Δαμάτερος ἀνίκ' εὐρυχαίταν
ἄντειλας Διόνυσον, ἢ χρυσῷ μεσονύκτιον νί-
φοντα δεξαμένα τὸν φέρτατον θεῶν,

ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις Ἀντ. α'.
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλεί-οις γοναῖς;
ἢ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
ἢ ἀμφ' Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς Ἄ-
δραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν

μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον; Ἐπ. α'.
ἢ Δωρίδ' ἀποικίαν - οὕνεκεν ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαι-ὰ γὰρ
εὕδει χάρις, ἀ-μνάμονες δὲ βροτοί,

ὅ τι μὴ σοφίας ἄωτον ἄκρον Στρ. β'.
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκη-ται ζυγέν.
κώμαζ' ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ
νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορφά-
εις· ἄγει τ' ἀρετὰν οὐκ αἴσχίω φυᾶς.

---

6. θερ. *B* — 8 et 9. ἢ Schmid: ἢ ὅτ' *BD*, ἤ' Mommsen — 8. πυκναῖς Τειρεσίαο coni. Pauw: τειρεσίαο πυκιναῖς *BD*; πυκναὶς . . . βουλαίς susp. Bergk — 10. κρατ. *D* — 11. ἑτάρων Schmid: ἑταίρων *BD* — 12. οὕνεκεν Thiersch: οὕνεκ' *BD*, ἀνίκ' ἄρ' Heyne — 15. αἰγεῖδαι *B*: αἰδεῖσθαι *D*, ἀργεῖδαι v. l. schol. — πυθίοισιν *BD* — 19. ζευγέν *B* — 20. ἔπειτ' ἐν *BD* et schol. — 22. μορφάεις: μορφάεσ' (-εσσ' *B*) *BD* —

φλέγεται δὲ ϝιοπλόκοισι Μοίσαις, 'Αντ. β'.
μάτρωί θ' ὁμωνύμῳ δέδωκε κοι-νὸν θάλος,
χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφὲς ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν
αἵματος πρὸ φίλας πάτρας ἀμύνεται,

λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ, 'Επ. β'.
ἀστῶν γενεᾷ μέγισ-τον κλέος αὔξων
ζώων τ' ἀπὸ καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
'Αμφιάρη-όν τε,
εὐανθέ' ἀπέπ-νευσας ἁλικίαν

προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι Στρ. γ'.
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις - ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζ-
ων· ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος.

αἰσχίω Byz.: *αἴσχιον B*, *αἴσχθιον D*, quae lectio ad formam acc. *αἰσχίων* ducit grammaticis ante Aristarchum probatam — 23. *δὲ ἰοπλόκοισι* coni. Bergk: *δ' ἰοπλοκάμοισι* codd., *δ' ἰοβοστρύχοισι* Schmid; cf. O. VI 30 — 25. *ἄρης*: *ἄρ' D* — 26. *τιμὰ* et *τιμᾷ B* et schol. — 27. *ὅτις D* — *πρὸ* coni. Schmid: *πρὸς* codd. — 28. *ἄντα φέρων* ex scholiis Thiersch: *ἀμύνων BD*, *ἀντιφέρων* Bergk, *ἀντιπνέων* Wölfflin Phil. 7, 209 — 33. *ἀμφιάραόν τε BD*, *ἀν' 'Αμφιάρειον* coni. Bergk — 34. *εὐανθέα*: fort. *λευκανθέα*, ut duo cola ultima epodi in unum versum coniungi possint; cf. N. IX 23 — 36. *ἔχον* maluit Schmid — *ἐσχάταις* (*-οισιν D*) *ἐπ' ἐλπ. B D*, *ἐπ'* eiec. ed. Rom. — *ἐλπίσιν Byz.* et lemma in *B*: *ἐλπίσ.. B*, *ἐλπίδιν D* — 39. *ἁρμόσαις* ex scholiis Schmid: *ἁρμόζων B D* —

ὅ τι τερπνὸν ἐφάμερον διώκων 'Αντ. γ'.
ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν - μόρσιμον
αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες,
δαίμων δ' ἄισος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕ-
δραν· ὅ τοι πτερόεις ἔρριψε Πάγασος

δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς 'Επ. γ'.
ἐλθεῖν μεθ' ὁμάγυριν - Βελλεροφόνταν
Ζηνός· τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
τεαῖσιν ἁμίλ-λαισιν
εὐανθέα καὶ - Πυθόϊ στέφανον.

---

40. ἐφάμερον *D*: ἐφάμερος Tricl. — 43. ἄϊσος Benedictus: ἄιστος codd., utrumque schol. — 44. ὅ τοι *B*: ὅτι *D* — 45. οὐρανοὺς *D* — 51. ἐναυθέα *D*.

ΙΣΘΜΙΟΝ. Η'.

ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι

ΠΑΓΚΡΑΤΙΩι

ca. 478 a. Ch.

Strophae.

⏑ –̈ – ⏑ –́⏑ ⏑ – ⏑ –́ ⏓|
⏕ –̈ ⏑ – ⏑ –́⏑ ⏑ ⏓|
–̈ ⏑ – ⏑ –́⏑ ⏑ – –̈|⏑ – ⏑ ⏖̇ ⏑ –⏑ ⏑ –́ ⏑ ⏓
–̈ ⏑ –⏑ ⏑ –́ ⏑ – –̈|⏑ – ⏑ –́⏑ ⏑ ⏓|
⏑ –̈ – ⏑ –́⏑ ⏑|–
–̈ ⏑ –⏑ ⏑ –| – ⏑ –⏑ ⏑ –,|
–̈ ⏑ –⏑ ⏑ –| – ⏑ –⏑ ⏑ –,|
–̈ ⏒ –⏑ ⏑ –́|⏑ ⏕ –̈ ⏑ – ⏓|
–̈ ⏒ –⏑ ⏑ –́ ⏑ – –̈,|⏖ ⏓
–̈ ⏑ –|⏑ ⏖̇ ⏑ – ⏑ –̈|⏑ ⏑ – ⏑ – – ⏑ ⏓|
⏖̇ ⏑ – – ⏖̇ ⏑|– ⏖̇ ⏑ ⏓
⏑ –̈| –⏑ ⏑ –́⏑ ⏑ ⏓|
⏓ – ⏑ –́ ⏑ – ⏖̇ ⏑ –| –̈ ⏑ –⏑ ⏑ ⏓|

Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον *Στρ. α'.*
εὔδοξον, ὦ νέοι, καμάτων,

---

1. *τις B*: *τίς D* — *τε* codd. et schol.: *τι* coni. Bergk —

πατρὸς ἀγλαὸν Τελεσάρ-
χου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω
κῶμον, Ἰσθμιάδος τε νί-
κας ἄποινα, καὶ Νεμέᾳ
ἀέθλων ὅτι κράτος ἐξ-
εῦρε. τῷ καὶ ἐγώ, καίπερ ἀχνύμενος
θυμόν, αἰτέομαι χρυσέαν καλέσαι
Μοῖσαν. ἐκ μεγάλων δὲ πενθέων λυθέντες
μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων,
μήτε κάδεα θεράπευε·
παυσάμενοι δ' ἀπράκτων κακῶν
γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον,
ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς
γε Ταντάλου λίθον παρά τις ἔ-
τρεψεν ἄμμι θεός,

ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλά Στρ. β΄.
μοι δεῖμα μὲν παροιχόμενον
καρτερὰν ἔπαυσε μέριμ-
ναν· τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν
χρῆμα πᾶν. δόλιος γὰρ αἰ-
ὼν ἐπ' ἀνδράσι κρέμαται,
ἑλίσσων βίου πόρον· ἴ-
ατὰ δ' ἐστὶ βροτοῖς σύν γ' ἐλευθερίᾳ

---

3. πρόθυμον *D* — ἀνεγειρέτω *B*: ἀγειρέτω *D*, συναγ. coni. Schmid — 4. κώμων *B* — post Νεμέᾳ interpunxit Bergk — 7. ἀπρήκτ. *BD* — 10. γε *B* et schol.: τε *D*, ἅτε Bergk, fort. λᾶν Ταντάλου μέγαν vel ταῦν Ταντάλου λίθον collato Hesychio ταῦς· μέγας, πολύς — 12. παροιχόμενον Benedictus: παροιχομένων codd. et schol. — 13. σκοπεῖν om. codd., ex scholiis suppl. Thiersch — 15. βίου Tricl.: βιότου *B D* — καὶ τά *B*: καὶ ταὸν *D* — χρὴ δ' . . . ἰόν 41 exciderunt in *B* —

καὶ τά. χρὴ δ' ἀγαθὰν - ἐλπίδ' ἀνδρὶ μέλειν.
χρὴ δ' ἐν ἑπταπύλοισι Θή-βαις τραφέντα
Αἰγίνᾳ Χαρίτων ἄω-τον προνέμειν,
πατρὸς οὕνεκα δίδυμαι γέ-
νοντο θύγατρες Ἀ-σωπίδων
ὁπλόταται, Ζηνί τε Ϝάδον - βασιλέι.
ὃ τὰν μὲν παρὰ καλλιρόῳ
Δίρκᾳ φιλαρμάτου - πόλιος ᾤ-
κισσεν ἁγεμόνα·

σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν Στρ. γ'.
κοιμᾶτο, δῖον ἔνθα τέκες
Αἰακὸν βαρυσφαράγῳ
πατρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ
δαιμόνεσσι δίκας ἐπεί-
ραινε· τοῦ μὲν ἀντίθεοι
ἀρίστευον υἱέες υἱ-
έων τ' ἀρηίφιλοι - παῖδες ἀνορέᾳ
χάλκεον στονόεντ' - ἀμφέπειν ὅμαδον·
σώφρονές τ' ἐγένοντο πινυ-τοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμ-ναντ' ἀγοραί,
Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλα-
ός τ' ἔρισαν Ποσει-δᾶν γάμῳ,
ἄλοχον εὐειδέ' ἐθέλων - ἑκάτερος

---

17. θύγατρες Tricl.: θυγατέρες D — Ἀσωπίδων θ' ὁπλ. codd., θ' eiec. Pauw neque legisse videntur schol. — 18. ὁπλόταται Tricl.: ὁπλότατα D — 20. ᾤκισσεν Tricl.: ᾤκισεν D — 21. ἔνεγκε κοιμᾷ τε coni. Hermann — 23. βαρυσμαράγῳ coni. Herwerden — 24. ἐπείραινε Tricl.: ἐπέραινε D — 25. στονόεντ' Tricl.: στονόεντα τ' D — 27. ἔρισαν ex scholiis Benedictus: ἔρισας D — 28. εὐειδέ' ἐθέλ. Boeckh: εὐειδέα θέλ. codd. —

ἐὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.
ἀλλ' οὔ σφιν ἄμβροτοι - τέλεσαν εὐ-
νὰν θεῶν πραπίδες,

ἐπεὶ θεσφάτων ἐπάκουσαν. εἶπε **Στρ. δ'.**
δ' εὔβουλος ἐν μέσοισι Θέμις,
εἵνεκεν πεπρωμένον ἦν
φέρτερον γόνον ἂν ἄνακτα πατρὸς τεκεῖν
ποντίαν θεόν, ὃς κεραυ-
νοῦ τε κρέσσον ἄλλο βέλος
διώξει χερὶ τριόδον-
τός τ' ἀμαιμακέτου, - Δί γε μισγομέναν
ἢ Διὸς παρ' ἀδελ-φεοῖσιν. ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων δὲ λεχέ-ων τυχοῖσα
υἱὸν εἰσιδέτω θανόντ' - ἐν πολέμῳ,
χεῖρας Ἄρεΐ τ' ἐναλίγκι-
ον στεροπαῖσί τ' ἀκ-μὰν ποδῶν.
τὸ μὲν ἐμόν, Πηλέι γάμου - θεόμορον
ὀπάσσαι γέρας Αἰακίδᾳ,
ὄντ' εὐσεβέστατον - φάτις Ἰωλ-
κοῦ τράφειν πεδίον.

---

29. ἔμμεναι. ἔρως *D* — ἔχεν coni. Schmid: ἔσχεν *D*, ἕλεν Tricl. — 31. ἐπάκουσαν Tricl.: ἤκουσαν *D*, ὅπ' ἄκουσαν coni. Hermann[2] — 33. γόνον ἂν ἄνακτα coni. Bergk: ἂν om. codd., τεκέμεν ἄνακτα πατρὸς γόνον coni. Mommsen — 35. χερὶ Tricl.: χειρὶ *D* — Δί γε μισγ. coni. Bergk, qui tamen quartis curis scripsit Δὶ δαμαζομέναν: Διὶ μισγ. *D*, Ζηνὶ μισγ. Tricl., Δί τε μισγ. coni. Hermann, Δὶ συμμισγ. Mommsen — Διός περ ἀδ. coni. Mingarelli probabiliter, δίοισιν ἀδ. Hartung — 37. χεῖρας Ἄρεΐ τ' ἐν. Boeckh: ἄρεΐ χεῖρας ἐν. *D*, ἄρεΐ χέρας ἐν. Tricl. — 38. Πηλέι γάμου θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ coni. Hermann: πηλεῖ θεάμοιρον (θεόμοιρον Tricl.) ὀπάσαι γάμου αἰακίδα γέρας codd. — 40. φάτις Ἰωλκοῦ coni. Bothe: φασὶν (φασ' Tricl.) ἰαωλκοῦ codd., φρασὶν Ἰωλκοῦ τράφεν coni. Bergk —

ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Στρ. ε'.
Χείρωνος αὐτίκ' ἀγγελίαι·
μηδὲ Νηρέος θυγάτηρ
νεικέων πέταλα δὶς ἐγγυαλιζέτω
ἄμμιν· ἐν διχομηνίδεσ-
σιν δὲ ϝεσπέραις ἐρατὸν
λύοι κεν χαλινὸν ὑφ' ἥ-
ρωι παρθενίας. - ὣς φάτο Κρονίδαις
ἐννέποισα θεά· - τοὶ δ' ἐπὶ γλεφάροις
νεῦσαν ἀθανάτοισιν· ἐπέ-ων δὲ καρπὸς
οὐ κατέφθινε. φαντὶ γὰρ - ξύν' ἀλέγειν
καὶ γάμον Θέτιος ἄνακτε·
καὶ νεαρὰν ἔδει-ξαν σοφῶν
στόματ' ἀπείροισιν ἀρετὰν - Ἀχιλέος·
ὃ καὶ Μύσιον ἀμπελόεν
αἵμαξε Τηλέφου - μέλανι ῥαί-
νων φόνῳ πεδίον,

γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον, Στρ. ϛ'.
Ἑλέναν τ' ἐλύσατο, Τροΐας
ἶνας ἐκταμὼν δορί, ταί
νιν ῥύοντό ποτε μάχας ἐναριμβρότου
ἔργον ἐν πεδίῳ κορύσ-
σοντα, Μέμνονός τε βίαν

41. *εὐθὺς* codd.: *εὐθὺ* coni. Hermann — 43. *Νηρέος* Boeckh: *νηρέως* codd. — 44. *-δεσι D* — 45. *λύοιτ' ἂν* coni. Herwerden — *ἐννεπ. Byz.*: *ἐνεπ. B D* — 46. *ξύν' ἀλ.* coni. Hermann: *συναλ.* codd. — 47. *γάμον D*: *γάμ . . B*, *γάμον* Tricl. — *ἄνακτε* Tricl.: *ἄνακτα BD*, *ἄνακτι* Kayser — *καὶ νεαρὰν* coni. Schmid: *καὶ νέαν* codd.; *αἰΐνέαν τ'* Bergk — 48. *στόματ' ἀοιδαῖσιν* coni. Hartung — *ἀχιλέως B*, *ἀχιλλέος D* — 51. *ἀτρεάδ. BD* — 53. *ποτε* Tricl.: *ποτ' ἐκ. BD* — *ἐναριμ. . . .* hic desinit *B* —

ὑπέρθυμον Ἕκτορά τ' ἄλ-
λους τ' ἀριστέας· οἷς - δῶμα Φερσεφόνας
μανύων Ἀχιλεύς, - οὗρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν τε ῥί-ζαν πρόφαινεν.
τὸν μὲν οὐδὲ θανόντ' ἀοι-δαὶ ἔλιπον,
ἀλλά ϝοι παρά τε πυρὰν τά-
φον θ' Ἑλικώνιαι - παρθένοι
στάν, ἐπὶ θρῆνόν τε πολύφα-μον ἔχεαν.
ἔδοξ' ἆρα καὶ ἀθανάτοις,
ἐσλόν γε φῶτα καὶ - φθίμενον ὕμ-
νοις θεᾶν διδόμεν.

τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε *Στρ. ζ'.*
Μοισαῖον ἅρμα Νικοκλέος
μνᾶμα πυγμάχου κελαδῆ-
σαι. γεραίρετέ νιν, ὃς Ἴσθμιον ἂν νάπος
Δωρίων ἔλαχεν σελί-
νων· ἐπεὶ περικτίονας
ἐνίκασε δή ποτε καὶ
κεῖνος ἄνδρας ἀφύκ-τῳ χερὶ κλονέων.
τὸν μὲν οὐ κατελέγ-χει κριτοῦ γενεὰ
πατραδελφεοῦ· ἁλίκων - τῷ τις ἁβρὸν

---

55. *Φερσ.* Boeckh coll. O. XIV 21 et P. XII 2: *περσ.* *D* — *ἀχιλεύς* Tricl.: *ἀχιλλεύς* *D* — 56. *οὐδὲ* Boeckh: *οὔτε* *D* — *ἀοιδαί γ' ἐλ.* coni. Hermann; conf. ad O. I 103 — 57. *Ἑλικωνίδες* coni. Hecker — 58. *στὰν* coni. Heyne: *ἔσταν* codd. — *ἔχεαν* Schmid: *ἔχευαν* codd., fort. *ἔχεϝαν* — 59. *ἄρα* *D* — 60. *ἐσλόν γε* ex scholiis ed. Rom.: *ἐς λόγον γε* codd. — 61. *ἔχει λόγον* coni. Hecker collato Eur. fr. 208 — 63. *γεραίρετε* coni. Bothe: *γεραίρεται* *D* — *ἂν νάπος* coni. Hermann: *ἀνάπος* *D*, *ἂν πέδον* Tricl. — 65. *κἀκεῖνος* codd. — *ἀφύκτῳ* Tricl.: *ἀφύκτε* *D* — *χερὶ* Tricl.: *χειρὶ* *D* — *τὸν μὲν* Tricl.: *τὸ μὲν* *D* — *γενεὰ* Tricl.: *γενεὰν* *D*; fort. *κριτὸς γενεά* —

ἀμφὶ **παγκρατίου** Κλεάν-δρῳ πλεκέτω
μυρσίνας στέφανον· ἐπεί νιν
'Αλκαθόου τ' ἀγὼν σὺν τύχᾳ
ἐν 'Επιδαύρῳ τε πρὶν ἔδεκ-το νεότας·
τὸν αἰνεῖν ἀγαθῷ παρέχει·
ἥβαν γὰρ οὐκ ἄπει-ρον ὑπὸ χει-
ᾷ καλῶν δάμασεν.

---

67. ἀλκαθόου Tricl.: ἀλκάθου *D* — 68. ἐν Tricl.: εἰ *D* — πρὶν ἔδεκτο νεότας coni. Bergk: νεότας πρὶν ἔδεκτο codd., νεότας δέκετο πρίν coni. Hermann — 69. παρέχει Tricl.: παρέχειν *D* — 70. χειᾷ (sine πω) Tricl.: χία (vel χόα potius) πω *D*.

FRAGMENTA SELECTA
CARMINUM DEPERDITORUM.

I.
ΙΣΘΜΙΟΝΙΚΑΙ.

1 [4].

–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – ⏓ –́ ⏖ – –
– –́⏑ ⏑ – ⏖ –
–́ ⏑ – – –́ ⏖ –   –́ ⏑ ⏒
–́ ⏖ – ⏒ –́ ⏑ – –
–́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏑ –   –́ ⏖ –
– –́ ⏑ – – –́ ⏖ – ⏖ –
– –́ ⏑ – ⏒ –́ ⏑ – –

Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς
Αἴγινα· σὺν θεῶν δέ νιν αἴσᾳ
Ὕλλου τε καὶ Αἰγιμιοῦ
Δωριεὺς ἐλθὼν στρατὸς ἐκ-τίσσατο·

Fragmentorum numeri sunt editionis Bergkianae quartae, Lips. 1878; numeri uncinis inclusi editionis Boeckhianae sunt.
Fr. 1 est initium Isthm. IX, exstat in ultimo folio Pindarici cod. *D* — v. 2. *θεῶν* coni. Boeckh: *θεῶ* *D* — 4. *ἐκτίσ-*

τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται,
οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες· οἷ-οι δ' ἀρετὰν
δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ
Μοισᾶν ἀγωνίων τ' ἀέθλων.

2.

⏖ ⏑ ⏖ ⏑ ⏒ ⏑ ⏖ ⏑ ⏒ ⏑ – –
⏒⏑ ⏑ – ⏒ ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – – ⏒ ⏑ – ⏑ –

Ὁ δ' ἐθέλων τε καὶ δυνάμενος ἁβρὰ πάσχειν
τὰν Ἀγαμή-δει Τροφωνίῳ θ' Ἑκαταβόλου συμβουλίαν λαβών.

3 [26].

Plut. Cons. ad Apoll. 14: *περὶ Ἀγαμήδους δὲ καὶ Τροφωνίου φησὶ Πίνδαρος, τὸν νεὼν ἐν Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι· τοὺς δὲ ποιήσαντας τὸ προσταχθὲν τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι.*

4 [199].

⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏑ ⏒ ⏑

Κεἴ μοί τιν' ἄνδρα τῶν θανόντων.

5 [1].

⏒⏑ ⏑ – ⏑ ⏒ ⏑ – ⏑ ⏒ ⏓
– ⏒ ⏑ – ⏑ ⏒ ⏑ – ⏒ ⏑ ⏓
⏖ –⏑ ⏑ – –

σατο Hermann: *ἐκτήσατο D* — 5. *τῶν μὲν* coni. Hermann: *τὰ μὲν D.*

Fr. 2. Schol. Luciani dial. mort. III, editum a Rohdio Philol. 35, 199.

Fr. 4 ex schol. Pind. I. v inscr. petitum est, unde patet sermonem fieri de Pythea Aegineta; quo ex carminum genere verba sumpta sint incertum est.

Αἰολίδαν δὲ Σίσυφον κέλοντο
ᾧ παιδὶ τηλέφαντον ὄρ-σαι γέρας
φθιμένῳ Μελικέρτᾳ.

7 [2].

– ⏒ –⏑ ⏑ –⏑ ⏑ – ⏑ –
ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν.

10.

–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.

23. 24.

Ἀμεύσεσθαι Νάξιον Τίσανδρον — Ἀμευσιεπῆ φροντίδα.

II.

ΥΜΝΟΙ.

ΥΜΝΟΣ ΘΗΒΑΙΟΙΣ.

29. 30 [5. 6].

Strophae.

– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
– –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –

Fr. 5. Apollon. Dysc. de synt. II 21 p. 156.
Fr. 7. Apoll. Dysc. de pron. p. 368 A.
Fr. 10. 23. 24 Eustath. Prol. Pind., locis, unde hauserit, non indicatis.

Fr. 29—35, fortasse etiam 149. 178. 187 eiusdem hymni sunt Thebanis facti. Hoc de hymno Lucian. Icaromen. 27: *ἐν δὲ τῷ δείπνῳ ὅ τε Ἀπόλλων ἐκιθάρισε καὶ ὁ Σειληνὸς κόρδακα ὠρχήσατο, καὶ αἱ Μοῦσαι ἀναστᾶσαι τῆς τε Ἡσιόδου Θεογονίας ᾖσαν ἡμῖν καὶ τὴν πρώτην ᾠδὴν τῶν ὕμνων τοῦ Πινδάρου.* Inde Boeckhius hunc hymnum Theogoniae similem plurimorum deorum et heroum fabulas et laudes complexum esse collegit.

Epodi.

– ⏑ –

⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –

* * *

– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –

Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν, *Στρ.*
ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὰν κυανάμπυκα Θήβαν,
ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,
ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν ....

* * *

Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν *Στρ.*
χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν
Μοῖραι ποτὶ κλίμακα σεμνὰν
ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδόν,
σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·
ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας
Ὥρας.

31 [7].

Aristides II 142 Dind.: *Πίνδαρος δὲ τοσαύτην ὑπερβολὴν ἐποιήσατο, ὥστε ἐν Διὸς γάμῳ καὶ τοὺς θεοὺς αὐτούς φησιν, ἐρομένου τοῦ Διός, εἴ του δέοιντο, αἰτῆσαι ποιήσασθαί τινας αὑτῷ θεούς, οἵτινες τὰ μεγάλα ταῦτ' ἔργα καὶ πᾶσάν γε δὴ τὴν ἐκείνου κατασκευὴν κατακοσμήσουσι λόγοις καὶ μουσικῇ* — Choricius p. 305 ed. Boisson., p. 3 ed. Foerster: *ἐποίησε Πίνδαρος καὶ θεοὺς ὀκνοῦντας ὑμνῆσαι τὰς τοῦ Διὸς εἰς ἀνθρώπους φιλοτιμίας. ἐδόκει γὰρ οἶμαι τῷ ποιητῇ τοῦτο εἶναι μέγιστον ἐγκώμιον τοῦ θεοῦ, εἰ μηδεὶς τῶν Ὀλυμπίων αὐτὸν ἐγκωμιάσαι τολμήσαι. τοιγαροῦν καθ-*

Fr. 29 Luciani Demosth. enc. 19, Plut. de glor. Athen. 4.
Fr. 30. Clem. Alex. Strom. v 731.

ἧστο μὲν ὁ Ζεὺς τῷ Πινδάρῳ τὸ πᾶν ἄρτι κοσμήσας, παρῆσαν δὲ οἱ θεοὶ σιωπῇ τεθηπότες τὴν ἀγλαΐαν τῶν ὁρωμένων, ἐρομένου δὲ τοῦ Διός, εἴπερ ἄλλου του δέοιντο, ἓν ἔφασαν οἱ θεοὶ τοῖς ἐκείνου δημιουργήμασι λείπειν, ὅτι μηδένα προήγαγεν ἀναβαίνοντα ταῖς εὐφημίαις ἄχρι τοῦ μέτρου τῶν τελουμένων.

32 [8].

τοῦ θεοῦ
ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου.

33 [133].

ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων.

34 [9].

ὃς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

35 [10].

κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

ΕΙΣ ΑΜΜΩΝΑ.

36 [11].

– –́ ⏑ – – –́ ⏑ ⏒
Ἄμμων Ὀλύμπου δέσποτα.

Fr. 32. Aristid. II 383 Dind.
Fr. 33. Plut. Quaest. Plat. VIII 4.
Fr. 34. Hephaest. p. 96 Gaisf.[2].
Fr. 35. Heph. p. 95 Gaisf.[2] sine poetae nomine.
Fr. 36. Schol. Pind. P. IX 89: *Ἄμμων Ὀλύμπου δεσπ., φησί* scil. *Πίνδαρος*. Respicit Paus. IX 16, 1: *οὐ πόρρω δέ ἐστι ναὸς Ἄμμωνος, καὶ τὸ ἄγαλμα ἀνέθηκε μὲν Πίνδαρος, Καλάμιδος δέ ἐστιν ἔργον· ἀπέπεμψε δὲ ὁ Πίνδαρος καὶ Λιβύης ἐς Ἀμμωνίους τῷ Ἄμμωνι ὕμνον. καὶ οὗτος καὶ ἐς ἐμὲ ἦν ὁ ὕμνος ἐν τριγώνῳ στήλῃ παρὰ τὸν βωμόν, ὃν Πτολεμαῖος ὁ Λάγου τῷ Ἄμμωνι ἀνέθηκεν.*

ΕΙΣ ΠΕΡΣΕΦΟΝΗΝ.

37 [12].

– ⏖ – ⏖ – – – ⏑ –

Πότνια θεσμοφόρε χρυσανίου.

ΕΙΣ ΤΥΧΗΝ.

38 [16].

ἐν ἔργμασιν δὲ νικᾷ τύχα οὐ σθένος.

39. 40. 41 [14. 15. 13].

Paus. IV 30, 6: *ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν·* quod idem spectat Plut. de fort. Rom. 10 — Plut. de fort. Rom. 4: *οὐ μὲν γὰρ ἀπευθὴς (ἀπειθὴς* coni. Reiske, fort. *ἀσταθὴς) κατὰ Πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον, ἀλλὰ μᾶλλον Εὐνομίας καὶ Πειθοῦς ἀδελφὴ καὶ Προμηθείας θυγάτηρ, ὡς γενεαλογεῖ Ἀλκμάν* — Paus. VII 26, 8: *ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ, καὶ Μοιρῶν τε εἶναι μίαν τὴν Τύχην καὶ ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν.*

42 [171].

– ⏖ – – – ⏑ – – – ⏖ –
– ⏑ – – – ⏖ – ⏖ –
⏓ – ⏑ – – – ⏑ – – – ⏑ – – – ⏑ – –
– ⏖ – ⏖ – – – ⏖ – ⏖ – –
– ⏑ – – – ⏑ – – – ⏑ – ⏓

Ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται
μόχθος ἄμμιν. τοῦτό γέ τοι ϝερέω·
καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα
προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.

Fr. 37. Vita Pind. *A*, Paus. IX 23, 2.
Fr. 38. Aristid. II 334 Dind.
Fr. 42. Stob. Floril. CIX 1.

43 [173].

–́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ –

ὯΩ τέκνον,
ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει·
τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν
ἄλλοτ' ἀλλοῖα φρόνει.

48 [17].

Schol. Aristid. t. III p. 463 ed. Dind.: *ἐν Ὕμνοις μέμνηται Πίνδαρος, ὅτι τὸν Εὐρυτίωνα, τὸν Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς·*

51.

Strab. VII p. 91 ed. Kram.: *εἴπερ, ὥς φησιν ἐν τοῖς Ὕμνοις Πίνδαρος, οἱ μεθ' Ἡρακλέους ἐκ Τροίας πλέοντες διὰ παρθένιον Ἕλλας πορθμόν, ἐπεὶ τῷ Μυρτώῳ συνῆψαν, εἰς Κῶν ἐπαλινδρόμησαν Ζεφύρου ἀντιπνεύσαντος.*

III.

ΠΑΙΑΝΕΣ.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΠΥΘΙΟΝ.

52 [24].

–́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –
–́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –

Ἀμφιπόλοισι μαρνάμενον
μοιριᾶν περὶ τι-μᾶν ἀπολωλέναι.

Fr. 43. Athen. XII 513 C: *τοιοῦτός ἐστι καὶ ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδί* (i. e. Amphiaraus)· *ὦ τέκνον κτλ.*
Fr. 52. Schol. Pind. N. VII 94: *ἀπολογεῖσθαι βούλεται (Πίν-*

53 [25].

⏒ ∪ – ⏒ ∪ – ⏒ ∪ –
⏑ ⏒ ∪ . . . – ⏒ ∪ ⏓

Χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ
ἄειδον . . . Κηληδόνες.

54 [27].

Paus. x 16, 2: *τὸν δὲ ὑπὸ Δελφῶν καλούμενον ὀμφαλὸν λίθου πεποιημένον λευκοῦ, τοῦτο εἶναι τὸ ἐν μέσῳ γῆς πάσης αὐτοί τε λέγουσιν οἱ Δελφοί, καὶ ἐν ᾠδῇ τινι Πίνδαρος ὁμολογοῦντά σφισιν ἐποίησεν* — Strab. IX p. 419: *καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν, προσπλάσαντες καὶ μῦθον, ὅν φησι Πίνδαρος, ὅτι συμπέσοιεν ἐνταῦθα οἱ αἰετοὶ οἱ ἀφεθέντες ὑπὸ τοῦ Διός, ὁ μὲν ἀπὸ τῆς δύσεως, ὁ δ' ἀπὸ τῆς ἀνατολῆς.* Cf. P. IV 4.

55 [28].

Schol. Aesch. Eum. 2: *Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα, διὸ καὶ ταρταρῶσαι αὐτὸν ἐζήτει ἡ Γῆ.*

57 [29].

⏒ – ⏒∪ ∪ – ⏒∪ ∪ – ∪ ⏒∪ ∪ ⏓

Δωδωναῖε μεγάσ-θενες, ἀριστότεχνα πάτερ.

58 [30].

Schol. ad Soph. Trach. 172: *Εὐριπίδης τρεῖς γεγονέναι φησὶν αὐτάς (Πελειάδας), οἱ δὲ δύο καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον, τὴν ⟨δὲ⟩ περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος Παιᾶσιν.*

δαρος) περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας· ἐκεῖνοι γὰρ ᾐτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Δελφοῖς τὸν παιᾶνα ἔφη· ἀμφιπόλοισι . . . ἀπολωλέναι.

Fr. 53. Paus. x 5, 12.
Fr 57. Dio Chrys. or. XII 81, p. 416 R.

61 [33].

⏑ –́ ⏑ –⏑ ⏑ – –́ ⏑ –⏑ ⏑ ⏓
⏑ –́⏑ ⏑ – ⏑ – ⏑ –
–́ ⏑ – ⏑ –́⏑ ⏑ – – –́⏑ ⏑ – – –́⏑ ⏑ –⏑ ⏑ – –́⏑ ⏑ –⏑ ⏑ –

Τί δ' ἔλπεαι σοφίαν - ἔμμεν, ᾇ τ' ὀλίγον
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνά-
σει βροτέᾳ φρενί, θνα-τᾶς δ' ἀπὸ ματρὸς ἔφυ.

IV.

ΔΙΘΥΡΑΜΒΟΙ.

71 [43].

Schol. Pind. O. XIII 25: *ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ.*

72 [44].

. . . . ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑⏑ –

ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ
Ὠαρίων.

73 [52].

Strab. IX 404: *καὶ ἡ Ὑρία δὲ τῆς Ταναγραίας νῦν ἐστι, πρότερον δὲ τῆς Θηβαΐδος· ὅπου ὁ Ὑριεὺς μεμύθευται καὶ ἡ τοῦ Ὠρίωνος γένεσις, ἥν φησι Πίνδαρος ἐν τοῖς Διθυράμβοις.* Hygin. Astron. II 34: Aristomachus autem dicit quendam Hyriea fuisse Thebis, Pindarus autem in insula Chio . . . hic dicitur Thebis Chium venisse et Oenopionis filiam Meropen per vinum cupiditate incensus compressisse.

Fr. 61. Stob. Ecl. phys. II 1, 8.
Fr. 72. Et. M. 460, 35.

74 [53].

. . . . ⏖ –⏑ ⏑ ⏓
⏗⏑ ⏑ –⏑ ⏑ – ⏗ ⏑ – ⏑ ⏗⏑ ⏑ –

τρεχέτω δὲ μετὰ
Πληιόναν, ἅμα δ' αὐ-τῷ κύων λεοντοδάμας.

75 [45].

⏖ ⏗ ⏑ ⏖ ⏗ ⏑ –
⏑ ⏖ ⏑ – ⏗ ⏑ ⏖ ⏗ ⏑ –
⏑ ⏖ ⏑ – ⏗ ⏑ ⏓
⏗ ⏑ –⏑ ⏑ ⏗ ⏓ ||
⏒ ⏗⏑ ⏑ – ⏑ ⏗ –
– ⏗ ⏑ – ⏗ ⏑ – ⏗ ⏑ ⏖ – ||
⏖ ⏑ –⏑ ⏑ ⏗⏑ ⏑ –
⏗⏑ ⏑ – ⏑ ⏗ ⏑ – – ||
⏖ ⏗ ⏑ ⏖ ⏗⏑ ⏑ –
⏑ ⏖ ⏑ – ⏗ ⏑ – – ||
⏗⏑ ⏑ – ⏗ ⏑ – ⏖ ⏑ ⏓
⏖ ⏑ – ⏖ ⏑ – ⏗ ⏑ – ⏖ ⏑ ⏓ ||
⏑ ⏖ ⏑ – ⏗⏑ ⏑ – ⏗ ⏑ ⏓
⏑ – ⏗ ⏑ –⏑ ⏑ ⏗⏑ ⏑ ⏓ ||
⏑ – ⏖ ⏑ – ⏗ ⏑ – ⏗ ⏑ –
– ⏗⏑ ⏑ – ⏗⏑ ⏑ – ⏗ ⏑ – ⏗⏑ ⏑ –
– ⏗ ⏑ ⏖ ⏗⏑ ⏑ –⏑ ⏑ ⏗⏑ ⏑ ⏓ ||
⏖ ⏗ ⏑ ⏖ ⏗ ⏑ – ⏖ ⏑ –
⏑ ⏗ ⏑ – ⏑ ⏖ ⏑ – ⏑ ⏗ ⏑ – ||
– ⏗ – ⏗⏑ ⏑ – ⏑ ⏗ –
– ⏗ ⏑ ⏖ ⏗⏑ ⏑ – ⏖ ⏑ – ||

῎Ιδετ' ἐν χορόν, 'Ολύμπιοι,
ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοί,
πολύβατον οἵτ' ἄστεος

Fr. 74. Schol. Pind. N. II 19. *ἐν τούτοις μὲν ταῖς Πλειάσι φησὶ τὸν 'Ωρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἓν ζῴδιον.*

Fr. 75. Dionys. Halic. de comp. verb. c. 22.

ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν.
ἰοδετᾶν λάχετε στεφάνων
τᾶν ἐαριδρόπων τε λοιβᾶν·
Διόθεν τέ με σὺν ἀγλαΐᾳ
ἴδετε πορευθέντ' ἀοιδάν.
δεῦτ' ἐπὶ τὸν κισσοθαλέα θεόν,
Βρόμιον ὄντ' Ἐριβόαν τε βροτοὶ καλέομεν.
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμεϊᾶν ἔμολον·
ἐναργέα τελέων σάματ' οὐ λανθάνει,
φοινικοεάνων ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγῃσιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται ἐπ' ἀμβρόταν χθόν' ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

76 [46].

– ⏑́⏑ ⏑ –⏑ ⏑ ⏑́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ –
– ⏖́ ⏑ – ⏑ ⏑́⏑ ⏑ – –
⏑́⏑ ⏑ –⏑ ⏑ –́ ⏑

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι,
δαιμόνιον πτολίεθρον.

77 [196].

. . . . ⏖ – ⏖ – – –́ ⏖ – ⏖ – –
– –́ ⏑ – ⏖ –

Fr. 76. Schol. Aristoph. Ach. 674.

Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ' ἐλευθερίας.

78 [225].

–̈ ⏖ – ⏖ –̇ ⏖ –
–̈ ⏑ – ⏓ –̈ ⏖ – ⏖ –
–̈ ⏖ – ⏖ – ⏓ –̈ ⏖ – ⏖ –

Κλῦθ' Ἀλαλά, πολέμου θύγατερ,
ἐγχέων προοίμιον, ᾇ θύεται
ἄνδρες ὑπὲρ πόλιος τὸν ἱρόθυτον θάνατον.

79 A. B. [47].

–̈ ⏑ – – –̈ ⏖ – ⏖ – –
–̈ ⏑ – – –̇ ⏑ – – –̈ ⏖ – ⏖ –

Πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ [διθυράμβων]
καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.

. . . . – –̇ ⏑ – –
– –̈ ⏖ – ⏖ – – –̈ ⏑ –
–̈ ⏑ – – –̈ ⏖ – ⏖ – ⏓
–̈ ⏑ – – –̇ ⏑ – –

σοὶ μὲν καταρχαί,
μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων·
ἐν δὲ καχλάδων κρόταλ' αἰθομένα τε
δᾷς ὑπὸ ξανθαῖσι πεύκαις.

80.

. . . . . ⏖ – – –̇ ⏑ –

Κυβέλα μᾶτερ θεῶν.

Fr. 77. Plut. Them. 8. *ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν· ὅθι κτλ.*
Fr. 78. Plut. de glor. Athen. 7.
Fr. 79. Strab. x p. 469.
Fr. 80. Philodem. *περὶ εὐσεβείας* p. 29 Gomp.

81 [49].

. . . . ⏖ – ⏖ ⏓
–́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
– –́ ⏖ – ⏖ – ⏓ –́ ⏑ – –
–́ ⏖ – ⏓

Σὲ δ' ἐγὼ παρὰ μὶν
αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Δὶ φίλτερον
σιγῷμι πάμπαν. οὐ γὰρ εἰκὸς τῶν ἐόντων
ἁρπαζομένων παρὰ ϝεστίᾳ καθῆσθαι
καὶ κακὸν ἔμμεν.

82 [50].

–́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ – ⏓
Τὰν λιπαρὰν μὲν Αἴ-γυπτον ἀγχίκρημνον.

83 [51].

–́ ⏑ ⏖ –́ ⏑ – –́ ⏑ ⏖ ⏖́ ⏑ ⏓
Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

85 [55].

Et. M. 274, 50: *Διθύραμβος . . . Πίνδαρος δέ φησι λυθίραμβον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα λῦθι ῥάμμα, λῦθι ῥάμμα, ἵν' ᾖ λυθίραμμος, καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν. Ἡρωδιανὸς δέ φησι τὰ προστακτικὰ μὴ συντίθεσθαι.*

Fr. 81. Aristid. II 70 Dind.
Fr. 82. Schol. Pind. P. II inscr.
Fr. 83. Schol. Pind. O. VI 152.

V.

ΠΡΟΣΟΔΙΑ.

ΕΙΣ ΔΗΛΟΝ.

87. 88 [58].

– ⁝ ⏑ – – ⁝ ⏕ – ⏕ ⏗
– ⁝ ⏑ – – ⁝ ⏕ – ⏕ ⏗ –
– ⁝ ⏕ – ⏕ ⏗ – ⁝ ⏑ – – ⁝ ⏕ – ⏕ ⏗
– ⁝ ⏑ – – ⁝ ⏕ – ⏕ ⏗ – ⁝ ⏑ – – ⁝ ⏕ – ⏕ ⏗ –
⁝ ⏕ – ⏕ ⏗ –
– ⁝ ⏑ – – ⁝ ⏕ –
⁝ ⏑ – – ⏗ ⏑ – – ⁝ ⏕ – ⏕ ⏗ –
⁝ ⏕ – ⏕ ⏗ – ⁝ ⏕ – ⏕ ⏗ –

Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου *Στρ.*
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅντε βροτοὶ
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον.

. . . .
. . . .
. . . .
. . . .

. . . . *Ἀντιστρ.*
. . . .
ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων
ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θύοισ' ἀγχιτόκοις ἐπέβαινεν,
δὴ τότε τέσσαρες ὀρθαὶ

Fr. 87. Philo de corr. mund. 23.
Fr. 88. Strab. x 485.

πρέμνων ἀπώρουσαν χθονίων,
ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

ΕΙΣ ΑΦΑΙΑΝ.

89 [59].

⏑ ∸ ⏖ – ⏖ ∸ ⏓ ∸ ⏖ – ⏖ ∸ ⏓
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏖ – ⏖ ∸ –

Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν,
ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;

90 [60].

. . . ⏖ – ⏑ – ⏑ – ⏓
∸ ⏑ –⏑ ⏑ – ⏑ – –
∸ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ – ⏑ – –
∸⏑ ⏑ – ⏑ – – ⏑ –
⏑ ∸ ⏑ – –⏑ ⏑ – ⏑ – –

Πρὸς Ὀλυμπίου Διός σε,
χρυσέα κλυτόμαντι Πυθοῖ,
λίσσομαι, Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ
ἐν ζαθέῳ με δέξαι θρόνῳ
ἀοίδιμον - Πιερίδων προφάταν.

92. 93 [93].

– ∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓
∸ ⏑ – –
– ∸ ⏑ – – ∸ ⏖ – ⏖ –
– ∸ ⏖ – ⏖ ∸ ⏖ – – ∸ ⏑ ⏓
∸ ⏖ – ⏖ . . .

Fr. 89. Schol. Aristoph. Eq. 1263.
Fr. 90. Aristid. II 510 Dind.
Fr. 92. 93. Strab. XIII 626.

Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος
ἀμφίκειται.

* * *

ἀλλ' οἷος ἄπλατον κεράιζε θεῶν
Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ Ζεὺς πατὴρ
εἰν Ἀρίμοις ποτέ.

VI.

ΠΑΡΘΕΝΙΑ.

ΕΙΣ ΠΑΝΑ.

95 [63].

⏒ ⏓ –⏑ ⏑ ⏒ ⏑ –   ⏒ ⏓ –⏑ ⏑ ⏒ ⏑ –
⏒   –⏑ ⏑ ⏒ ⏑ – ⏑ ⏒   – ⏑⏑ ⏒ ⏑ – ⏑ ⏒   –

Ὦ Πάν, Ἀρκαδίας μεδέων,
καὶ σεμνῶν ἀδύτων φύλαξ,
Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν
Χαρίτων μέλημα τερπνόν.

96 [66].

⏒⏑ ⏑ –   ⏑⏑ ⏑ – ⏑ ⏒⏑ ⏑ –⏑ ⏑ ⏒
⏑⏑ –⏑ ⏑ ⏒ ⏑ –

Ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν
καλέοισιν Ὀλύμπιοι.

97 [64].

Τὸ σαυτοῦ μέλος γλάζεις.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

101 [70].

– – ⏒ ⏑ – –
– ⏒ ⏑ – – ⏒ ⏑⏑ – ⏑⏑ ⏒ ⏑⏑ – ⏑⏑ – –
⏒ ⏑ – ⏓ ⏒ ⏑⏑ – ⏑⏑ – – ⏒ ⏑ – –
⏒ ⏑⏑ – ⏑⏑ – – ⏒ ⏑ – – ⏒ ⏑⏑ – ⏑⏑ . .

Fr. 95. Schol. Pind. P. III 139.
Fr. 96. Aristot. Rhet. II 24 p. 1401[a] 15.
Fr. 97. Schol. Theocr. I 2.

κινηθεὶς ἐπῄει
γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖσιν ἄκραις ὀρέων ὕπερ ἔστα,
καὶ μυχοὺς διφάσατο βαλλόμενος κρηπῖδας ἄλσεων·
καί ποτε τὸν τρικάρανον Πτωίου κευθμῶνα κατέσχεθε.

102 [70].

⏑⏑ – – ⏑⏑ – ⏑⏑ – ⏑⏑ . . .

ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.

104 [69].

Schol. Theocr. II 10: Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται εἶναι (παρεῖναι coni. Bergk) Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην.

VII.

ΥΠΟΡΧΗΜΑΤΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩι.

105 A B [71. 72].

⏑⏑ ⏑ – ⏑ ⏑⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑⏑ ⏑ – – ⏑ – –
⏑⏑ ⏑⏑ ⏑ – ⏑ – ⏑ – – ⏑ ⏑
⏑⏑ ⏑⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑
– ⏑ – ⏑ – – ⏑ . . .

σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ὁμώ-
νυμε πάτερ, κτίστορ Αἴτνας·
νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶ-ται στρατῶν
ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·
ἀκλεὴς ἔβα τῶνδε . . .

Fr. 101 et 102. Strab. IX 412 sq. Ad Parthenia rettulit Boeckh II 595; verum inter hymnos referendum docet schol. Paus. IX 23 (Herm. 29, 149 et 246).

Fr. 102. Strabo l. l.

Fr. 105 A σύνες . . Αἴτνας schol. Pind. N. VII 1. P. II 127.

Fr. 105 B schol. Aristoph. Av. 938.

106 [73].

⏖ –́⏑ ⏑ – ⏑ – ⏑ – ⏓
⏖ –́ ⏑ ⏖ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ –⏑ ⏑ – – ⏑ –
–́ ⏑ – ⏑ – ⏑ –
⏖́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ –⏑ ⏑ – –́⏑ ⏑ – –
⏖́ ⏑ – ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – –

Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν
ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἑρπετόν.
Σκύριαι δ' ἐς ἄμελ-ξιν γλάγους
αἶγες ἐξοχώταται.
ὅπλα δ' ἀπ' Ἄργεος, ἅρμα Θη-βαῖον, ἀλλ' ἀπὸ τᾶς ἀγλαοκάρπου
Σικελίας ὄχημα δαιδάλεον ματεύειν.

107 [74].

ΕΙΣ ΗΛΙΟΝ ΕΚΛΕΙΠΟΝΤΑ.

–́ ⏒ –⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ – –́ ⏑ – ⏑ – ||
–́⏑ ⏑ – ⏖́ ⏑ – ⏑ – –́⏑ ⏑ ⏓
⏑ –́⏑ ⏑ –⏑ ⏑ – –
–́ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓ ||
⏑ –́⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ –
⏑ –́ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓ ||
–́⏑ ⏑ –⏑ ⏑ – –́⏑ ⏑ –⏑ ⏑ – –
⏑ –́⏑ ⏑ – –́ ⏑ – ⏑ – – –
– –́⏑ ⏑ – ⏒ – ⏑ ⏓ ||
⏖ –́ ⏒ –⏑ ⏑ – ⏑ ⏓
–́ ⏒ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓
⏑ –́⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ||
–́ ⏒ –⏑ ⏑ – ⏑ – ⏑ ⏓
–́⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓
⏖ –́⏑ ⏑ –⏑ ⏑ ⏓ ||
–́ – –̇ ⏑ – – –̇ ⏑ – –
– –́ ⏖ – – –̇ ⏑ ⏓ ||
⏖ –́⏑ ⏑ – ⏖́ ⏑ – –́⏑ ⏑ – ⏑ – ||

Fr. 106. Athen. I 28 A.

Ἀκτὶς Ἀελίου, τί πολύσκοπε μήσεαι, ὦ - μᾶτερ ὀμμάτων;
ἄστρον ὑπέρ-τατον ἐν ἁμέρᾳ - κλεπτόμενον,
ἔθηκας ἀμάχανον ἰσχὺν
πτανὸν ἀνδράσι καὶ σοφίας ὁδόν·
ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα
ἐλαύνεις τί νεώτερον ἢ πάρος;
ἀλλά σε πρὸς Διὸς ἵπ-πους ζαθόας ἱκετεύω
ἀπήμον' ἐς οἶ-μον τινὰ τράποις Θήβαις,
ὦ πότνια, πάγκοινον τέρας.
πολέμου δ' εἰ σᾶμα φέρεις τινός,
ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος
ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,
ἢ πόντου κενέωσιν ἀμ πέδον,
ἢ παγετὸν χθονός, ἢ νότιον θέρος
ὕδατι ζακότῳ διερόν,
ἢ γαῖαν κατακλύσαισα θήσεις
ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,
ὀλοφύρομαι οὐ-δέν, ὅτι πάν-των μέτα πείσομαι.

108 [75].

⏑ –́ ⏑ – –́ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ – –́ ⏑ –
⏑ –́ ⏑ ⏑⏑ –́ ⏑ –
⏑ –́ – ⏑ –́ ⏑⏑ ⏒

Θεοῦ δὲ δείξαντος ἀρχάν,
ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ
κέλευθος ἀρετὰν ἑλεῖν,
τελευταί τε καλλίονες.

109 [228].

⏑ – –́ ⏑ –   –́ ⏑ – ⏑ –́ ⏑ –
⏑ – –́ ⏑ –⏑ ⏑ –́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ –   –́ ⏑ ⏒

Fr. 107. Dionys. de adm. vi dic. Demosth. 7.
Fr. 108. Socrat. epist. 1, 7.

⏖ ⏑ –⏑ ⏑ – ⏖ ⏑ ⏖ ⏑ –
⏑ ⏑ – ⏑ – ⏓
– ⏑ –⏑ ⏑ ⏓

cf. Polyb. 4, 31

Τὸ κοινόν τις ἀσ-τῶν ἐν εὐδίᾳ τιθεὶς
ἐρευνασάτω μεγαλάνορος Ἡσυχίας τὸ φαι-δρὸν φάος,
στάσιν ἀπὸ πραπίδων - ἐπίκοτον ἀνελών,
πενίας δότειραν,
ἐχθρὰν κουροτρόφον.

110 [76].

⏖ ⏑ – – ⏑ ⏖ – ⏑ – – ⏑ – ⏑ –
– –⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ – –

Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπει-ραμένων δέ τις
ταρβεῖ προσιόντα νιν - καρδίᾳ περισσῶς.

111 [77].

⏖ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓
– ⏑ – ⏑ –⏑ ⏑ – –
– ⏖ ⏑ – ⏑ – ⏑ – –
– –⏑ ⏑ – ⏑ – ⏑ – –
– –⏑ ⏑ – ⏑ – ⏑ – –

Ἐνέπισε κεκραμέν' ἐν αἵματι·
πολλὰ δ' ἕλκε' ἔμβαλε νωμῶν
τραχὺ ῥόπαλον, τέλος δ' ἀείραις
ἀνδρὸς στιβαρὰς σπάραξε πλευράς,
αἰὼν δὲ δι' ὀστέων ἐραίσθη.

112 [78].

⏑ – ⏑ – – ⏑ –⏑ ⏑ –

Λάκαινα μὲν παρθένων ἀγέλα.

Fr. 109. Stob. Flor. LVIII 9.
Fr. 110. Stob. Flor. L 3.
Fr. 111. Erotian p. 49 Klein.
Fr. 112. Athen. XIV 631 C.

116. 117 [82].

⏑ –́ – ⏑ ⏑́⏑ ⏑ – ⏑ –́ –

῾Ο Μοισαγέτας με καλεῖ χορεῦσαι.

῎Αγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.

VIII.

ΕΓΚΩΜΙΑ.

ΘΗΡΩΝΙ.

118 [83].

–́ ⏑ – – –́ ⏑ – – –́ . . .

Βούλομαι παίδεσσιν ῾Ελλάνων

119 [84].

–́ ⏑⏑ – ⏑⏑ – ⏓
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –

᾿Εν δὲ ῾Ρόδον κατένασθεν·
ἔνθεν δ᾿ ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,
πλεῖστα μὲν δῶρ᾿ ἀθανάτοις ἀνέχοντες,
ἕσπετο δ᾿ ἀενάου πλούτου νέφος.

ΑΛΕΞΑΝΔΡΩι.

120 [85].

–́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑⏑ – ⏑⏑ – –

᾿Ολβίων ὁμώνυμε Δαρδανιδᾶν,
παῖ θρασύμηδες ᾿Αμύντα.

Fr. 116 et 117. Hephaest. p. 78 G. sine poetae nomine.
Fr. 118. Schol. Pind. O. II 16.
Fr. 119. Schol. Pind. O. II 16.
Fr. 120. Schol. Pind. Nem. VII 1 et Dio Chrys. or. II 33.

121 [86].

. . ⏑ – – –́ ⏑ – – –́ [⏖ – ⏖] – – – –́ ⏑ – –
–́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏖ – ⏑ . . .

Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι . . . καλλίσταις
ἀοιδαῖς.
τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον·
ῥηθὲν σθένει, θνᾴσκει δὲ σιγαθὲν καλὸν ἔργον.

IX.

ΣΚΟΛΙΑ.

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι.

122 [87].

⏑ –́ ⏑ – ⏓ –́ ⏖ – ⏖ ⏓
– –́ ⏑ ⏖ – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏖ – –́ ⏑ – –
–́ ⏑ – ⏓ –́ ⏖ – ⏖ – – –́ ⏖ – ⏖ –
⏑ –́ ⏑ – – –́ ⏑ – –

Πολύξεναι νεάνιδες, ἀμφίπολοι Στρ. α'.
Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,
αἵτε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη
θυμιᾶτε, πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι
νόημα ποττὰν Ἀφροδίταν.

ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν, Στρ. β'.
ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς

Fr. 121. Dionys. de adm. vi dic. Demosth. 26.

Fr. 122. Athen. XIII 573 F: Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς αὐτὸν (scil. Ξενοφῶντα τὸν Κορίνθιον) ἐγκώμιον, οὗ ἡ ἀρχή· τρισολυμπιονίκαν ἐπαινέων οἶκον (O. XIII), ὕστερον δὲ καὶ σκόλιον τὸ παρὰ τὴν θυσίαν ᾀσθέν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας, αἳ παραγενομένου τοῦ Ξενοφῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν, διόπερ ἔφη· Ὦ Κύπρου κτλ.

μαλθακᾶς ὥρας ἀπὸ καρ-πὸν δρέπεσθαι·
σὺν δ' ἀνάγκᾳ πᾶν καλόν. . . . .

. . . .

. . . . Στρ. γ'.

. . . .

Ἀλλὰ θαυμάζω, τί με λε-ξοῦντι Ἰσθμοῦ
δεσπόται, τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου
ξυνάορον ξυναῖς γυναιξίν.

Διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ. Στρ. δ'.

. . . .

Ὦ Κύπρου δέσποινα, τεὸν - δεῦτ' ἐς ἄλσος
φορβάδων κουρᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις
ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.

ΘΕΟΞΕΝΩι ΤΕΝΕΔΙΩι.

123 [88].

Strophae.

– –́ ⏔ – ⏔ –   –́ ⏑ – – –́ ⏔ – ⏔ ⏒
–́ ⏔ – ⏔ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏔ – ⏔ – ⏒
–́ ⏑ –   –́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ –

Epodus.

– –́ ⏑ – – –́ ⏔ – ⏔ – – –́ ⏔ – ⏔ – –
–́ ⏔ – ⏔ – – –́ ⏑ – ⏒
–́ ⏔ – ⏔ – ⏒ – . . . .

Στρ.

Χρῆν μὲν κατὰ καιρὸν ἐρώ-των δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ·

Fr. 123. Athen. XIII 601 D.

τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας
δρακεὶς
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
ἢ σιδά-ρου κεχάλκευται μέλαιναν καρδίαν

'Αντ.

ψυχρᾷ φλογί, πρὸς δ' 'Αφροδί-τας ἀτιμασθεὶς ἑλικο-
βλεφάρου,
ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ θράσει
ψυχρὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.
ἀλλ' ἐγὼ - θεᾶς ἕκατι, κηρὸς ὣς δαχθεὶς ἕλᾳ

'Επ.

ἱρᾶν μελισσᾶν, τάκομαι, εὖτ' ἂν ἴδω παιδὸς νεόγυιον
ἐς ἥβαν.
ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἴαινεν
καὶ Χάρις υἱὸν 'Αγησίλᾱ.

ΘΡΑΣΥΒΟΥΛΩι ΑΚΡΑΓΑΝΤΙΝΩι.

124 A. B. [89. 94].

–́ ⏖ – ⏖ – ⏓ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – – ‖ –́ ⏑ – – –́ ⏖ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏖ – ⏖ –
– –́ ⏑ – ⏓ –́ ⏑ –

Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν,
τοῦτό τοι πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τε γλυκερὸν
καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν 'Αθαναίαισι
κέντρον,
δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον
καίπερ πεδ' ἄφθονον βοράν.

Fr. 124 A. Athen. xi 480 C; B Athen. xiv 641 B.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩι.

125 [91].

⁝– ⏑ – – ⁝– ⏖ – ⏖ – ⏓
⁝– ⏑ – – ∸ ⏑ – –
⁝– ⏑ – – ∸ ⏑ – – ⁝– ⏑ – – ∸ ⏑ ⏓

Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν
πρῶτος, ἐν δείπνοισι Λυδῶν
ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος.

126 [92].

⁝– ⏑ – – ∸ ⏑ – ⏓ ⁝– ⏖ –
– ⁝– ⏑ – ⏓ ∸ ⏑ – –

Μηδ' ἀμαύρου τέρψιν ἐν βίῳ· πολύ τοι
φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.

127 [236].

– ⁝– ⏖ – ⏖ ∸ ⏖ – – ⁝– ⏖ – ⏓
– ⁝– ⏖ – ⏖ – ⏑ ∸ ⏑ – ⏑ ∸ ⏓

Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν.
μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.

128 [90].

. . . ⏖ – ⏖ ∸ ⏑ – ⏑ ∸ –
∸ ⏑ – ⁝– ⏑̄ – ⏖ ∸ ⏖ – ⏑ ∸ –
⁝– ⏑ – . . . .

Χάριτάς τ' Ἀφροδισίων ἐρώτων,
ὄφρα σὺν Χειμάρῳ μεθύων Ἀγάθωνί τε βάλλω
κότταβον.

Fr. 125. Athen. XIV 635 D.
Fr. 126. Athen. XII 512 D.
Fr. 127. Athen. XIII 601 C.
Fr. 128. Athen. X 427 D.

X.

ΘΡΗΝΟΙ.

129. 130 [95].

–́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏖ – ⏖ –
– –́ ⏖ – ⏖ – – –́ ⏖ – ⏖ – –
–́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏑ – ⏓ ||
– –́ ⏑ – – –́ ⏖ – ⏓ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – ⏓ –́ ⏑ – ⏓ ||
– –́ ⏖ – ⏖ – – –́ ⏑ ⏓
– –́ ⏖ – – –́ ⏖ – ⏖ – – –́ ⏖ – ⏖ – – ||

Στρ.

Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω,
φοινικορόδοις τ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός.
καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,
τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐαν-
θὴς ἅπας τέθαλεν ὄλβος·
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ
βωμοῖς.

* * *

Ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον *Ἀντιστρ.*
βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί . . . .

131 [96].

–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏖ – ⏖ – ⏓ –́ ⏑ –
– – ⏖ – ⏖ – –́ ⏑ – – –́ ⏖ – ⏖ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ – – –́ ⏖ – ⏖ ⏓

Fr. 129. Plut. cons. ad Apoll. 35.
Fr. 131. Plut. cons. ad Apoll. 35.

Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον μετανίσσονται τελευτάν.
καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,
ζωὸν δ' ἔτι λείπεται αἰ-ῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον
ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις
δείκνυσι τερ-πνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.

132 [97].

Ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι γαίᾳ ποτῶνται
ἐν ἄλγεσι φονίοις ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν,
εὐσεβέων δ' ἐπουράνιοι ναίουσαι
μολπαῖς μάκαρα μέγαν ἀείδουσιν ἐν ὕμνοις.

133 [98].

–́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏖ – ⏖ – ⏓ –́ ⏑ – – –́ ⏖ – ⏖ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏖ – ⏖ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏖ – ⏖ – –́ ⏑ – – –́ ⏑ – –

Οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος
δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ϝέτεϊ
ἀνδιδοῖ ψυχὰς πάλιν·
ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι
ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται.

134 [99].

. . . – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

Fr. 132. Clem. Alex. Strom. IV 640. Fragmentum spurium.
Fr. 133. Plat. Men. 81 B.

εὐδαιμόνων
δραπέτας οὐκ ἔστιν ὄλβος.

135 [100].

– ⏑ – – – ⏑ – – – ⏑ – – – ⏑ – –

Πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη.

136 [101].

– ⏑⏑ – ⏑⏑ – – – ⏑⏑ – –

ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου.

137 [102].

– ⏑⏑ – ⏑⏑ – – – ⏑ – ⏓ – ⏑ – ⏓ – ⏑ – –
– – ⏑⏑ – ⏑⏑ – –

Ὄλβιος ὅστις ἰδὼν κεῖν' εἶσ' ὑπὸ χθόν'· οἶδε μὲν βίου τελευτάν,
οἶδεν δὲ διόσδοτον ἀρχάν.

139.

– ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ – –
– ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ – – – ⏑⏑ ⏓
– ⏑ – – – ⏑⏑ – ⏑⏑ – – ⏑ – ⏓ – ⏑ –
– ⏑ – – – ⏑⏑ – ⏑⏑ –
– ⏑ – ⏓ – ⏑⏑ – ⏑⏑ – –
– ⏑⏑ – ⏑⏑ – ⏓ – ⏑⏑ – ⏑⏑ ⏓
. . . . . – – – ⏑ ⏓
– ⏑ – – – ⏑ – ⏓ – ⏑⏑ – ⏑⏑ –
– – ⏑ – – – ⏑ ⏓
– ⏑ – – – ⏑ – – – ⏑ ⏓

Fr. 134. Stob. Flor. 103, 6.
Fr. 135. Schol. Pind. O. I 127.
Fr. 136. Aristid. I 130 Dind.
Fr. 137. Clem. Alex. Strom. III 518: ἀλλὰ καὶ Πίνδαρος περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων λέγων ἐπιφέρει· ὄλβιος κτλ.
Fr. 139. Schol. Eur. Rhes. 892 in loco evanido.

Ἔντι μὲν χρυσαλακάτου τεκέων [Λατοῦ]ς ἀοιδαὶ
ὥριαι παιανίδες· ἔντι [δ' ἄρ' ἀν]τέλλοντος εὔκισσ[ον στέφα]νον
ἐκ Διω[νύσου μεταμ]αιόμεναι· ταὶ δὲ κοί[μισ]αν τορὸν
[κᾶδος υἱῶν σώματ'] ἀποφθιμένων·
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὑμνεῖ,
ἁ δ' Ὑμέναιον, ὃν ἐν γάμοισι χροϊζόμενον
. . . . . συμ πρωτον λάβεν
ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ὠμοβόρῳ
νούσῳ πεδαθέντα σθένος,
υἱὸν Οἰάγρου τε χρυσάορ' Ὀρφέα.

XI.

ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

140 [104].

⏖ ⏑ ⏖ ⏑ ⏓

Τί θεός; ὅ τι τὸ πᾶν.

141 [105].

⏑ ⏖ ⏑ – ⏑ – – ⏑ –
– ⏖ ⏑ – – ⏑ – –

Θεὸς ὁ τὰ ⟨τερπνὰ⟩ πάντα τεύ-χων βροτοῖς
καὶ χάριν ἀοιδᾷ φυτεύει.

142 [106].

⏑ – ⏑ ⏖ ⏑ – ⏑ – –
– ⏖ ⏑ – ⏑ – – ⏑ ⏓
⏑ – ⏑ –⏑ ⏑ – ⏑ – –
⏖ ⏑ – ⏑ – ⏑ ⏓

Fr. 140. Clem. Al. Strom. v 726.
Fr. 141. Clem. Al. Strom. v 726.
Fr. 142. Clem. Al. Strom. v 708

Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας
νυκτὸς ἀμίαντον ὄρ-σαι φάος,
κελαινεφεῖ δὲ σκότει καλύψαι
καθαρὸν ἁμέρας σέλας.

143 [106].

⏓ ⏒ –⏑ ⏑ –⏑ ⏑ – ⏑ –
⏑ ⏓ ⏑ – – ⏖ ⏑ –
– ⏓ ⏑ – ⏑ ⏖ ⏑ – ⏒

Κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι
πόνων τ' ἄπειροι, βαρυβόαν
πορθμὸν πεφευγότες Ἀχέροντος.

144 [108].

⏖ ⏑ – ⏒ ⏓ ⏑ –

Ἐλασίβροντα παῖ Ῥέας.

145 [109].

Θεὸς ἅτε πλέον τι λαχών.

146 [112].

. . . – ⏑ – ⏑ –⏑ ⏑ – –
– ⏓ ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – –
⏓ ⏑ –

Πῦρ πνέοντος ἅ τε κεραυνοῦ
ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς
ἵζεαι.

147 [114].

⏓ ⏑ – ⏑ ⏖ ⏑ – –

Ἐν χρόνῳ δ' ἐγένετ' Ἀπόλλων.

Fr. 143. Plut. de superst. 6.
Fr. 144. Schol. Aristoph. Eq. 624.
Fr. 145. Aristid. I 11 Dind.
Fr. 146. Schol. Hom. Ω 100.
Fr. 147. Clem. Alex. Strom. I 383.

148 [115].

–́ ⏓ –⏑ ⏑ – ⏑ – –
–́⏑ ⏑ – ⏑ – –

Ὀρχήστ' ἀγλαΐας ἀνάσσων,
εὐρυφάρετρ' Ἄπολλον.

149 [116].

⏑ –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –

Κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν.

150 [118].

– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –

Μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ.

151 [119].

Μοῖσ' ἀνέηκέ με.

152 [266].

. . . . . . ⏑ –́ ⏑ – – –́ ⏑ –
⏑ –́ ⏑⏑ – ⏑⏑ – –

Μελισσοτεύκτων κηρίων
ἐμὰ γλυκερώτερος ὀμφά.

153 [125].

–́ ⏓ –⏑ ⏑ –
⏑⏑ –́ –⏑ ⏑ –́ –
–́ ⏑ – –́ ⏑ –⏑ ⏑ –́ –

Δενδρέων δὲ νομὸν
Διόνυσος πολυγαθὴς
αὐξάνων - ἁγνὸν φέγγος ὀπώρας.

Fr. 148. Athen. I 22 B.
Fr. 149. Plut. adv. Epic. 22: ὁ δ' Ἀπόλλων κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν, ὡς ὁ Πίνδαρός φησιν.
Fr. 150. Eust. Il. 9, 44.
Fr. 151. Eust. Il. 9, 40.
Fr. 152. Cramer An. Ox. I 285, 19.
Fr. 153. Plut. de Isid. 35.

154 [126].

Ἐλαφρὰν κυπάρισσον φιλέειν,
ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.
ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς,
πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.

155 [127].

. . . ⏑ – – ⏑ –
–̣ ⏑ –⏑ ⏑ ∸ –
⏑⏑ –̣ ⏑ – ⏑ ∸ –
–̣ – ⏑ ∸⏑ ⏑ – ⏑ ∸ –
–̣ ⏓ –⏑ ⏑ . . .

τί δ' ἔρδων φίλος
σοί τε, καρτερόβροντα
Κρονίδα, φίλος δὲ Μοίσαις,
Εὐθυμίᾳ τε μέλων ἂν εἴην,
τοῦτ' αἴτημί σε.

156 [57].

–̣⏑ ⏑ –⏑ ⏑ ∸ ⏑ ⏒
–̣⏑ ⏑ – ⏑⏑̣ ⏑ – ⏑ ∸ ⏑ ⏒
⏑ – – – – –

Ὁ ζαμενὴς δ' ὁ χοροιτύπος,
ὃν Μαλεά-γονος ἔθρεψε Ναΐδος
ἀκοίτας Σιληνός.

157 [128].

–̣ ⏑ – ⏑ ∸⏑ ⏑ –⏑ ⏑ ∸ –
–̣⏑ ⏑ –⏑ ⏑ ∸ ⏓ –

Ὦ τάλας ἐφάμερε, νήπια βάζεις
χρήματά μοι διακομπεύων.

Fr. 154. Plut. de exil. 9.
Fr. 155. Athen. v 191 F — ὅ τι coni. Bergk
Fr. 156. Paus. III 25, 2.
Fr. 157. Schol. Aristoph. Nub. 223.

158 [129].

–́ ◡◡ – ◡◡ – – –́ ◡ – . .

Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.

159 [132].

– –́ ◡ – –́ ◡ – – –́ ◡ – –

Ἀνδρῶν δικαί-ων χρόνος σωτὴρ ἄριστος.

160.

Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.

161.

Οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται.

162.

. . . . . . – – –́ ◡ –
–́ ◡◡ – ◡◡ – –

Πιτνάντες θοὰν
Κλίμακ' ἐς οὐρανὸν αἰπύν.

163 [137].

– –́◡ ◡ – ◡ – –́ ◡ – –́ ◡ –◡ ◡ – –

Ἀλλαλοφόνους ἐπάξ-αντο λόγ-χας ἐνὶ σφίσιν αὐτοῖς.

164 [142].

Φιλόμαχον γένος ἐκ Περσέος.

Fr. 158. Schol. Pind. P. IV 104.
Fr. 159. Dionys. Halic. de orat. ant. 2.
Fr. 160. Stob. Flor. 126, 2.
Fr. 161. Suidas v. *κατωκάρα*. Schol. Aristoph. Pac. 153. De Cercopibus interpretatur Bergk, de Titanibus Boeckh.
Fr. 162. Cramer An. Ox. I 201, 14: *Πίνδαρος ἐπὶ τοῦ Ὤτου καὶ Ἐφιάλτου· πίτνοντες κτλ.*
Fr. 163. Apoll. Dysc. de synt. II 179 Bekk., de iisdem Oto et Ephialto.
Fr. 164. Athen. IV 154 F.

165 [146].

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.

166 [147].

–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑ – – –́ ⏑ . . . .

Ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου,
ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν
ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων
πίνοντες ἐπλάζοντο.

167 [148].

. . . . . ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ –

ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς
οἴχεται Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.

168 [150].

. . . . – ⏑⏑ –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏒
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ –
–́ ⏑⏑ – – –́ ⏑ – –́ ⏑ ⏒
–́ ⏑⏑ – ⏑⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ –

Fr. 165. Plut. Amator. 15, de def. orac. 11. Schol. Apoll. Rhod. II 477. Et. M. 75, 44. De nymphis Dryadibus poeta loquitur; cf. fr. 153. 252.

Fr. 166. Athen. XI 476 B (Eust. Il. 916, 39): *Πίνδαρος μὲν ἐπὶ τῶν Κενταύρων λέγων· ἀνδροδ. κτλ.*; respicit Hor. C. I 18, 8. IV 2, 15.

Fr. 167. Schol. Apoll. Rhod. I 57.

Fr. 168. Athen. X 411 C.

Δοιὰ βοῶν
θερμὰ δ' ἐς ἀνθρακιὰν στέψαν, πυρὶ δ' ἐν πόλεον
σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν
ἄιον ἠδ' ὀστέων στεναγ-μὸν βαρύν·
ἦν διακρῖναι ἰδόντα πολλὸς ἐν καιρῷ χρόνος.

169 [151].

⏔ ⏑ –   –́⏑ ⏑ –
–́   –⏑ ⏑ –́⏑ ⏑ –
⏑ –́ ⏑ –   –́⏑ ⏑ –⏑ ⏑ ⏓
⏑ –́ ⏑ –   –́ ⏑ –   –́ ⏑ –
– –́ ⏑ – ⏑ ⏔́ ⏑ –   –́⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏑ –́⏑ ⏑ – – –́ ⏑ ⏓
⏑ –́   –   –́⏑ ⏑ –⏑ ⏑ –́⏑ ⏑ ⏓

Νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων
ἄγει δικαι-ῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί. τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος· ἐπεὶ - Γηρυόνα βόας
Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἔλασεν.

170 [154].

–́ ⏔ – ⏔ ⏓

Πάντα θύειν ἑκατόν.

171 [157].

. . . . . . ⏔ – ⏔ –́ ⏔ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

Fr. 169. Plato Gorg. 484 B. Ultimos versus integros servavit schol. Aristid. III 408 Dind.

Fr. 170. Strab. III 155 de Lusitanis.

Fr. 171. Porphyr. in schol. Il. *K* 252 de Hercule Neleum eiusque filios occidente.

Κατὰ μὲν φίλα τέκν' ἔπεφνεν
θάλλοντας ἥβᾳ δυώδεκ', αὐτὸν δὲ τρίτον.

172 [258].

– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ –

Οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψεν μυρίοις;
πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πεδίον
καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν, καὶ τὸν Ἰάσονος εὔδοξον πλόον
ἐκτελέσσαις εἷλε Μή-δειαν ἐν Κόλχων δόμοις.

173 [610].

Σύριον εὐρυαίχμαν διεῖπον στρατόν.

174. 175. 176 [169. 161. 162].

Paus. VII 2, 7: *πολλῷ δὲ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν· οὐ μὴν πάντα γε τὰ εἰς τὴν θεὸν ἐπύθετο, ἐμοὶ δοκεῖν, Πίνδαρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα* — Idem I 2, 1: *ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος· ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι* — Plut. vit. Thes. 28: *τῆς δὲ Ἀντιόπης ἀποθανούσης ἔγημε (Θησεύς) Φαίδραν, ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης, ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα.*

Fr. 172. Schol. Eur. Androm. 796: *λέγει δὲ Πίνδαρος· οὐ* (*Πίνδαρος οὕτω·* Cobet probabiliter) *κτλ.*

Fr. 173. Strabo XII 544: *καὶ Πίνδαρός φησιν ὅτι αἱ Ἀμαζόνες Σύριον . . στρατόν, τὴν ἐν Θεμισκύρᾳ κατοικίαν οὕτω δηλῶν.*

177 [164—168].

⏒ – ⏑ – ⏑ – ⏑ – – ⏑ – ⏑ –
– –⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ –

Πεπρωμέναν ἐθῆκε μοῖ-ραν μετατραπεῖν
Ἀνδροφθόρον, οὐδὲ σι-γᾷ κατερρύη.

⏑ – ⏑ – – ⏑ – – ⏑ – ⏑ –

Τρόχον μέλος, ταὶ δὲ Χεί-ρωνος ἐντολαί.

⏒ – ⏑ – ⏑ – || –⏑ ⏑ – ⏑ –

Αἴνιγμα παρθένου || ἐξ ἀγριᾶν γνάθων.

⏒ – ⏑ – – ⏑ – – ⏑ – ⏑ –

Ἐν δασκίοισιν πατὴρ - νηλεεῖ νόωι.

⏒ – ⏑ – ⏑ – || ⏒ – ⏑ – ⏑ ⏓

δ' οὐδὲν προσαιτέων || ἐφθεγξάμαν ἔπι

178 [169].

⏑ – ⏑ – – – ⏑ – – – ⏑⏑ ⏓

Νόμων ἀκούοντες θεόδματον κέλαδον.

179 [170].

Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνδημα.

180 [172].

– ⏑⏑ – ⏑⏑ – – – ⏑ – – – ⏑ ⏓
– ⏑⏑ – ⏑⏑ – – – ⏑ ⏓
– – ⏑⏑ – ⏑⏑ – – – ⏑ ⏓

Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀρχαῖον λόγον·
ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός,
κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.

Fr. 177. Priscian. de metr. Terent. p. 427 ed. Keil.
Fr. 178. Priscian. de metr. Terent. p. 428, 19 K.
Fr. 179. Schol. Pind. N. VII 116.
Fr. 180. Clem. Alex. Strom. I 345 — *ἀχρεῖον* coni. Boeckh.

181 [174].

. . . . ◡◡ – ⏓ –́ ◡◡ – ◡◡ – – –́ ◡ –

Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.

182 [175].

–́ ◡◡ – ◡◡ – – –́ ◡◡ – ◡◡ –
–́ ◡ – ⏓

Ὦ πόποι, οἷ᾽ ἀπατᾶται φροντὶς ἐπαμερίων
οὐκ ἰδυῖα.

183 [177].

–́ ◡◡ – ◡◡ – ◡́◡ ◡ – – –́ ◡ – –
–́ ◡◡ – ◡◡ – ◡́◡ ◡ – ⏓ – . . .

Ὃς Δολόπων ἄγαγε - θρασὺν ὅμιλον σφενδονᾶσαι,
ἱπποδάμων Δαναῶν - βέλεσι πρόσφορον.

184 [179].

◡ –́ ◡ ◡◡ ◡ –́ ◡ – ◡ –́ ⏓

Ὑπερμενὲς ἀκαμαντοχάρμαν Αἶαν.

185 [184].

◡́◡ ◡ – ◡ – –́ ◡ – ◡ ⏓

Ἔτι δὲ τειχέων - κακίει καπνός.

186 [185].

– –́ ◡ – – –́ ◡ – – –́ ◡ – –
–́ ◡◡ – ◡◡ – ⏓

Αὐτόν με πρώτιστα ξυνοικιστῆρα γαίας
ἔσδεξαι τεμενοῦχον.

Fr. 181. Schol. Pind. N. VII 89.
Fr. 182. Aristid. II 547 Dind.
Fr. 183. Strab. IX 431: *Πίνδαρος μνησθεὶς τοῦ Φοίνικος· ὅς κτλ.*
Fr. 184. Choerobosc. I 131, 33. 149, 8. II 382, 10 Hilg.
Fr. 185. Et. Gud. 321, 54. Cram. An. Par. IV 35, 24.
Fr. 186. Apoll. de synt. II 138.

187 [186].

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓

Ἥρωες αἰδοίαν ἐμίγνυντ᾽ ἀμφὶ τράπεζαν ἅμα.

188 [190].

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓

Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφωνίου ἀνδρός.

189 [197].

. . . . . –́ – ⏑⏑ ⏑́⏑ ⏑⏑ –́ – ⏑⏑ –́ – ⏑⏑ –́ ⏓

Τὰν δείματο τοὶ - μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.

190 [198.]

– –́ ⏑ – – –́ ⏑⏑ – . . .

Ἁ Μιδύλου δ᾽ αὐτῷ γενεά.

191 [201].

–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ –

Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.

192 [204].

Δελφοὶ θεμίστων [ὕμνων] μάντιες Ἀπολλωνίδαι.

193 [205].

. . . . –́ ⏑⏑ – ⏑⏑ – –

– –́ ⏑⏑ – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –́ ⏑ –

Fr. 187. Plut. Quaest. symp. II 10, 1.
Fr. 188. Strab. XIV p. 643.
Fr. 189. Schol. Aristoph. Vesp. 306 de Xerxe.
Fr. 190. Schol. Pind. P. VIII 53.
Fr. 191. Schol. Pind. P. II 127.
Fr. 192. Schol. Pind. P. IV 4.
Fr. 193. Vit. Pind. A.

Πενταετηρὶς ἑορτὰ
βουπομπός, ἐν ᾇ - πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ - σπαργάνοις.

194 [206].

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑⏑ –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς.
εἶα τειχίζωμεν ἤδη ποικίλων
κόσμον αὐδάεντα λόγων·
ὃς καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως
Θήβαν ἔτι μᾶλλον ἐπασκήσει θεῶν
καὶ κατ' ἀνθρώπων ἀγυιάς.

195 [207].

– –́⏑ ⏑ –⏑ ⏑ –́⏑ ⏑ – ⏑́⏑ ⏑ – ⏑ –́ –

Εὐάρματε χρυσοχίτων, ἱερώ-τατον ἄγαλμα, Θήβα.

196 [209].

⏑⏑ –́ ⏑ – –́ ⏑ – ⏑ –

Λιπαρᾶν τε Θη-βᾶν μέγαν σκοπόν.

198.

– – –́ ⏑ ⏑
–́ ⏑⏑ – ⏑⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ . . .

Οὔτοι με ξένον
οὐδ' ἀδαήμονα Μοι-σᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι . .

Fr. 194. Aristid. II 509 Dind.
Fr. 195. Schol. Pind. P. IV 25. P. II inscr.
Fr. 196. Schol. Pind. P. II inscr.
Fr. 198. Chrysipp. *περὶ ἀποφατικῶν* c. 2, sine poetae nomine.

198 B. [211].

⏑⏑ –́ ⏑ – ⏑ ⏑⏑ ⏑ –
–́ ⏑̄ –⏑ ⏑ – ⏑ – –

Μελιγαθὲς ἀμβρόσιον ὕδωρ
Τιλφώσσας ἀπὸ καλλικράνου.

199 [213].

–́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –

Ἔνθα βου-λαὶ γερόντων καὶ νέων
ἀνδρῶν ἀριστεύοισιν αἰχμαί,
καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.

200 [214].

Οἵ τ' ἀργείλοφον παρ Ζεφύριον κολώναν.

201 [215].

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
⏑⏑́ ⏑ – ⏑̲ –́ ⏑ – – –́ . . . .

Αἰγυπτίαν Μένδητα, παρ κρημνὸν θαλάσσας,
ἔσχατον Νείλου κέρας, αἰγιβάται
ὅθι τράγοι γυναιξὶ μίσγονται.

202 [216].

. . . . . – – –́ ⏑ – – –́ ⏑ – –

Λευκίππων Μυκηναίων προφάτᾳ.

203 [217].

–́ – ⏑⏑ –́ – ⏑⏑ –́ ⏑ –
⏑⏑ –́ – ⏑⏑ –́ –

Fr. 198 B. Athen. II 41 E.
Fr. 199. Plut. vit. Lyc. 21 de Sparta.
Fr. 200. Schol. Pind. O. XI 17 de Locris Epizephyriis.
Fr. 201. Aristid. II 484 Dind.
Fr. 202. Schol. Pind. P. IV 206.

⏑ ⏒ – ⏖ ⏒ ⏑ –
⏖ ⏒ – ⏖ –
⏖ ⏑ – ⏑ ⏒ – ⏖ ⏒ ⏖ ⏑ –

Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι
νεκρὸν ἵππον στυγέοισιν
λόγῳ κείμενον ἐν φάει,
κρύφᾳ δὲ σκολίοις
γέννσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάν.

204 [218].

Καὶ λιπαρῷ Σμυρναίων ἄστεϊ.

205 [221].

– ⏒ ⏖ – ⏖ – – ⏒ ⏑ – ⏒ ⏑ – – ⏒ ⏑ –
⏒ ⏑ – – ⏒ ⏑ – – ⏒ . . . .

Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλά-
θεια, μὴ πταίσῃς ἐμὰν
σύνθεσιν τραχεῖ ποτὶ ψεύδει.

206 [222].

. . . . ⏖ – ⏖ – ⏓
⏒ ⏑ – ⏓ – . . . . .

Παρὰ Λύδιον ἅρμα
πεζὸς οἰχνεύων

207 [223].

⏒ ⏑ – – ⏒ ⏑ – – ⏖ ⏑ – – ⏒ ⏑ – – ⏒ ⏑ – –

Ταρτάρου πυθμὴν πιέζει σ' ἀφανέος σφυρηλάτοις
⟨δεσμοῖς⟩ ἀνάγκας.

Fr. 203. Zenobius v 59.
Fr. 204. Schol. Pind. P. II inscr.
Fr. 205. Stob. Flor. 11, 3.
Fr. 206. Plut. vit. Nic. 1.
Fr. 207. Plut. Cons. ad Apoll. 6.

208 [224].

⏑⏑ –́⏑ ⏑ – ⏑ –́⏑ ⏑ –
–́ –⏑ ⏑ –́ ⏑ –

Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμεναι
ῥιψαύχενι σὺν κλόνῳ.

209 [227].

. . . ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –

'Ατελῆ σοφίας καρπὸν δρέπειν.

211 [230].

. . . ⏑ – ⏑⏑ – – –́ ⏑⏑ –
–́ ⏑ . . .

Κακόφρονά τ' ἀμφάνῃ πραπίδων
καρπόν.

213 [232].

⏑⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏑̲
–́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – ⏑̲
⏑ –́ ⏑⏑ – ⏑⏑ – –
⏑⏑ –́ ⏑⏑ – ⏑ – ⏑ – –

Πότερον δίκᾳ - τεῖχος ὕψιον
ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει
ἐπιχθόνιον γένος ἀνδρῶν,
δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.

214 [233].

⏑ –́ ⏑ – –́ ⏑ –
⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏑̲
– –́ ⏑ – – . . .

Fr. 208. Plut. Quaest. symp. VII 5, 4. I 5, 2. De def. orac. 14.
Fr. 209. Stob. Flor. 80, 4. Apophthegma in vita Pind.
Fr. 211. Plut. de ser. num. vind. 19.
Fr. 213. Plat. de rep. II 363 B.
Fr. 214. Plat. de rep. I p. 331 A.

Γλυκεῖά ϝοι καρδίαν
ἀτάλλοισα γηροτρόφος ξυναορεῖ
ἐλπίς, ἃ μάλιστα θνα-τῶν πολύστροφον
γνώμαν κυβερνᾷ.

215 [152].

–̇ ⏑ – – –̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ –
⏑ –̇ ⏑ . . . .

Ἄλλο δ' ἄλλοισιν νόμιμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.

216 [235].

⏑ –̇ ⏑ – ⏒ –̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ – –

Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.

217 [237].

⏑̇⏑ ⏑ –⏑ ⏑ –̇ ⏑ – ⏑ –̇ ⏑ ⏒

Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.

218 A. B. [239].

–̇ ⏑ – – –̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ – –
–̇ ⏑ – – –̇ ⏑⏑ – –̇ ⏑ – – –̇ ⏑ – –
–̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ – –
–̇ ⏑ – – –̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ – ⏒
. . . – – –̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ – ⏒

Ἀνίκ' ἀνθρώπων καματωδέες οἴχονται μέριμναι
στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου
πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·
ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες . . .
. . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

Fr. 215. Cramer An. Par. III 154, 13.
Fr. 216. Plut. Cons. ad Apoll. 28.
Fr. 217. Clemens Al. Paed. III 295.
Fr. 218. Athen. XI 782 D.

219 [240].

Οἵ δ' ἄφνει πεποίθασιν.

220 [241].

. . . . –́ ⏑⏑ – ⏑⏑ – –
– –́ ⏑ – – –́ . . . – –́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ – ⏓

Τῶνδε γὰρ οὔτε τι μεμπτὸν
οὔτ' ὦν μεταλλακτόν, . . . ὅσσ' ἀγλαὰ χθὼν
πόντου τε ῥιπαὶ φέροισιν.

221 [242].

. . ⏑ – ⏑⏑ – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏖ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑⏑ – –́ ⏑ – – –́ . . .

Ἀελλοπόδων - μέν τιν' εὐφραίνοισιν ἵππων
τιμαὶ καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θαλάμοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον
ναΐ θοᾷ - σῶς διαστείβων.

222 [243].

. . . . ⏑ – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ . . .
. ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ –

Διὸς παῖς ὁ χρυσός·
κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει . . .
. . . βροτέαν φρένα κάρτιστον κτεάνων.

Fr. 219. Et. M. 178, 10.
Fr. 220. Plut. Quaest. symp. VII 5, 3.
Fr. 221. Sext. Emp. Pyrr. hyp. I 86. — 2. *τιμαὶ* codd., *τίμια* corr. Boeckh, *ἄνθεα* Bergk probabiliter.
Fr. 222. Schol. Pind. P. IV 408.

223 [244].

–́ ⏑ – – –́ ⏖ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏖ – ⏖ –
–́ ⏑ . . . – ⏖ – . . .

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι καὶ χρυσέων βελέων
ἐντὶ . . . τραυματίαι.

225 [247].

. . ⏖ ⏖ ⏑ – ⏑ – –
⏑ –́ ⏑ – –́⏑ ⏑ – –́⏑ ⏑ – ⏑̄

Ὁπότε θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πάρος μέλαιναν' κραδίαν ἐστυφέλιξεν. ' tristem, maestam

226 [248].

–́ ⏖ – ⏖ –́ ⏖ .

Οὔτις ἑκὼν κακὸν εὕρετο.

227 [250].

. . . . . ⏑ – ⏖ – – –́ ⏑ – – –́ ⏖ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏖ – ⏖ – – –́ ⏑ . . . . .

Νέων δὲ μέριμναι (σὺν πόνοις εἱλισσόμεναι)
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρα λαμπευθέντα.

228 [262].

Τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.

Fr. 223. Theodor. Metoch. 562.
Fr. 225. Schol. Pind. O. II 40.
Fr. 226. Aristid. II 547 Dind.
Fr. 227. Clem. Alex. Strom. IV p. 586.
Fr. 228. Plut. an sen. 1.

229 [253].

– –́ ⏑ – ⏑ –́⏑ ⏑ – ⏑ –́ ⏑ – –
–́ ⏑ – ⏑ –́⏑ ⏑ – –

Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται
οὐ φίλων ἐναντίον ἐλθεῖν.

231 [255].

– –́ ⏑ –⏑ ⏑ – –⏑ ⏑ – – ⏑ ⏑⏑ ⏑ – ⏑̄

Τόλμα τέ νιν ζαμενὴς - καὶ σύνεσις - πρόσκοπος ἐσάωσεν.

232 [256].

– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑ . . .

Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδαροῦν τεῖχος.

233 [257].

– –́ ⏑ – – –́ ⏑ . .

Πιστὸν δ' ἀπίστοις οὐδέν.

234 [258].

⏑ – ⏑⏑ – ⏑̲
–́ ⏑ – – –́ ⏑⏑ – –́ ⏑ – ⏑̲ –́ ⏑ – ⏑̲
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ . . . .

Ὑφ' ἅρμασιν ἵππος,
ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' - ἰθύει τάχιστα δελφίς·
κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν.

Fr. 229. Schol. Pind. O. VIII 92. P. IX 160.
Fr. 231. Schol. Pind. N. VII 87.
Fr. 232. Plut. vit. Marc. 29.
Fr 233. Clem. Alex. Paed. III 307; cf. O. I 32.
Fr. 234. Plut. de virt. mor. 12.

235 [259].

. . . . . ⏑⏑ – ⏒ –⏑ ⏑ – ⏑ ⏓
–́⏑ ⏑ –⏑ ⏑ – ⏒ –́⏑ ⏑ –́
⏒ –́ ⏑ – –́⏑ ⏑ – ⏑ ⏓

Ἐρεθίζομαι . . . ἁλίου δελφῖνος ὑπόκρισιν,
τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει
αὐλῶν ἐκί-νησ' ἐρατὸν μέλος.

236 [260].

⏑ –́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ –

φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.

237 [261].

. . . . . ⏑ – ⏑⏑ – –́ ⏑ – –
⏑ –́ ⏑ – – –́ ⏑ –

Ὄπισθε δὲ κεῖ-μαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων.

238 [262].

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ – –

Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων τε καὶ λεόντων.

239 [265].

⏑⏑ –́ ⏑ – – –⏑ ⏑ – ⏑ – –

Ἰάχει βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.

240 [269].

. . . . – – –́ ⏑ – –

Μὴ σιγᾷ βρεχέσθω.

Fr. 235. Plut. Quaest. symp. VII 5, 2.
Fr. 236. Schol. Od. κ 240.
Fr. 237. Aristid. II 509 Dind.
Fr. 238. Schol. Pind. P. II 31.
Fr. 239. Herodian de fig., Rhet. gr. Sp. III 100, 28.
Fr. 240. Schol. Pind. O. XI 58.

241 [280].

◡◡ ‒́◡ ◡ ‒ ◡ ‒́ ◡ ‒ ◡ ‒́ ◡ ‒

Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ.

256 [155].

Strab. III 170: *καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας, εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα.* Idem p. 172: *καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας.* Conf. N. III 22.

258 [163].

Paus. I 41, 5: *Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον* (*βουλόμενος* codd.), *ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.*

259 [176].

Schol. Townl. Il. *Π* 170 (Cram. An. Par. III 286, 27): *καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.*

262 [181].

Schol. B ad Hom. *K* 435: *ἱστορεῖ δὲ Πίνδαρος, ὅτι καὶ μίαν ἡμέραν πολεμήσας* (*Ῥῆσος*) *πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά, κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ.*

264 [189].

Ps. Plut. vit. Hom. II 2: *Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον.* Vit. Hom. v. West.: *τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος* (scil. *Ὅμηρος*); conf. fr. 204.

Fr. 241. Athen. VI 248 C.

Contra Vit. Hom. VI: *Ἀναξιμένης καὶ Δαμάστης καὶ Πίνδαρος Χῖον τὸν Ὅμηρον ἀποφαίνονται καὶ Θεόκριτος*, unde hausit Tzetzes Exeg. Il. p. 7. Bergkius huc traxit fr. 204, quod si recte fecit, etiam magis augetur fides prioris sententiae.

265 [189].

Aelian Var. hist. IX 15: *λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν (Ὅμηρος) ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια, καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.*

279 [249].

Liban. I 432 R.: *πρὸς γὰρ τῷ τὰ* δεύτερα *τῶν* προτέρων πεφυκέναι κρατεῖν, *ὡς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει.*

283 [111].

Photius Lex. et Suidas v. *Ἥρας δεσμούς· παρὰ Πινδάρῳ Ἥρα ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ.*

289 [234].

Stob. Flor. CXI 12: *Πινδάρου· Πίνδαρος εἶπε τὰς* ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια· respicit Plut. Erot. 16: *καὶ οὐχί, ὥς τις εἶπεν, αἱ ποιητικαὶ φαντασίαι διὰ τὴν ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν.* Simile dictum Platoni tribuit Aelian V. H. XIII 29, Aristoteli Diog. Laert. V 18.

292 [226].

Plato Theaet. 173 E: *ἡ δὲ διάνοια . . . . πανταχῇ* φέρεται *(πέτεται v. l.) κατὰ Πίνδαρον, τά* τε γᾶς ὑπένερθε *καὶ τὰ ἐπίπεδα γεωμετροῦσα,* οὐρανοῦ τε ὕπερ *ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη.*

306.

Schol. Townl. ad Il. *Φ* 22: *καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ κήτους.* Idem fragm. sine nomine poetae Choerob. I 383, 6 H.

316. 317 [182. 183].

Eust. ad Il. p. 877, 55: *εἶτά φησιν (Ἀριστοφάνης Βυζ.) ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν.*

325 [285].

Et. M. 504, 3: *κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα, ὥς φησι Πίνδαρος· Ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια.* Cf. Eust., Prol. Pind. cv 15. Pindari verba repetiit Aristoph. Nub. 597.

326 [220].

Galen. de puls. diff. VIII 681: *Πίνδαρος ἤ τις ἦ· Ὠκεανοῦ τὰ πέταλα, τὰς κρήνας λέγων.*

VITA PINDARI.

A.

EX SCHOLIIS AMBROSIANIS EXCERPTA.

Πίνδαρος ὁ ποιητὴς Θηβαῖος ἦν ἐκ Κυνοκεφάλων (κώμη δέ ἐστι Θηβαϊκή), υἱὸς δὲ Δαϊφάντου, κατὰ δ' ἐνίους Παγώνδα· ἔνιοι δὲ Σκοπελίνου αὐτὸν γενεαλογοῦσι, τινὲς δὲ τὸν Σκοπελῖνον πάτρωον αὐτοῦ γενέσθαι καὶ αὐλητὴν ὄντα τὴν τέχνην διδάξαι· μητρὸς δὲ Κλεοδίκης· οἱ δὲ Κληδίκης γράφουσι. παῖδα δὲ ὄντα [ὁ Πίνδαρος, ὡς] Χαμαιλέων καὶ Ἴστρος φασὶ περὶ τὸν Ἑλικῶνα θηρῶντα αὐτὸν ὑπὸ πολλοῦ καμάτου εἰς ὕπνον κατενεχθῆναι, κοιμωμένου δὲ αὐτοῦ μέλισσαν τῷ στόματι προσκαθίσασαν κηρία ποιῆσαι. οἱ δέ φασιν ὅτι ὄναρ εἶδεν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες εἶναι αὐτοῦ τὸ στόμα, καὶ ἐπὶ ποιητικὴν ἐτράπη. διδάσκαλον δὲ αὐτοῦ Ἀθήνησιν οἱ μὲν Ἀγαθοκλέα, οἱ δὲ Ἀπολλόδωρον λέγουσιν, ὃν καὶ προϊστάμενον κυκλίων χορῶν ⟨ἀποδημοῦντα⟩ πιστεῦσαι τὴν διδασκαλίαν τῷ Πινδάρῳ παιδὶ ὄντι, τὸν δὲ εὖ διακοσμήσαντα διαβόητον γενέσθαι. ἔρεισμα δὲ τῆς Ἑλλάδος εἰπὼν Ἀθήνας ἐζημιώθη ὑπὸ Θηβαίων χιλίας δραχμάς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ

---

6. *παῖς δὲ ὢν* cod. — 9. cf. Dion. or. LXIV 23.

Ἀθηναῖοι. ἦν δὲ οὐ μόνον εὐφυὴς ποιητὴς ἀλλὰ καὶ ἄνθρωπος θεοφιλής. ὁ γοῦν Πὰν ὁ θεὸς ὤφθη μεταξὺ τοῦ Κιθαιρῶνος καὶ τοῦ Ἑλικῶνος ᾄδων παιᾶνα Πινδάρου· διὸ καὶ ᾆσμα ἐποίησεν εἰς τὸν θεόν, ἐν ᾧ χάριν ὁμολογεῖ τῆς τιμῆς αὐτῷ, οὗ ἡ ἀρχή· ὦ Πὰν Πὰν Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ. ἀλλὰ καὶ ἡ Δημήτηρ ὄναρ ἐπιστᾶσα αὐτῷ ἐμέμψατο, ὅτι μόνην τῶν θεῶν οὐχ ὕμνησεν· ὁ δὲ εἰς αὐτὴν ἐποίησε ποίημα, οὗ ἡ ἀρχή· Πότνια θεσμοφόρε χρυσάνιον. ἀλλὰ καὶ βωμὸν ἀμφοτέρων τῶν θεῶν πρὸ τῆς οἰκίας τῆς ἰδίας ἱδρύσατο. Παυσανίου δὲ τοῦ Λακεδαιμονίων βασιλέως ἐμπιπρῶντος τὰς Θήβας ἐπέγραψέ τις τῇ οἰκίᾳ ⟨Πινδάρου⟩· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε· καὶ οὕτως μόνη ἀπόρθητος ἔμεινεν· καὶ ἔστι τὸ νῦν ἐν Θήβαις πρυτανεῖον. ἀλλὰ καὶ ἐν Δελφοῖς ὁ προφήτης μέλλων κλείειν τὸν νεὼν κηρύσσει καθ' ἡμέραν. Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ. καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς αὐτός φησι· Πενταετηρὶς ἑορτὰ βουπομπὸς ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις. λέγεται δὲ θεωροῖς ἀπιοῦσιν εἰς Ἄμμωνος αἰτῆσαι Πίνδαρος τὸ ἐν ἀνθρώποις ἄριστον καὶ ἀποθανεῖν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου, ἧ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων. καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς † Κάδμου βασιλείας. ἀλλὰ καὶ ἀμφότεροι παρὰ Ἱέρωνι τῷ Συρακουσίων τυράννῳ γεγένηνται. γήμας δὲ Μεγάκλειαν τὴν Λυσιθέου καὶ

9. cf. Paus. IX 23, 3 — 13. Dion. or. II 33 — 17. cf. schol. P. III 137 — 28. cf. Aelian V. H. IV 15.

Καλλίνης ἔσχεν υἱὸν Δαΐφαντον, ᾧ καὶ δαφνηφορικὸν ᾆσμα ἔγραψεν, καὶ θυγατέρας δύο Πρωτομάχην καὶ Εὔμητιν. γέγραφε δὲ βιβλία ἑπτακαίδεκα· ὕμνους, παιᾶνας, διθυράμβων β΄, προσοδίων β΄, καὶ γ΄ ὃ ἐπιγράφεται κεχωρισμένων παρθενίων, ὑπορχημάτων β΄, ἐγκώμια, θρήνους, ἐπινίκων δ΄. φέρεται δὲ ἐπίγραμμα ἐπὶ τῇ τελευτῇ αὐτοῦ τόδε·

Ἦ μάλα Πρωτομάχα τε καὶ Εὔμητις λιγύφωνοι
Πινδάρου ἔκλαυσαν θυγατέρες πινυταί,
Ἄργοθεν ἦμος ἵκοντο κομίζουσ᾽ ἐνδόθι κρωσσοῦ
λείψαν᾽ ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

Πινδάρου ἀποφθέγματα.

Πίνδαρος ὁ μελοποιὸς ἐρωτηθεὶς ὑπό τινος, τί πρίονος ὀξύτερον, εἶπε, διαβολή.

Παραγενόμενος δὲ εἰς Δελφοὺς καὶ ἐρωτώμενος, τί πάρεστι θύσων τῷ Ἀπόλλωνι, εἶπε, παιᾶνα.

Ἐπερωτηθεὶς πάλιν, διὰ τί Σιμωνίδης πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐ θέλει, ὅτι βούλομαι, εἶπεν, ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

Ἐρωτηθεὶς δὲ διὰ τί τῷ εὖ πράττοντι τὴν θυγατέρα οὐ δίδωσιν, οὐ μόνον δεῖσθαι φησὶν εὖ πράττοντος, ἀλλὰ καὶ πράξοντος εὖ.

Ἐρωτηθεὶς πάλιν ὑπό τινος, διὰ τί μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται, εἶπεν· καὶ γὰρ οἱ ναυπηγοὶ πηδάλια κατασκευάζοντες κυβερνᾶν οὐκ ἐπίστανται.

---

12. cf. Stob. flor. 11, 3. 80, 4. 94, 22. 111, 12. 126, 2 — 15. cf. Philod. de mus. p. 89, 10 ed. Kemke — 20. *πράξαντος* Eust. vit. Pind.

Τοὺς φυσιολογοῦντας ἔφη ἀτελῆ σοφίας δρέπειν καρπόν.

B.

EX EUSTATHII VITA PINDARI EXCERPTA.

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδεϊ Θήβης
Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ
γείνατο, ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,
οὐκ οἶον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,
εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.
τὸν μέν, ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ
εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
τοπρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
ὅς ῥά ⟨τε⟩ οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
ἀλλὰ τὸ μὲν μετόπισθεν· ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
ἤια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠύκερως Πὰν
Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.
ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
τῷ δὲ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,

9. cf. Didym. ap. Lactant. Inst. div. I 22 et Pind. fr. 158.

ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων
τῶν πισύρων, μακάρων παιήονας, ἐν δέ τε θρήνους,
καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,
ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

C.

EX SUIDAE LEXICO EXCERPTA.

Πίνδαρος Θηβῶν, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές· ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου· τινὲς δὲ καὶ Παγωνίδου ἱστόρησαν αὐτόν· μαθητὴς δὲ Μυρτίδος γυναικός· γεγονὼς κατὰ τὴν ξε' ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Δαΐφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς· αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα, ἐτῶν νε'. ἔγραψε δὲ ἐν βιβλίοις ιζ' Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, <Νεμεονίκας, Ἰσθμιονίκας,> προσόδια, παρθένια, ἐνθρονισμούς, βακχικά, δαφνηφορικά, παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκόλια, ἐγκώμια, θρήνους, δράματα τραγικά [ιζ'], ἐπιγράμματα ἐπικά, καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.

---

11. *Παγώνδα* vulgo — 13. cf. Diodor XI 26.

ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν τοὺς ἄλλους ἀνδραποδίσαι· καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι ἀπαθεῖς ἐφύλαξεν αἰδοῖ τῇ Πινδάρου, ὥς φησιν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ ἀναβάσει Ἀλεξάνδρου [I 9].

---

1. cf. Plin. N. H. VII 29, 109.

FASTI PINDARICI.

522 a. Chr., Ol. 64, 3 Pindarum natum esse Boeckhius II 2, 13 comprobavit ex eo, quod Persicis poeta quadragesimum annum aetatis egisse a Suida traditur; tertio autem anno Olympiadis se natum poeta ipse dicit fr. 193.

518 a. Chr., Ol. 65, 3 *κατὰ Ὀλυμπιάδα ξε′* natum Pindarum perhibet Suidas, quod cum alii tum Wilamowitzius, Arist. u. Athen II 302, comprobant. Ego errorem Suidae ex falsa computatione grammatici, qui Pythiade 17 poetam natum esse in scholiis ad fr. 193 adnotatum invenerit, profectum esse suspicor.

502 (498)[1]) a. Chr., Pyth. 22 Hippocli Thessalo diaulo victori misit P. X.

494 (490) a. Chr., Pyth. 24 Thrasybulo Agrigentino victoriam Xenocratis Delphis partam gratulatur P. VI.

494 (490) a. Chr., Pyth. 24 Midae Agrigentino tibiis victori misit P. XII.

---

1) anni uncinis inclusi sunt computationis Bergkianae Pythiadum.

486 a. Chr., Pyth. 25 vel 26 Megacli Atheniensi scripsit P. VII.

484 a. Chr., Ol. 74, 1, aut potius 476 a. Chr., Ol. 76, 1 Agesidamo Locro Epizephyrio pugili scripsit O. XI et paulo post O. X.

481 a. Chr., Ol. 74, 4, vel 483 a. Chr. Pytheae Aeginetae pancratio victori scripsisse videtur N. V.

480 a. Chr. Phylacidae Aeginetae vere Isthmiis pancratio victori scripsisse videtur I. VI.

480 a. Chr. mense Boedromione pugna Salaminia commissa est, paulo ante Carthaginienses ad Himeram a Gelone et Therone victi sunt.

479 a. Chr., Ol. 75, 2 mense Septembri post pugnam Plataeensem Lacedaemonii et Athenienses duce Pausania Thebas oppugnant.

480/79 a. Chr. Pindarus *ἀκμάσαι κατὰ τὴν Ξέρξου στρατείαν ἐτῶν μ´* a Suida, Thoma Magistro, Diodoro XI 26 dicitur.

478 a. Chr., Ol. 75, 2 Cleandro Aeginetae verno tempore Isthmiis victori misit I. VIII.

478 a. Chr., Ol. 75, 2 montis Aetnae eruptionem factam esse marmor Parium tradit, quam eandem eruptionem anno 475 a. Chr. (Ol. 76, 1) assignavit Thucydides III 116, minus, opinor, accurate.

478 (474) a. Chr., Pyth. 28 Thrasydaeo Thebano stadio victori scripsit P. XI.

478 (474) a. Chr., Pyth. 28 Telisicrati Cyrenaeo armato cursu victori scripsit P. IX.

478/7 a. Chr., Ol. 75, 3 Hiero Geloni successit.

476 a. Chr. vere Isthmia, aestate anni 475 Nemea Me-

lissus Thebanus vicisse eique Pindarus scripsisse videtur I. III. IV.

476 a. Chr., Ol. 76, 1 Asopicho Orchomenio stadio victori scripsit O. XIV.

476 a. Chr., Ol. 76, 1 Theronem Agrigentinum curru Olympia vicisse et Pindarum O. II et III scripsisse pars melior scholiastarum et plerique interpretes, alii 472 a. Chr, statuunt.

476/5 a. Chr. Locris Epizephyriis ab infestis armis Anaxilai tyranni ope Hieronis liberatis Pindarus scripsisse videtur P. II et aliquanto post O. X. XI.

475 a. Chr. Hieroni aegrotanti ad victorias a. 482 et 486 reportatas celebrandas misisse videtur P. III.

474 aut 476 a. Chr. verno tempore Phylacida Isthmia pancratio vicisse et Pindarus carmen I. V scripsisse videtur.

474 a. Chr., Ol. 76, 2 post Eionem captam et Persas devictos Pindarum dithyrambum in laudem Athenarum panxisse vulgo statuunt.

474 a. Chr. in confinio, ut videtur, aestatis et auctumni Hiero Tuscos apud Cumam devicit.

474 (470) a. Chr., Pyth. 29 Hiero Aetnaeus Delphis curru vicit, quam victoriam poeta aliquot mensibus post in Sicilia praedicat P. I.

474/3—471/70 a. Chr. Pindarus in aula Hieronis commoratus esse videtur.

474/3 a. Chr. Chromio Aetnaeo Sicyone curru victori scripsisse videtur N. IX.

473 a. Chr., Ol. 76, 4, aut 471 a. Chr., Ol. 77, 2 Chromio Nemeis curru victori scripsit N. I.

472 a. Chr., Ol. 77, 1 Hieroni Syracusano celete victori scripsit O. I.

472 a. Chr., Ol. 77, 1 Ergoteli Himeraeo dolicho victori scripsit O. XII.

472/1 a. Chr., Ol. 77, 1 Theroni mortuo Thrasydaeus filius rex successit, sed brevi post ab Hierone fusus est.

470/69 a. Chr. vel paulo post Pindarus Syracusis redux Thrasybulo Xenocratis filio misisse videtur I. II.

469 a. Chr. Aristoclidae Aeginetae Nemeis victori scripsisse videtur N. III.

468 a. Chr., Ol. 78, 1 Agesiae Syracusano mulari rheda victori misit O. VI.

468 a. Chr., Ol. 78, 1 Hiero Olympia curru vicit, quam victoriam Bacchylides epinicio illustravit.

467/6 a. Chr., Ol. 78, 2 Hiero mortem obiit.

467 a. Chr., Ol. 78, 2 Sogeni Aeginetae Nemeis quinquertio victori misit N. VII.

466 (462) a. Chr., Pyth. 31 Arcesilaus Cyrenaeus Pythia curru vicit, quam ad victoriam illustrandam misit P. IV, praesens agendum curavit P. V.

465 a. Chr., Ol. 78, 4, vel Ol. 78, 2 vel Ol. 79, 2 Timasarcho Aeginetae lucta victori scripsisse videtur N. IV.

464 a. Chr., Ol. 79, 1 Xenophontem Corinthium stadio et pentathlo victorem praesens celebrandum curavit O. XIII; paulo post scolium (fr. 122) composuit.

464 a. Chr., Ol. 79, 1 Diagorae Rhodio pugilatu victori misit O. VII.

465 vel 461 a. Chr. Theaeo Argivo Hecatombeis victori scripsisse videtur N. X.

463 vel 465 a. Chr., Ol. 79, 2 vel 78, 4 Alcimidae Aeginetae lucta victori scripsisse videtur N. VI.

463 a. Chr., Ol. 79, 2 solem defecisse Eusebius tradit, quem ad defectum solis hyporchema Pindari (fr. 75) spectat; contra ad solis defectionem anno 478 mense Februario factam Hofmannus, progr. gymn. Tergest. 1889 refert.

461 vel 459 a. Chr., Ol. 79, 4 vel 80, 2 Dinidi Aeginetae cursu victori scripsisse videtur N. VIII.

460 a. Chr., Ol. 80, 1 Alcimedonti Aeginetae lucta victori scripsit O. VIII.

458 a. Chr. Athenienses Aeginetas eorumque socios ad Cecryphalas vincunt et Aeginam oppugnare parant.

458 a. Chr., Ol. 80, 2 scriptum esse videtur I. I.

457 a. Chr., Ol. 80, 4 auctumno Lacedaemonii et Boeoti Athenienses eorumque socios ad Tanagram vincunt.

457 a. Chr. exeunte, vel 456 ineunte, Ol. 80, 4 sexagesimo secundo die post pugnam ad Tanagram Thebani ad Oenophyta ab Atheniensibus devicti sunt.

456 a. Chr., Ol. 81, 1 Epharmosto Locro Opuntio lucta victori scripsit O. IX.

454 vel 456 a. Chr. Strepsiadae Thebano scripsisse videtur I. VII.

452 a. Chr., Ol. 82, 1 Psaumidi Camarinensi rheda mulari victori scripta sunt epinicia O. IV et V.

450 (446) a. Chr., Pyth. 35, si codicibus fides tribuenda est, Aristomenum Aeginetam lucta victorem Pindarus praedicavit P. VIII.

442 (438) a. Chr., Ol. 84, 3 mortem Pindarus obiit, si optimo testi, biographo metrico, poetam octogenarium decessisse testanti fidem habemus. Eustathio et Thomae Magistro Pindarum κατ' Ὀλυμπιάδα πϛ' i. e. inter 436 et 432 a. Chr. mortuum esse tradentibus Tycho Mommsenius, Pindaros p. 28 suum calculum adiecit.

INDEX

NOMINUM PROPRIORUM PINDARI.

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ ΛΟΓΟΙ.

QUINTI SMYRNAEI
POSTHOMERICORUM LIBRI XIV.

RECOGNOVIT

ET SELECTA LECTIONIS VARIETATE INSTRUXIT

ALBERTUS ZIMMERMANN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

ARTHURO LUDWICHIO

S. D. P.

EDITOR.

Horatianum illud praeceptum

'*si quid tamen olim*
scripseris, in Metii descendat iudicis aures
et patris et nostras, nonumque prematur in annum
membranis intus positis'

in hac Posthomericorum editione curanda a me observatum esse haud iniuria dixeris: hoc enim opus Te auctore ante hos novem annos incohatum, iterum saepiusque pertractatum, cuius rationem nuper eo libro, qui inscribitur '*Kritische Untersuchungen zu den Posthomerica des Quintus Smyrnaeus* (Leipzig, Teubner 1889)' iudicibus proposui, nunc demum in lucem edendum existimavi. neque frustra me huic suscepto tam diu operam navasse, sed bene de Quinto meritum esse iudiciis comprobatur, quibus illas Quaestiones criticas et Tu et alii viri doctissimi*) ornavistis. in

*) *A. Ludwich:* Berliner philolog. Wochenschrift 1890 Nr. 21 p. 660 sqq. — *O. Crusius:* Literar. Centralblatt für

quo quod uno excepto indulgentia atque benevolentia quam severitate uti maluistis, maximas vobis ago gratias, praesertim cum eodem uno excepto hoc et mihi gratissimum et rei propositae utilissimum feceritis, quod, quae neglexisse aut in quibus errasse vobis viderer, cum aequitate ostendistis. imprimis Tu, qua es scientia et sagacitate, nonnullas aliorum coniecturas, quae meam diligentiam fugerant, eruisti aliasque ipsius investigatione repertas adiunxisti. quas singulas cum perpenderim, liceat mihi, quid de iis sentiam, exponere et hac occasione data de aliis quibusdam locis disserere.

Ac primum quidem *Hilbergii* coniecturas ('Das Princip der Silbenwägung.' Wien 1879) videamus. sed priusquam ad eas, quarum Tu mentionem fecisti, aggrediar, me commemorare oportet recte illum (p. 41) productionem syllabarum, quae in brevem vocalem terminantur, in vocabulorum fine *ν* paragogico addito his locis sustulisse: in initio versuum I 201 *τάρβησεν Πριάμοιο*, II 600 *καρποῖσιν βρίθοντα*, VII 531 *πτώσσουσιν βροντήν*, VIII 422 *ἰοῖσιν κτείνοντο*, XIII 388 *ὥρμησεν κτανέειν*; duobus enim locis VIII 422 et XIII 388 in codice Parrhasiano scriptum est *ἰοῖσιν* et *ὥρμησεν*, sicut omnes codices excepto Parrhasiano omnesque editiones X 175 *εἵργουσιν προβλῆτες* exhibent, ubi ego antehac (Qu. cr. p. 7) errore *ν* removisse videor. item in medio versu V 278 recte, quod ille (p. 55) postulat, *ἔκτοσθεν στῆσας* in *P* scriptum legitur. contra ea deleto *ν* I 275 scribendum

Deutschland 1890 Nr. 29 p. 998 sq. — *O. Linsenbarth:* Wochenschrift für klass. Philologie 1890 Nr. 32/33 p. 881 sqq. — *A. Scheindler:* Deutsche Litteraturzeitung 1890 Nr. 49 p. 1800 sq.

est *κίε Τρώεσσι* (cf. V 395). dubitat ille (p. 93), an Quintus III 727 *μίγδην κταμένοισι* dederit, ubi antea (p. 124) *κταμένοισιν μίγδα* coniecerat, sed ipse concedit *μίγδα* vocem liberam, quam dicit, esse potuisse, neque *μίγδην* unquam in Quinti carmine occurrit. adversantur legi ab illo detectae soli loci II 327 *ὑψηλὰ φρονέων* et V 50 *καὶ τρηχὺ ζαθέης Ἀρετῆς ὄρος*, quae ei est causa coniciendi *ὑψηλοφρονέων* et *τρηχύ τε τῆς ζαθέης Ἀρετῆς ὄρος* (p. 93). ac priorem quidem coniecturam non plane repudiaverim, cum fieri potuerit, ut Quintus ad exemplum Homerici *ἀλλοφρονέων* (κ 334) suum *ὑψηλοφρονέων* ita accommodaret, ut hephthemimeres, quae vocatur, caesura versui esset.*) alteri autem coniecturae, si modo opus est talibus mutationibus in poeta, qui *Ὁμηρικώτατος* est non solum sermone, sed etiam rebus metricis, eam praetulerim, in quam nuper ipse incidi, *τρηχύτατόν τ' Ἀρετῆς ζαθέης ὄρος* (cf. versum praecedentem); sic enim articuli usus satis durus hic quidem evitatur. sed vereor, ne aliis locis articulo nimis diffisus sim (cf. Qu. cr. p. 138). nam etsi VII 483 lectio *Ὀδυσεύς τ' ἠδὲ σθεναρὸς Διομήδης* satis multis exemplis Homericis defendi potest (cf. Hilberg. p. 72 sq.), apud Quintum nunquam ultima syllaba particulae *ἠδέ* in arsi est, atque hoc ipsum ut nostro loco evitaret, scripsisse videtur *Ὀδυσεύς τε καὶ ὁ σθ. Δ.*, quam lectionem olim Rhodomanus ex Aldina *Ὀ. καὶ ὁ στ. Δ.*

---

*) cf. C. Lehrsii de hac caesura commentationem a me in Qu. cr. p. IV Nr. 4 et p. 36 laudatam, quam in eiusdem librum, qui est de Aristarchi studiis Homericis, ed. II p. 416 sqq. integram esse receptam antehac me fugerat.

coniecit, nunc Parrhasianus confirmat (cf. *K* 536 Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης). quae si vera est, pariter XII 315 scriptura omnium librorum σὺν δ' ὁ κρατερὸς Μενέλαος restituenda est (cf. κ 436 σὺν δ' ὁ θρασὺς εἴπετ' Ὀδυσσεύς, *B* 278 *K* 231 363 498); alii similes loci, ubi δ' ὁ substitui potest, in Quinti carmine non exstant, cum septuagies quater δέ productum inveniatur. simile autem est initium versus II 144 αὐτὰρ ὁ Λαομέδων, de quo nunc non iam licet dubitare (cf. ψ 306 hy. Ap. 201), quamquam spondeus est αὐτάρ X 84 (cf. *Ψ* 798 826 884). sed ad Hilbergii coniecturas redeo. quodsi ille (p. 110) II 151 εἴτε γὰρ εἴμ' ἐσθλός τε proposuit, multo promptior est emendatio εἴτε γὰρ ἐσθλὸς ἔτ' εἰμί atque ea aptissima, cum Memnon paulo ante de rebus a se in itinere gestis gloriatus sit. restat, quod ille (p. 166) coniecit, IX 374 δάμνατο· κοῖλαι ἴδεσκον ὑπ' ὀφρύσιν ἀνδρὸς ὀπωπαί. sed cum tale asyndeton apud Quintum ferri nequeat, nisi forte procedere velis ad mutationem δάμνατ'· ἔσαν δ' ἄρα κοῖλαι, statuendum est Quintum aut paululum dormitasse aut de industria hunc versum sic claudicantem finxisse, ut hominem gravi morbo confectum imitaretur (cf. Hilb. p. 164).

Lobeckium quoque (Pathol. elem. I p. 610) formam ἔκποθι, quam ego II 418 et IX 420 removendam iudicavi, respuisse bene me monuisti, neque tamen εἴ ποθι 'absolute positum pro εἴ που τύχοι ut *sicubi, si forte*', quod ille IX 420 coniecit, mihi probabile est, praesertim cum vocem ἔκποθε satis defendisse mihi videar. ex ceteris eiusdem coniecturis (Index lect. hib. Regimont. 1816) unam IV 362 ὀφθαλμοῖιν nihilo

magis probaverim, quoniam plagam uni oculo inflictam fuisse et ex versu 361 (*ἐς ὀφρύα τύψεν*) et ex eo elucet, quod Epeus pugna minime desistit, sed certissimo ictu ferit adversarium. alteram coniecturam IV 229 *ὑποπλίξας* cum G. Hermannus quoque invenisset, Koechlyus in suam editionem iam recepit. IV 171 *πάντες* etsi scribi potest satisque arridet, tamen necessitate quadam exigi non videtur, idemque cadit IV 440 in coniecturam *δρυὸς ἀκροκόμοιο*, cui quamvis respondeant *ἀκροκόμοι κλάδοι* Eur. Phoen. 1516 et *κυπάρισσοι* Theocr. 22, 41 et *πίτυς* Arch. 29 (VII 213), tamen vulgatam lectionem tuentur *ἀγρονόμος αὐλή* Soph. Ant. 786 et *ἀγρ. ὕλη* apud Oppianum (teste Passowio). denique quod VII 267 *ἀλέξουσιν* Lobeckius (Rhemat. p. 60) restitui iussit, forma *ἀλάλκουσιν* non magis est inaudita quam apud Apollon. Rhod. II 235 *ἀλαλκήσουσιν*.

Lehrsii nostri coniecturam (de Arist. stud. Hom.[2] p. 271) XI 85 *Μενίου* cur recipiam non habeo, sed quas ille librorum corruptelas ad accentus nominum propriorum pertinentes cognovit, eae sine dubio tollendae sunt: itaque scribendum II 228 *Θαλίου*, II 364 *Νυχίος*, VI 616 *Χρομίου*, VIII 242 *Φλογίος*, X 87 *Σχεδίου*, XI 85 *Μελίου*. ceterum X 88 nomen *Ἀμφίνομον*, quod ego defendi, a Lehrsio quoque (Arist.[2] p. 462) vindicatum est.

C. F. Hermanni commentationem, quam in Museo Rhenano me frustra quaesivisse dixeram (Qu. cr. p. IV), potius in Philologo X (1855) p. 234 inesse Tu in recensione et ante Te R. Klußmannus per litteras benigne me docuistis. qua commentatione adductus nunc

et VI 173 *εἰσορόωντες* (absolute positum sicut I 693 II 301 III 180 IV 256 IX 142 182 470 XII 442 477 XIV 463 546, cum accusativi pendeant ab *ἐθάμβεον*) et VI 174 *αὐτῶν* (sicut eandem vocem VIII 235 defendi) restituenda esse concedo. sed in v. 175 *ἥ ῥ' αἶξι μεταπρέπει ἠδὲ νομεῦσι* scribendum esse mihi vir ille doctissimus non magis quam Tibi persuadere potuit, quamquam et ipse identidem in vulgata lectione offendi.

Iam venio ad Tuas ipsius coniecturas. ac prima quidem I 487 *κίχε δεινή* vel *κίχεν αἰνή*, cuius mihi ipsi antehac in mentem venerat, dubito an non probari posit, quia haec adiectiva absolute posita exemplo carent; quare *κίχε κείνη*, quod ego conieceram, etiamnunc teneo. optime autem Tu et I 492 *πουλὺς**) *κέκλιτο στρατός* proposuisti et II 618 *οὐ γὰρ καὶ ἐμὸν φάος* defendisti et III 152 *μαιμώωντος* (cf. I 177 620 II 110 213 286 454 III 20 207 IV 85[a]? 241 [*μαιμαῶτες A*] 342 V 271 VI 194 217 460 VII 99 309 478 525 VIII 46 136 325 X 59 103 113 XI 72 301 475 XII 534 570 XIII 79 220 XIV 509) et VI 355 *δαϊκταμένων* commendavisti (cf. III 31 VII 161 710 XIII 101 et praeterea I 630 III 538 709 745 IV 29 V 289 315 VI 448 VII 147 155 XI 243; contra ea voce *δαϊζόμενος*, si excipias II 169 *ἵππων δαϊζομένων*, aliquem urgeri, non occidi vel occisum esse, significatur: I 92 II 90 VI 305 IX 17). I 563 post *ἦ μέγα* a Koechlyo lacunam recte statutam esse non iam nega-

*) Prima syllaba in thesi sicut VI 110 VII 197 IX 184; cf. Qu. cr. p. 100, ubi errore *Arsis* scripsi et emendationis XIII 15 factae mentionem non feci.

verim; ceterum, si errore librarii cuiusdam illa verba orta putes, non Tuum *ὣς ἔφαθ᾽· οἵ δ᾽*, sed meum *ὣς φάτο· τοὶ δ᾽* ad Quinti sermonem quadret (cf. I 220 475 III 170 212 IV 269 300 V 128 175 VI 609 VII 431 VIII 267 478 IX 110 284 XI 221 XII 214 XIII 350 518 et *R. Schau*, 'De formulis, quas poetae Graeci in conclusione orationis directae posuerunt'. Progr. Tilsit 1890), et insuper legitur in codicibus *τοί*. item II 628 ad Koechlyi emendationem *περὶ Μέμνονι θυμὸν | ἀχνύμενοι* redire quam Tecum *περὶ Μέμνονα θυμῷ | ἀ.* scribere malim, cum II 604 et III 505, qui loci soli similes esse videantur, localis praepositionis significatio nondum prorsus evanuerit et *θυμὸν ἀχνύμενος* Quinto usitatius sit (cf. locos a Koechlyo allatos). *Ἠλιὰς αὐτή* cum Tu II 616 fastidias, ego iam missum facio, nec tamen Tibi concedo verbis *ἡ Διὸς αὐγή* (laudasti Anth. Plan. 121, 3 et Acta apost. 20, 11) Auroram apte posse designari, sed *ἢ Διὸς αὐτή* praeferendum duco. denique X 144 coniecturam meam *οὖ πολυγύρῳ* Te suadente iam abdico; *ἀλεγεινῷ Μαιάνδρῳ* autem cum mihi ne nunc quidem placeat (multo enim differunt, quae Tu laudas, V 82 *κῦμα*, III 702 *Βορέην*, IV 554 *θυτήριον*, V 18 *ἄρκτοι*, III 616 *χερμαδίῳ*), quod Tu coniecisti *ἀλεγεινόν* adverbialiter positum praeferrem, nisi et *κελάδοντα ῥόον* sequeretur et *ἀλεγεινῶς* succurreret (cf. III 557 IV 203 IX 455 XIII 116). *οὖ* miror quod non iam dudum remotum est; Quinto enim solum *ἧχι* est usitatum, quod hic non quadrat; Tuum autem *ὅς δ᾽* minus bene ad proxima verba se applicat quam *ὅς τ᾽*, ut nunc scribendum esse iudico. sed haec Tua hactenus.

Alteri iudici meo *O. Linsenbarthio* cum codice Parrhasiano paulo nimis praeoccupatus esse visus sim, libere fateor hunc codicem haud minore fiducia dignum esse mihi videri quam illum, qui ex eodem fonte fluxit, Monacensem, de quo Koechlyus [1] p. CVI praedicat: 'patet codicem quamquam recentem ex aliquo fonte omnibus, qui adhuc nobis patent, puriore et pleniore fluxisse, descriptum autem esse a librario ignorantissimo, quare, quaecunque in eo libro aut plenius aut rectius leguntur, certum est ea ab eo librario proficisci non potuisse'. nam cum illo Monacensi noster Parrhasianus maximam partem consentit, eosdemque versus, quos ceterorum omnium codicum communis fons Hydruntinus omisit, uterque servavit. itaque nec fieri potuit, id quod Linsenbarthius mihi crimini vertit, ut in iis libris, quibus codicis Monacensis auctoritas adest (I—IV 10 et XII), ullum versum repugnante Monacensi ex Parrhasiano solo supplerem, neque uberius disserere opus est, quomodo factum sit, ut Parrhasianus numero versuum codicibus inferioris notae omnibus praestet. quod attinet ad Linsenbarthii de meis emendationibus iudicium, iam ei concedo I 95 Koechlyi coniecturam *πυρσὸν δὲ νεῶν καθύπερθε βαλέσθαι* facilius tolerari posse quam codicum lectionem *νῆας δὲ πυρὸς κ. β.*, cui *νηυσὶν δ' ἐνὶ πῦρ κ. β.* substituere non audeo. videtur enim in illa codicum lectione similis corruptela exstare atque IV 209, ubi, cum in codicibus legatur *ἐκ δ' ἔλασαν μετὰ νῆας ἄγειν βόας*, Linsenbarthius eruit *ἐκ δ' ἔλασαν κατ' ἀγῶνα νεῶν βόας*, id quod probatur versu Homerico *Υ* 33. eodem autem testimonio confisus,

quamquam Koechlyi observationem ad IV 209 factam non ignoro, praepositionem *μετά* conservare non dubito, praesertim cum V 333 in codicibus recte legatur *μετὰ νῆας*, ubi, si emendatione opus esset, mutata verbi forma non iam *κατά*, sed *ποτὶ νῆας* postularetur. de versu I 563 iam supra mihi dictum est. de ceteris locis, in quibus emendandis Linsenbarthius a me dissentit, omnibus iterum perpensis ne nunc quidem aliter iudicare possum. itaque nec I 217 *λαβόντες* nec I 226 *ἀπηλεγέως* restituendum esse ille mihi persuasit; *ἀπηλεγέως* enim illud Homericum et Apollonianum multo differre intelleget, quicunque locos Posthomericorum a me laudatos contulerit. neque I 457 ut *μέλονται* intactum relinquam, a me impetrare possum; Quinti enim fuisset locutio *ὅσ' ἀνδράσιν ἔργα μέλονται* ut II 595 III 347 V 190 VI 29 X 343 XI 180 XII 240, cum verbo *μέλομαι* (= *ἐπιμελέομαι*) transitive uti non soleat (c. gen. VII 685, c. dat. IV 500 530 V 263 X 340; cf. Koechly ad IV 500); ceterum non *μέλονται*, sed *πέλονται* in libris legitur. I 504 sq. versuum ordinem me ne nunc quidem paenitet mutavisse, etsi lacunae suspicio hoc loco non prorsus supprimi potest. II 666 utrum mea coniectura *ἐκέδασσε δ' ἄρ' ἀχλύν* an Linsenbarthiana *ἐπέτασσε δ' ἄρ' αἴγλην* (*P* 371) praeferenda sit, alii iudicent. V 105 vulgata lectio *συμμεμαῶτες*, ut est per se optima, ita auctoritate cedit Parrhasianae *συμμογέοντες*. VI 428 denique *αἴσυλα βάζεις* etiamnunc teneo, cum potae noster multo aptius impia in Aesculapium verba (v. 422 sq.) quam horribiles impetus voce *αἴσυλα* significare potuisse videatur.

Qui tertius mihi iudex exstitit, *A. Scheindlerus*, cum III 151 sq. et III 450 sq. lectiones traditas servandas esse dicat, vereor ut Quinti rationem dicendi satis respexerit. nam ut Nonniano illo (XXXVII 514) *κατὰ κροτάφοιο τυχήσας* nemo offenditur et Quintus ipse recte dixit IV 364 *τύψε κατὰ κρ.* et VI 563 *πλῆξε κατὰ κρ.* (cf. XI 45), ita inauditum est III 151 *ἀνὰ κροτάφοιο τυχήσας*, sive cum genetivo sive cum verbo praepositionem coniungas. itaque quod nuper proposui *ἔσω κροτάφοιο*, cum aliud nihil succurrat, etiamnunc teneo. altero loco traditam lectionem nullo modo defendi posse Bonitzius satis demonstravit (cf. Koechlyi editionem). quae autem sit vera emendatio, iure dubitatur. mihi quidem nunc ad veritatem proxime accedere videtur coniectura *αὐτὴ μὲν φήμη μιν ἀπορραίσει τάχα θυμόν.*

His omnibus locis, ad quos aliis auctoribus iterum accessi*), perpensis paucos placet adiungere, qui mihi ultro Posthomerica denuo perlustranti etiamtunc emendatione egere videbantur. sunt autem primum duo errores leviores in Koechlyi editione XIII 394 *κῦρσαι* et XIII 492 *βίηφι*, cum necesse sit secundum *P* scribere *κύρσαι* et *βίηφι.* deinde IV 306 et XIII 364 non *ὣς εἶδε*, sed *ὡς εἶδε* sicut IX 52 rectius scribi mihi videtur, quamquam illud habet, quo defendatur. tum vox *ἀρηράμενος* II 265 III 632 IV 149 V 116 VI 171 414 VII 348 705 IX 396 XI 367 XIV

*) In *J. Oberdickii* libro 'Kritische Studien I. Münster 1884', quem auctor humanissimus benigne mihi misit, de Posthomericorum fontibus agitur.

475 mihi admodum suspecta est. orta enim, opinor, errore librariorum, qui eam aoristi formam esse putabant atque etiam ad verbum *αἴρειν* referebant (hinc scriptura *ἀνηράμ.* III 632 in *A*, *ἀνηράμ.* III 632 et VII 348 in *P*, XIV 475 in *V*, *παρηράμ.* V 116 in *AE*[1] al.), apud Quintum haud facilius toleratur quam apud Apollonium, cuius in codicem Laurentianum IV 677 eadem irrepsit. legitimam igitur formam *ἀρηρέμενος* (Ap. I 787 III 833 IV 677), quam Parrhasianus uno loco XIV 475 servavit, ceteris quoque restitui par est. denique his duobus locis medelam me nunc repperisse credo: XII 544 sq. rectius legas *σχέτλιοι, οὐδέ τι ἴστε κακὸν μόρον, ἀλλ' ἅμα πάντες | χαίρετ' ἔτ' ἀφραδέοντες, ὅ περ μέγα πῆμα κέκευθεν*, et XIV 642 *καὶ εἰσέτ'* (an *εἰς ἔτ'*?) *ἴσαν κελάδοντες | χείμαρροι.* ad ea, quae in Quaestionibus criticis p. 78 ad versum III 693 tuendum attuli, nunc addere possum simillimum Gregorii Nazianzeni versum I, 2, 1, 250 *ὅσσα χθών, ὅσα πόντος, ὅσ' οὐρανὸς ἐντὸς ἐέργει.*

E codicibus nihil novi, quod memoratu dignum esse videatur, excutere potui, quamquam W. Meyero suadente schedas Tychsenianas in bibliotheca Gottingensi conservatas (Cod. MS. philol. 81—84) perscrutatus sum. codicem Parrhasianum ut iterum conferendum curarem, id quod *O. Crusius* me monuit, facultas mihi quamvis cupienti non oblata est. neque cunctas huius codicis lectiones discrepantes in hac editione notavi, cum his rebus non satis spatii concederetur, sed omissis iis, unde fructum percipi non posse apparebat, ceterorum codicum editionum emendationum ita rationem habere mihi visum est, ut vix

quicquam maioris momenti in notis desideretur. res orthographicas consulto neglexi, quamquam in eo genere a codicum editionumque letionibus haud raro digressus sum. nam neque codicibus, ut sunt recentiores, fidem habendam esse constat et editores suorum temporum usui obtemperare consueverunt. itaque, quod attinet ad enclisin anastrophen similia, veterum grammaticorum praecepta secutus sum, quandoquidem Quintus aetati Herodianeae proximus est, alioquin doctissimorum qui nunc sunt hominum usum spectavi; velut scripsi *ὄφρά κε, ἄρά σφιν, τῷ δ' ἐπί, χειρὸς ἄπο κρατερῆς, ὁ ἡ οἵ αἵ* demonstr., *ἦ . . . ἦε, καὶ ὣς* et *οὐδ' ὣς, ἄντικρυς, ἅδην, ἁδινός, ἁθρόος, Ἀργῷος, δμῳή, θρῴσκω, Τρῳαί, ἦχι, τῶ* ideo, *ὅ γε, ὅς περ, ὅς τε, ὅς τις, καί περ, ὥς περ, ὥς τε, ὡς εἴ τε, οὔ τις, οὔ ποτε, οὔ πω, ἐπεὶ ἦ, τί ἤ, εἰς ὅ κε, Θρῄκην δέ* in *Thraciam, ἀπονόσφιν.*

Argumenta adieci Tychseniana. indicem nominum a F. Spitznero confectum non solum emendandum et augendum, sed etiam in constantiorem formam redigendum existimavi.

Talem iam hanc Posthomericorum editionem emitto sperans eam et Tibi et aliis viris doctis poetarum epicorum studiosis usui esse futuram. quotienscunque autem Tu ea uteris, in animo Tuo velim vigeat memoria amici, qui hunc librum, veteris sodalitatis monumentum uti sit, Tibi dedico. vale, salve!

Scripsi Wilhelmshaviae,
Idibus Augustis MDCCCXCI.

TH. CH. TYCHSENII ARGUMENTA.

A (I).

Hectore caeso cum Achillis metu non amplius in aciem prodire sustinerent Troiani (v. 1—17), Penthesilea cum Amazonibus adveniens animos iis auget, Priamo imprimis (—97), Andromache tamen iactantiam eius aegre ferente (—117). Penthesilea somnio a Pallade immisso instigata ad certamen cum Achille ineundum belli dux fit Troianis (—181). Priamo pro ea vota facienti Iuppiter sinistrum augurium obicit (—204). fit pugna, qua premuntur Achivi, Penthesilea omnia prosternente (—402). hinc Hippodamia auctore ipsae Troianae mulieres arma sumunt Amazonum exemplo suis opem laturae, quas tamen retinet Theano (—475). tandem fugientibus Achivis allato ad naves clamore Aiax et Achilles, qui Patroclum lugentes proelio abstinebant, excitantur et contra Amazones pergunt (—537). Aiax reliquas Amazones, Achilles Penthesileam caedit (—629), Troianis in urbem fugientibus (—642). Achilles caesae Amazoni primum insultans mox pulchritudine eius tactus interemptam dolet (—674). interea Mars filiam ulturus contra Achivos festinat, sed Iovis fulmine absterretur (—715). Achillem Penthesileae fatum miserantem conviciis incessit Thersites, quem is pugno inflicto necat (—765). quod aegre ferentem Diomedem Achivi a pugna cum Achille retinent (—781). corpora Amazonum ab Atridis Priamo redduntur, quorum deinde luctus et exsequiae describuntur (—810). Achivi mortuis crematis ad naves se recipiunt (—830).

B (II).

Troianis post mortem Penthesileae metu et maerore perculsis Thymoetes auctor est, ut urbem deserant. Priamus Memnonis et Aethiopum auxilia exspectare iubet, Polydamas Helenam cum opibus et muneribus tradere suadet, obnitente Paride (v. 1—99). advenit Memnon cum Aethiopum exercitu et a Priamo laute excipitur (—182). postero die pugna commissa multi utrimque cadunt; Memnon inter alios Antilochum caedit, Nestoris filium (—259). de cuius corpore gravis pugna oritur. Nestor cum suis cedere cogitur ab ipso Memnone monitus, ne cum fortiore congrediatur (—344). fugientibus Achivis (—387) Achilles adest a Nestore vocatus proeliumque restituit. congressus ille cum Memnone hunc diu ancipiti certamine caedit et Troianos in fugam vertit (—548). Memnonis corpus Venti auferunt comitantibus Aethiopibus ad Aesepum fluvium; e sanguinis guttis confluentibus fit amnis Paphlagonius (—592). sub noctem ad lugendum Memnonem caelo descendit Aurora cum Horis et Pleiadibus, in caelum redire renuens (—627). Troianis in urbem compulsis Achivi in campo noctem agunt (—633). sepelitur Memnon ab Aethiopibus, qui ab Aurora in aves Memnonides mutantur (—655). ipsa Iovis minis territa caelum repetit diemque terris reducit (—666).

Γ (III).

Achivi iusta faciunt Antilocho, Achilles autem amici interempti dolore accensus Troianos ad certamen prodeuntes magna cum strage in urbem repellit (v. 1—29). quem Apollo a caedendis Troianis verbis deterrere frustra conatus, tandem minis, quas ille regerebat, iratus sagitta in talum adacta sternit (—66). agnoscit Achilles deum vulneris auctorem et expletum vaticinium, ad Scaeam portam sibi moriendum esse (—85). Apollo telo a Ventis reddito in Olympum redux a Iunone graviter obiurgatur, a reliquis diis diversis studiis excipitur (—138). interea Achilles receptis viribus nihilo minus Troianis instat, plures caedit, alios minis terret, tandem exanimis procidit (—179). paventes adhuc Troianos Paris, ut Achillis corpore

potiantur, exhortatur (—216), quod tamen Aiax strenue tuetur et inter alios Glaucum occidit (—281), Aeneam vulnerat (—292). sed etiam Ulixes pro Achillis corpore pugnans vulneratur, ipse tamen Alconem vulneris auctorem caedit (—321). post gravem pugnam, qua Paridem sagittam in se tendentem saxo occupat Aiax et prosternit, tandem fugiunt Troiani persequente Aiace (—380). finita pugna in castra reportatur Achilles, cui luctum faciunt Achivi. describitur luctus Aiacis (—459), Phoenicis (—490), Agamemnonis (—504), aliorum (—513). Nestoris monitu exsequiae parantur (—532). corpori vigorem et decus addit Pallas (—543). plangunt eum captivae, imprimis Briseis (—581). mox ad funus adsunt Thetis cum Nereidibus et Musis, quae Thetidem solantur (—664). die sequenti rogo instructo cum inferiis crematur corpus, Iove ambrosiam adspergente ventisque eius iussu flammam augentibus (—718). leguntur ossa et aurea urna reconduntur, tumulusque in litore Hellesponti excitatur (—742). interseritur de equis Achillis maerentibus narratio (—765). Thetidem solatur Neptunus ostensis divinis honoribus Achilli exhibendis (—787).

Δ (IV).

Glauco funus celebrant Troiani; Apollo autem eius corpus in Lyciam transfert, ubi sub eius sepulcro Glaucus fluvius emanat (v. 1—12). describuntur Achivorum ob caesum Achillem maeror, spes metusque Troianorum et in Olympo diversa deorum studia (—61). postero die Achivos Diomede hortante urbem oppugnaturos Aiax retinet Thetidis iussu ludos funebres Achilli instituendos esse monens (—111). propositis a Thetide certaminum praemiis primus Nestor laudationem habet Achillis (—180). sequuntur reliqua certamina: cursu vincit Aiax Oilei filius (—214), lucta Diomedes et Aiax Telamonius partito praemio (—283), pugilatu Idomeneus ἀκονιτί; Nestore tamen hortante certant Epeus et Acamas, quos dirimunt Achivi (—404). arcu vincit Teucer (—435), disco Aiax Telamonius (—464), saltu Agapenor (—471), iaculo Euryalus (—478), pancratio iterum Aiax Telamonius ἀκονιτί (—499), curru Menelaus (—544), singulari equo Agamemnon (—595).

E (V).

Finitis ludis arma Achillis a Thetide proponuntur praemium futura ei, qui Achillis corpus servaverit et fortissimus sit Achivorum. intexta hic est satis prolixa armorum, clipei imprimis, descriptio (v. 1—127). surgunt competitores Ulixes et Aiax Telamonius, uterque ad Idomenei Nestoris Agamemnonis iudicium provocans (—138). hi Nestoris consilio iudicii invidiam declinantes captivos Troianos iudices constituunt (—179). in quorum consessu primus Aiax se solum armis dignum esse contendit (—236), cui respondet Ulixes (—290), iterum obloquitur Aiax (—305) et Ulixes (—317). Troiani arma tribuunt Ulixi. quo facto Aiax attonitus et mente conturbatus a sociis ad naves reducitur (—332). sub noctem Thetis discedit cum Nereidibus; Aiax autem ira et dolore in Ulixem et Achivos saeviens a Minerva, quae Ulixi periculum timet, in furorem agitur et die orto in oves, quas pro Achivis habet, irruit Ulixem a se interfectum esse opinatus (—450). mox mente recepta errorem agnoscens vitae pertaesus violentas sibi manus infert (—486). lugent eius fatum Achivi, Teucer imprimis et Tecmessa, etiam Ulixes (—598). tandem ei Nestore monente iusta funebria fiunt (—663).

ϛ (VI).

Cum mortuis fortissimis Achivorum, Achille et Aiace Telamonio, desperandum esse videretur de urbe capienda, Agamemnon convocata contione simulatis verbis reditum suadet, ut exploraret Achivorum animos (v. 1—38). obiurgat eum Diomedes et ad pugnam hortatur (—56), sed Calchante monente Neoptolemum, Achillis filium, e Scyro insula arcessendum esse, magno consensu haec legatio decernitur. proficiscuntur Ulixes et Diomedes, Achivis interim arma parantibus (—115). Troianis interea auxilio venit Eurypylus, Herculis e Telepho nepos, cum Ceteorum Mysorum exercitu, qui a Paride excipitur (—165). postero die ad pugnam procedunt Troiani duce Eurypylo, cuius clipeus describitur laboribus Herculis insculptus (—335). hic praeter alios Nireum et Machaonem caedit

(—434), de quorum corporibus ingens certamen oritur. multis caesis Achivi ad naves se recipiunt (—501), Atridae tamen proelium aliquamdiu restituunt, quibus auxilio veniunt Teucer Idomeneus aliique (—544). sed strenua pugna edita, cum non amplius Eurypyli impetum sustinerent Achivi, fit fuga ad naves. fugientes magna cum caede insequuntur Troiani, qui haud procul a navibus castra capiunt (—651).

Z (VII).

Sequenti die statim renovatur certamen ad naves, dum interea Machaoni et Nireo iusta persolvuntur communi tumulo conditis. Podalirium fratris Machaonis casum non ferentem solatur Nestor (v. 1—95). iam Eurypylus magnam Achivorum stragem edit et in his Peneleum interficit; fugiunt illi et intra munimenta se recipiunt, quae Minerva animos addente contra oppugnantes strenue defendunt (—151). legatione tamen ad Eurypylum missa indutias obtinent per biduum sepeliendis mortuis, Eurypylo interea a navibus non recedente (—168). haec dum ad Troiam geruntur, Ulixes ac Diomedes Scyrum perveniunt et Neoptolemum inde abducunt magno cum matris Deidamiae luctu (—367). navigationem a Scyro ad Troiam narrat poeta (—412). appellunt illi, dum in summo discrimine versatur res Achivorum, Eurypylo navium munimenta oppugnante. propere arma sumunt Diomedes et Ulixes, qui Neoptolemum Achillis patris armis donat (—451). nunc animos sumunt Achivi et repelluntur Troiani, imprimis a Neoptolemo, qui Achillis speciem referens terrorem iis inicit, Eurypylo tamen ad pugnam eos instigante (—555). iam Minerva ab Olympo descendit in Sigeum promunturium pugnae spectatrix, imprimis Neoptolemi virtutis, quam magnifice describit poeta (—605). absumpto inter certamina die Eurypylus cum suis a munimentis paulum recedit (—626). gratulationes et honores fiunt Neoptolemo a Phoenice, ab Achivis, qui muneribus eum ornant (—687) et ab ipso Agamemnone (—705). post haec in Achillis tentorium se recipientem miratur Briseis patri simillimum (—727). Eurypylum celebrant Troiani, excubiae utrimque fiunt (—734).

H (VIII).

Luce orta continuatur certamen Neoptolemo et Eurypylo ducibus, quorum ille Achillis equis vectus e castris prodit (v. 1—38). describitur pugna, qua multi cadunt, tam Neoptolemi manu (—92) quam aliorum heroum, imprimis Eurypyli (—133). congrediuntur tandem Neoptolemus et Eurypylus, qui post ingens certamen configitur (—216). fugientibus Troianis Mars adest et clamore sublato ad pugnandum instigat (—251). quo audito Helenus Troianos ad certamen revocat (—266). sic restituitur pugna et aliquamdiu paribus viribus sustinetur (—325). Martis clamore consternantur Achivi praeter Neoptolemum, quem cum Mars iratus aggressurus esset, obviam ei se offert Minerva ab Olympo adveniens; deos tamen a certamine deterret Iuppiter ab aethere tonans (—358). inclinatis nunc Troianorum rebus hi in urbem fugiunt (—368). Achivi muros oppugnant, quos Troiani defendunt, cum mutua strage (—426). cum in eo esset, ut perfringerentur portae, Ganymedis precibus motus Iuppiter nubibus urbem obducit; quare Achivi Nestoris suasu recedunt, tunc mortuos sepeliunt et corpora curant (—488). excubiae ab utraque parte per noctem disponuntur (—504).

Θ (IX).

Postero die cum Troiani hesternae calamitatis metu perculsi extra muros prodire non auderent, Antenor Iovi supplicat, ut Neoptolemum avertat aut belli finem maturet (v. 1—30). comburuntur mortui utriusque partis pactione facta inter reges Agamemnonem et Priamum; Eurypylo tamen honoris causa seorsum tumulus excitatur (—45). interim Neoptolemus Achillis sepulcrum invisit pietatis causa, diesque sine certaminibus exigitur (—67). sequenti die Achivi ad muros subeunt; Troianos metu torpentes excitat Deiphobus et in proelium educit (—126). atroci pugna commissa Deiphobus strenue rem gerit et ab Achivorum parte Neoptolemus, qui tandem contra Deiphobum tendit. eum tamen Apollo nube offusa ad urbem transfert (—264). discussa a Iove caligine Troianos

prope urbem conspicatus Neoptolemus iterum aggreditur, quibus auxilio venit Apollo, Neptuno contra Achivis animos addente (—304). is Apollinem Neoptolemo exitium parantem etiam contra auguria a proposito absterret urbem se eversurum minitans (—324). tandem Calchante auctore Achivi in castra se recipiunt et ad Philocteten e Lemno insula arcessendum, sine quo Troiam capi non posse in fatis erat, legatos mittunt Diomedem et Ulixem. insertae hic de Lemno et Philoctete fabulae (—443). Philoctetes in castra perductus a Podalirio per miraculum restituitur et ab Agamemnone et Achivis honore et muneribus cumulatur (—528). postero die Achivi instigante Philoctete instructo agmine versus Troiam pergunt (—546).

I (X).

Troiani interim mortuorum humandorum causa extra urbem versantur, cum armis tamen repentinae excursionis metu. his conspecto hostili exercitu perterritis Polydamas auctor est, ut muris se tueantur (v. 1—25). reprehendit eum Aeneas: praestare enim pro patria pugnantes honeste mori quam obsidione et fame perire (—44). cui assentientes Troiani ad certamen se parant, et utrimque acriter pugnatur (—73). Aeneas imprimis et Neoptolemus Eurymenesque, Aeneae socius, plures caedunt. vulneratur Scylaceus Lycius, de quo fabula interseritur (—166). Philoctetes quoque strenue pugnat Herculis armis decorus, quae describuntur (—206). cum eo congressus Paris sagitta venenata vulneratur. qui ad Oenonen uxorem confugiens, a qua sola sanari eum posse fatale erat, repulsus ab ea in Ida moritur, Iunone interea cum Horis de novis Helenae cum Deiphobo nuptiis Troiaeque post ablatum Palladium excidio confabulante (—363). lugent Paridem Nymphae, Hecuba, Helena et Troades, et hae quidem suorum potius memoriam recolentes bello amissorum (—410). Oenone autem vero dolore et facti paenitentia tacta domo profugit et in rogum Paridis a pastoribus in Ida exstructum insiliens una cum eo comburitur (—489).

IA (XI).

Continuatur pugna, Neoptolemo Aenea aliisque Graecorum et Troianorum ducibus strenue rem gerentibus (v. 1—128). nunc Apollo sumpta Polymestoris auguris persona animum addit Aeneae et Eurymacho, Antenoris filio, qui impetu facto Achivos fugant et fugientes caedunt laetante Apolline (—183). narrantur facinora Agenoris et Aeneae et consternatio Achivorum (—215). territos hos increpat Neoptolemus et Myrmidones in hostem ducit. respirant Achivi, cedunt paulisper Troiani, quos tamen Aeneas retinet et pugnam restituit (—246). pulvere excitato caligo oritur visum eripiens pugnantibus, qua a Iove dispulsa iterum pugnatur acriter (—282). tandem Minerva auxilio venit Achivis, quare Venus Aeneam nube tectum e proelio subducit (—297). cedunt Troiani et multa cum caede in urbem compelluntur; curantur utrimque vulnerati (—329). postridie Achivi muros urbis oppugnant distributa inter duces ad quattuor urbis partes pugna (—357). Ulixes suis auctor est, ut testudine facta ad muros subeant, quae tamen Aeneae virtute ingenti saxo immisso dissolvitur (—406). multi cadunt utrimque pugna per totum diem continuata (—439). Aiax Locrus missilibus Troianos a muro pellit; quo facto Alcimedon, eius socius, scalis admotis muros ascendit, sed ab Aenea saxo prosternitur (—473). sagittam a Philoctete in Aeneam missam Venus avertit, Menon tamen ea perit; Aeneas contra Toxaechmen saxo perimit (—501).

IB (XII).

Frustra oppugnatis muris Calchas contione convocata hortatur Achivos, ut missa vi dolum aliquem ad capiendam urbem excogitent, qua de re se augurio obiecto admonitum fuisse (v. 1—20). silentibus reliquis Ulixes suadet, ut equum ligneum fabricent, quem insidiarum loco fortissimi ingrediantur, reliquo exercitu per speciem Tenedum cum classe proficiscente, uno saltem relicto, qui Troianis persuadeat, ut machinam in urbem recipiant, Achivis autem reditus signum proponat face sublata —45). comprobantibus hoc consilium omnibus, imprimis Cal-

chante, repugnant Neoptolemus et Philoctetes suasque copias contra urbem ducunt; quos tamen Iuppiter prodigiis absterret (—103). noctu Minerva Epeum ad equum fabricandum instigat auxilio promisso. qui cum ducibus somnium exposuisset, magno studio fabrica instituitur et intra triduum absolvitur (—156). inter haec Iove apud Oceanum absente dissidium fit inter deos, qui ad Troiam delati alii equum ligneum cum navibus alii Troiam delere cupiunt. mox Fato instigante in pugnam vertuntur, imprimis Mars contra Minervam. sed Iovis irati ostentis et Themidis, quae sola a certamine afuerat, monitis permoti desistunt a pugna (—218). Ulixes fortissimos Achivorum hortatur, ut equum ingrediantur, Sinone operam suam ad fallendos Troianos pollicente (—259). Nestore incitante heroes in equum subeunt, ubi poeta de se ipso (—335); reliquus exercitus sub Nestoris et Agamemnonis ductu incensis tentoriis Tenedum navigat (—352). luce orta Troiani ad litus effusi equum mirantur; mox Sinonem deprehendunt, qui cruciatibus ad verum profitendum frustra tentatus plurimis persuadet Palladi sacrum esse; alii Laocoonte auctore Sinonem pro impostore habentes equum comburere cupiunt, sed Laocoontem Minerva caecitate immissa punit (—417). quo prodigio territi Troiani machinam in urbem pertrahunt rupto muro (—443). cum Laocoon hortari non desisteret, ut flammis equum abolerent, Minerva duo dracones e Calydna insula excitos mittit, qui eius filios devorant. cenotaphium his fit et luctus (—499). interea variis ominibus urbis excidium portenditur (—524). idem Cassandra praesagit, quorum tamen neutrum curant Troiani conviviis potius indulgentes (—585).

IΓ (XIII).

Troianis post epulas in noctem protractas somno oppressis, Sinon facem extollit Achivis, signum reditus (v. 1—29). idem heroes ex equo provocat. prodit primus Ulixes, tum reliqui. redit quoque classis a Tenedo et caede flammisque omnia miscentur (—80). describitur calamitas captae urbis et caedes Troianorum (—144). qui tamen non inulti pereunt (—160). pugnatur imprimis ad Priami regiam: caeditur Coroebus,

Eurydamas, Ilioneus a Diomede, alii ab aliis, ipse Priamus a Neoptolemo ad Iovis Hercei aram (—250). Astyanax e turri praecipitatur, mater Andromache frustra mortem expetens captiva ducitur (—290). Antenori parcitur veteris hospitii merito (—299). Aeneas desperatis patriae rebus cum patre et filio Troiam deserit duce Venere et iter praebentibus flammis et hostibus, ipso Calchante futuram gentis magnitudinem praesagiente (—352). Menelaus in Helenae thalamo Deiphobum obtruncat; ipsam e latibulo productam interempturus a Venere retinetur et mox ab Agamemnone (—415). lugent dii Troiae excidium excepta Iunone et Minerva, in cuius templo Aiax Locrus vim infert Cassandrae (—429). conflagrat urbs et plena sunt omnia caede atque horrore (—495). inter haec Aethra, Thesei mater, agnoscitur ab Acamante et Demophoonte nepotibus (—543). Laodicen, Priami filiam, ne Troiae fato superstes sit, orantem terra haurit; Electra excisae urbis dolore Pleiadum choro se subducit (—563).

IΔ (XIV).

Die orto urbem depraedantur Achivi et captivas partiuntur (v. 1—38). ducitur inter has Helena, cuius pulchritudinem omnes mirantur, Venere gratiam ei conciliante (—70). Xanthus et Simois cum Nymphis Troiae fatum lugent (—84). Achivi autem ob rem feliciter gestam laetitiae indulgent usque ad noctem (—148). Helena cum Menelao redit in gratiam (—178). per somnum Achillis umbra Neoptolemo apparet eumque praeceptis instruit, se inter deos receptum declarans, sed e praeda sibi deposcens Polyxenam, Priami filiam, pro inferiis mactandam (—225). re ad duces relata Polyxena ad Achillis tumulum mactatur magno cum Hecubae matris luctu; corpus tamen Agenori humandum redditur (—328). post epulas factas Nestor ad reditum in patriam hortatur, dum interea Hecuba in canem mutatur, mox in saxum, quod Calchantis monitu in Chersonesum Thracicam transfertur (—353). Achivi discessum parant, remanentibus Calchante et Amphilocho, Amphiarai filio (—369). solvit classis praeda onusta et victoriae insignibus decora inter luctus captivarum et secundo

cursu prope Euboeam pervenit (—418). hic Minerva de Aiacis facinore apud Iovem questa ab eo fulmen impetrat et tempestatem excitat Achivis (—465), simulque per Iridem Aeolum rogat, ut ventos classi immittat (—491). multi naufragio pereunt, in his Aiax Locrus, quem Minerva navi primum fulmine disiecta diu cum fluctibus luctatum tandem montis fragmine immisso mergit (—589). alii Nauplii dolo ad Capharea saxa naves allidunt, pauci effugiunt (—630). Neptunus et Apollo munimenta Achivorum ad Troiam facta mari et fluviis inductis delent (—658).

TABULA NOTARUM IN ADNOTATIONIBUS ADHIBITARUM.

Codices.

I. Codices antiquiores iidemque optimi ac plenissimi:
   1. *M* = *Monacensis* (lib. I—IV 10 et XII).
   2. *P* = *Parrhasianus* (Koechlyi *Neapolitanus* alter).

II. Codices ex *Hydruntino* amisso ducti:
   a) Codices accuratius descripti, saltem pleniores:
      1. *V* = *Venetus.*
      2. E^1 = *Escurialensis.*
      3. V^3 = *Vaticanus γ.*
      4. *C* = *Cantabrigiensis.*
   b) Codices deteriores non correcti: e quo genere unum Aldus expressit, unde fit ut hi cum *Aldina* plane congruant. qua re littera *A* consensus codicum inferioris notae significatur; singulos enumerare longum est.
   c) Codices deteriores a librariis correcti: ex horum numero est *Caesareus* (C^1) a Graeco quodam correctus et inepte suppletus.

Editores et emendatores.

b = Bonitz.
br = Brodaeus.
d = Dausque.
g = Gerhard.
h = G. Hermann.
hg = Hilberg.
hw = van Herwerden.

hy = Heyne.
k^1 = Koechlyi ed. maior.
k^2 = Koechlyi ed. minor.
l = F. S. Lehrsii ed.
ls = C. Lehrs.
lb = Lobeck.
lw = Ludwich.
n = Nauck.
p = Pauw.
r = Rhodoman.
sc = Scaliger.
sp = Spitzner.
st^1 = C. L. Struve.
st^2 = I. Th. Struve.
t = Tychsen.
v = vulgata plerorumque lectio.
w = Wernicke.

ΚΟΙΝΤΟΥ

ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Εὖθ' ὑπὸ Πηλείωνι δάμη θεοείκελος Ἕκτωρ
καί ἑ πυρὴ κατέδαψε καὶ ὀστέα γαῖα κεκεύθει,
δὴ τότε Τρῶες ἔμιμνον ἀνὰ Πριάμοιο πόληα
δειδιότες μένος ἠὺ θρασύφρονος Αἰακίδαο.
ἠύτ' ἐνὶ ξυλόχοισι βόες βλοσυροῖο λέοντος
ἐλθέμεν οὐκ ἐθέλουσιν ἐναντίαι, ἀλλὰ φέβονται
ἰληδὸν πτώσσουσαι ἀνὰ ῥωπήια πυκνά,
ὣς οἵ ἀνὰ πτολίεθρον ὑπέτρεσαν ὄβριμον ἄνδρα
μνησάμενοι προτέρων, ὁπόσων ἀπὸ θυμὸν ἴαψε
θύων Ἰδαίοιο περὶ προχοῇσι Σκαμάνδρου,
ἠδ' ὅσσους φεύγοντας ὑπὸ μέγα τεῖχος ὄλεσσεν,

Titulum ab Eustathio traditum confirmat *P*, cuius in fine subscriptum legitur *τέλος κοΐντου τῶν μεθ' ὅμηρον λόγων* † 2 *πάντα AMP*, *γαῖα tlk* *κέκαυται AE*[1] (*-το r*), *κεκαῦσθαι V*, *κέκευθε MPpt*, *κεκεύθει lslk* 3 *ἀνὰ Πριάμου πτολίεθρον v*, *Πριάμοιο V*, *κατὰ Πριάμοιο πόλια* (*πόληα* et ϊ superscr. *P*) *MP*, em. *k* 9 *ὁπόσων ἀπέταμνε κάρηνα v*, *ὁ. ἀπὸ θυμὸν ἴαψεν MP*, posterius rec. *k*, sed v. 14 huc transposito et lacuna unius versus dimidiique interiecta [velut *Κύκνον τ' ἐξενάριξε καὶ ἄλλων ἦτορ ἔλυσε· | μνησάμενοι δ' ἑτέρων*] prius sequi iussit; quibus artibus spretis alterutram lectionem esse genuinam censet *n*, aut lectionem *MP* aut utramque duplici recensione a poeta fictam iudicat *st*[2] *ἴαψε ego* 10 *θέων MP* 11 *ὑπαὶ v*, *παίων MP*, *ὑπὸ lk*

Ἕκτορά θ' ὡς ἐδάμασσε καὶ ἀμφείρυσσε πόληι,
ἄλλους θ' ὡς ἐδάιξε, δι' ἀκαμάτοιο θαλάσσης
ὁππότε δὴ τὰ πρῶτα φέρε Τρώεσσιν ὄλεθρον.
τῶν οἵ γε μνησθέντες ἀνὰ πτολίεθρον ἔμιμνον·
ἀμφὶ δ' ἄρά σφισι πένθος ἀνιηρὸν πεπότητο
ὡς ἤδη στονόεντι καταιθομένης πυρὶ Τροίης.
καὶ τότε Θερμώδοντος ἀπ' εὐρυπόροιο ῥεέθρων
ἤλυθε Πενθεσίλεια θεῶν ἐπιειμένη εἶδος,
ἄμφω καὶ στονόεντος ἐελδομένη πολέμοιο
καὶ μέγ' ἀλευαμένη στυγερὴν καὶ ἀεικέα φήμην,
μή τις ἑὸν κατὰ δῆμον ἐλεγχείῃσι χαλέψῃ
ἀμφὶ κασιγνήτης, ἧς εἵνεκα πένθος ἄεξεν,
Ἱππολύτης· τὴν γάρ ῥα κατέκτανε δουρὶ κραταιῷ,
οὐ μὲν δή τι ἑκοῦσα, τιτυσκομένη δ' ἐλάφοιο·
τοὔνεκ' ἄρα Τροίης ἐρικυδέος ἵκετο γαῖαν.
πρὸς δ' ἔτι οἱ τόδε θυμὸς ἀρήιος ὁρμαίνεσκεν,
ὄφρα καθηραμένη περὶ λύματα λυγρὰ φόνοιο
σμερδαλέας θυέεσσιν Ἐρινύας ἱλάσσηται,
αἵ οἱ ἀδελφειῆς κεχολωμέναι αὐτίχ' ἕποντο
ἄφραστοι· κεῖναι γὰρ ἀεὶ περὶ ποσσὶν ἀλιτρῶν
στρωφῶντ', οὐδέ τιν' ἔστι θεὰς ἀλιτόνθ' ὑπαλύξαι.
σὺν δέ οἱ ἄλλαι ἕποντο δυώδεκα, πᾶσαι ἀγαυαί,
πᾶσαι ἐελδόμεναι πόλεμον καὶ ἀεικέα χάρμην,

12 *ἦμαρ ἔρυσσε πολήων* AE^1, *ἠ. ἔλυσε π.* VV^3, *ἀμφείρυσσε πόληϊ* (*πόλϊι P*) *MPrtlk* 13 *ἄλλους θ' οὓς AMP*, *ἄ. θ' ὡς rtl*, *ἄλλων θ' οὓς k* virgulam cum (*k*)st^2 a fine versus reduxi post *ἐδάιξε* 14 *φέρεν τεκέεσσιν MP* loco huius versus (v. ad v. 9) maioris lacunae signa pos. *k* [velut *ἄλλων θ' οὓς ἐδάιξε περικτιόνων ἐπικούρων* | *νηυσὶ θέων κοίλῃσι δι' ἀκαμάτοιο θαλάσσης,* | *ἠδ' οὓς σὺν πεζοῖσι· κάρηνα δὲ λῦσε πολήων,* | *ὀλλυμένων δὲ γυναῖκας ὁμῶς τεκέεσσιν ἔρυσσε.*] 18 *ῥοάων v*, *ῥεέθρων MPk* 25 *δὴ τόγ' v*, *δή τι* (vel *δή που*) *k* 32 *νυ v*, *τιν' hlk* *ἐστὶ v*, *ἔστι* ex *P ego*

αἵ οἱ δμωίδες ἔσκον ἀγακλειταί περ ἐοῦσαι.
ἀλλ' ἄρα πασάων μέγ' ὑπείρεχε Πενθεσίλεια·
ὡς δ' ὅτ' ἀν' οὐρανὸν εὐρὺν ἐν ἀστράσι δῖα σελήνη
ἐκπρέπει ἐν πάντεσσιν ἀριζήλη γεγαυῖα,
αἰθέρος ἀμφιραγέντος ὑπὸ νεφέων ἐριδούπων,
εὗτ' ἀνέμων εὕδῃσι μένος μέγα λάβρον ἀέντων,
ὣς ἥ γ' ἐν πάσῃσι μετέπρεπεν ἐσσυμένῃσιν.
ἔνθ' ἄρ' ἔην Κλονίη Πολεμοῦσά τε Δηρινόη τε
Εὐάνδρη τε καὶ Ἀντάνδρη καὶ δῖα Βρέμουσα
ἠδὲ καὶ Ἱπποθόη, μετὰ δ' Ἁρμοθόη κυανῶπις
Ἀλκιβίη τε καὶ Ἀντιβρότη καὶ Δηριμάχεια,
τῇς δ' ἐπὶ Θερμώδωσα μέγ' ἔγχεϊ κυδιόωσα·
τόσσαι ἄρ' ἀμφιέποντο δαΐφρονι Πενθεσιλείῃ.
οἵη δ' ἀκαμάτοιο κατέρχεται Οὐλύμποιο
Ἠὼς μαρμαρέοισιν ἀγαλλομένη φρένας ἵπποις
Ὡράων μετ' ἐυπλοκάμων, μετὰ δέ σφισι πάσαις
ἐκπρέπει ἀγλαὸν εἶδος ἀμωμήτοις περ ἐούσαις,
τοίη Πενθεσίλεια μόλεν ποτὶ Τρώιον ἄστυ
ἔξοχος ἐν πάσῃσιν Ἀμαζόσιν. ἀμφὶ δὲ Τρῶες
πάντοθεν ἐσσύμενοι μέγ' ἐθάμβεον, εὗτ' ἐσίδοντο
Ἄρεος ἀκαμάτοιο βαθυκνήμιδα θύγατρα
εἰδομένην μακάρεσσιν, ἐπεί ῥά οἱ ἀμφὶ προσώπῳ
ἄμφω σμερδαλέον τε καὶ ἀγλαὸν εἶδος ὀρώρει·
* * * * * *
μειδιόωσ' ἐρατεινόν, ὑπ' ὀφρύσι δ' ἱμερόεντες

37 ἄστρασι *P* 38 ἀρίζηλος *r*, -ζήλη *MPk* 39 ὑπαὶ *v*, ὑπὲκ ci. *t*, ὑπὸ *lk* 40 hunc v. soli servaverunt *MP* 41 πάντεσσι *MP*, πάσαισι *A*, -σῃσι *hytlk* 42 ἄρα ἦν *AMP*, ἄρ' ἔην *htlk* Δηριόνη *v*, -νόη *k* 46 ταῖς *v*, τῇς *M*, τῆς *Pk* -δοσσα *v*, -δωσσα *r*, -δωσα *lbk* μετ' *MP* 47 ἀμφὶς ἔποντο *P* 48 κατέρχεται ἀπ' Οὐλύμπου *AMP*, κ. Οὐλύμποιο *rtlk* (vel ἐξ Οὐλ. *r*), κατέρχετ' ἀπ' Οὐλ. *d* 58 μειδιόων

ὀφθαλμοὶ μάρμαιρον ἀλίγκιον ἀκτίνεσσιν,
αἰδὼς δ' ἀμφερύθηνε παρήια, τῶν δ' ἐφύπερθε
θεσπεσίη ἐπέκειτο χάρις καταειμένη ἀλκήν.
λαοὶ δ' ἀμφεγάνυντο καὶ ἀχνύμενοι τὸ πάροιθεν·
ὡς δ' ὁπότ' ἀθρήσαντες ἀπ' οὔρεος ἀγροιῶται
Ἶριν ἀνεγρομένην ἐξ εὐρυπόροιο θαλάσσης,
ὄμβρου ὅτ' ἰσχανόωσι θεουδέος, ὁππότ' ἀλωαὶ
ἤδη ἀπαυαίνονται ἐελδόμεναι Διὸς ὕδωρ,
ὀψὲ δ' ὑπηχλύνθη μέγας οὐρανός, οἱ δ' ἐσιδόντες
ἐσθλὸν σῆμ' ἀνέμοιο καὶ ὑετοῦ ἐγγὺς ἐόντος
χαίρουσιν, τὸ πάροιθεν ἐπιστενάχοντες ἀρούραις·
ὣς ἄρα Τρώιοι υἷες, ὅτ' ἔδρακον ἔνδοθι πάτρης
δεινὴν Πενθεσίλειαν ἐπὶ πτόλεμον μεμαυῖαν,
γήθεον· ἐλπωρὴ γὰρ ὅτ' ἐς φρένας ἀνδρὸς ἵκηται
ἀμφ' ἀγαθοῦ, στονόεσσαν ἀμαλδύνει κακότητα.
τοὔνεκα καὶ Πριάμοιο νόος πολέα στενάχοντος
καὶ μέγ' ἀκηχεμένοιο περὶ φρεσὶ τυτθὸν ἰάνθη·
ὡς δ' ὅτ' ἀνὴρ ἀλαοῖσιν ἐπ' ὄμμασι πολλὰ μογήσας
ἱμείρων ἰδέειν ἱερὸν φάος ἢ θανέεσθαι
ἢ πόνῳ ἰητῆρος ἀμύμονος ἠὲ θεοῖο
ὄμματ' ἀπαχλύσαντος ἴδῃ φάος Ἠριγενείης,
οὐ μὲν ὅσον τὸ πάροιθεν, ὅμως δ' ἄρα βαιὸν ἰάνθη
πολλῆς ἐκ κακότητος, ἔχει δ' ἔτι πήματος ἄλγος
αἰνὸν ὑπὸ βλεφάροισι λελειμμένον· ὣς ἄρα δεινὴν
υἱὸς Λαομέδοντος ἐσέδρακε Πενθεσίλειαν·
παῦρον μὲν γήθησε, τὸ δὲ πλέον εἰσέτι παίδων
ἄχνυτ' ἀποκταμένων. ἄγε δ' εἰς ἑὰ δώματ' ἄνασσαν

AMP, *μειδιόωσ' rspst*[1]*l*, quod lacunae signis ante h. v. positis [velut *σμερδαλέον μὲν ἔφηνεν ἐπισκύνιον βλοσυρῶπις*] rec. *k*; *μείδησεν δ' hy* 60 fortasse *-ερύθαινε* *-θεν v*, *-θε k* 64 *-ττης v*, *-σσης Mk* 69 *-σι v*, *-σιν C*[1]*k* 76 *ὑπ' st*[1]*sp*

καί μιν προφρονέως τίεν ἔμπεδον εὖτε θύγατρα
τηλόθε νοστήσασαν ἐεικοστῷ λυκάβαντι,
καί οἱ δόρπον ἔτευξε πανείδατον, οἷον ἔδουσι
κυδάλιμοι βασιλῆες, ὅτ' ἔθνεα δηώσαντες
δαίνυντ' ἐν θαλίῃσιν ἀγαλλόμενοι περὶ νίκῃ·
δῶρα δέ οἱ πόρε καλὰ καὶ ὄλβια, πολλὰ δ' ὑπέστη
δωσέμεν, ἣν Τρώεσσι δαϊζομένοις ἐπαμύνῃ.
ἡ δ' ἄρ' ὑπέσχετο ἔργον, ὅ τ' οὔ ποτε θνητὸς ἐώλπει,
δηώσειν Ἀχιλῆα καὶ εὐρέα λαὸν ὀλέσσειν
Ἀργείων, πυρσὸν δὲ νεῶν καθύπερθε βαλέσθαι,
νηπίη, οὐδέ τι ᾔδη ἐυμμελίην Ἀχιλῆα,
ὅσσον ὑπέρτατος ἦεν ἐνὶ φθισήνορι χάρμῃ.
τῆς δ' ὡς οὖν ἐπάκουσεν ἐὺς πάις Ἠετίωνος
Ἀνδρομάχη, μάλα τοῖα φίλῳ προσελέξατο θυμῷ·
„ἆ δειλή, τί νυ τόσσα μέγα φρονέουσ' ἀγορεύεις;
οὐ γάρ τοι σθένος ἐστὶν ἀταρβέι Πηλείωνι
μάρνασθ', ἀλλὰ σοὶ ὦκα φόνον καὶ λοιγὸν ἐφήσει.
λευγαλέη, τί μέμηνας ἀνὰ φρένας; ἦ νύ τοι ἄγχι
ἕστηκεν Θανάτοιο τέλος καὶ δαίμονος Αἶσα.
Ἕκτωρ γὰρ σέο πολλὸν ὑπέρτερος ἔπλετο δουρί,
ἀλλ' ἐδάμη κρατερός περ ἐών, μέγα δ' ἤκαχε Τρῶας,
οἵ ἑ θεὸν ὣς πάντες ἀνὰ πτόλιν εἰσορόωντο·
καί μοι ἔην μέγα κῦδος ἰδ' ἀντιθέοις τοκέεσσι
ζωὸς ἐών· ὡς εἴ με χυτὴ κατὰ γαῖα κεκεύθει,

86 ὥστε *v*, εὖτε *MPk* 87 -θε *v*, -θεν *MP*, -θι *k* 93 ὃ *v*, ὅ τ' *k* 95 sq. Ἀ., νῆας δὲ πυρὸς καθύπερθε βαλέσθαι· | νηπίη· οὐδέ *vP*, Ἀ. οὐδέ ceteris omissis *M*, v. 95 spurium iudicant *hyn*, Ἀργείων· οὐδ' ᾔδη ci. *t*, πυρὸς κ. θέρεσθαι *sp*, π. κ. ἐναύσειν *h*, πυρῆς κ. βαλέσθαι *st*², πυρσὸν δὲ νεῶν κ. β. *k*, πυρὸς καταπερσέμεν αἴθει et καταπρήσειν πυρὸς αἴθει *ego* conieci 98 ἐσάκ. *v*, ἐπάκ. *MPk* 99 Ἀ. δὲ μ. τ. πρ. *MP*, Ἀ. μ. τ. ἑῷ *v*, τοῖον ἑῷ *hl*, τοῖα φίλῳ *k* 101 ἔστι *M*, ἔσται (*k*)*l* 108 τοκέεσσιν *v*, -σι *k*, τεκέεσσι *MP*

πρίν ἑ δι' ἀνθερεῶνος ὑπ' ἔγχεϊ θυμὸν ὀλέσσαι·
νῦν δ' ἄρ' ἀάσπετον ἄλγος ὀιζυρῶς ἐσάθρησα,
κεῖνον ὅτ' ἀμφὶ πόληα ποδώκεες εἴρυον ἵπποι
ἀργαλέως Ἀχιλῆος, ὅ μ' ἀνέρος εὖνιν ἔθηκε
κουριδίου, τό μοι αἰνὸν ἄχος πέλει ἤματα πάντα."
ὣς φάθ' ἑὸν κατὰ θυμὸν ἐύσφυρος Ἠετιώνη
μνησαμένη πόσιος· μάλα γὰρ μέγα πένθος ἀέξει
ἀνδρὸς ἀποφθιμένοιο σαόφροσι θηλυτέρῃσιν.
ἠέλιος δὲ θοῇσιν ἑλισσόμενος περὶ δίνῃς
δύσατ' ἐς Ὠκεανοῖο βαθὺν ῥόον, ἤνυτο δ' ἠώς.
οἱ δ' ὅτε δὴ παύσαντο ποτοῦ δαιτός τ' ἐρατεινῆς,
δὴ τότε που δμῳαὶ στόρεσαν θυμήρεα λέκτρα
ἐν Πριάμοιο δόμοισι θρασύφρονι Πενθεσιλείῃ.
ἡ δὲ κιοῦσ' εὕδεσκεν, ὕπνος δέ οἱ ὄσσε κάλυψε
νήδυμος ἀμφιπεσών. μόλε δ' αἰθέρος ἐξ ὑπάτοιο
<Παλλάδος ἐννεσίῃσι> μένος δολόεντος Ὀνείρου,
ὅππως μιν λεύσσουσα κακὸν Τρώεσσι γένηται
οἷ τ' αὐτῇ, μεμαυῖα ποτὶ πτολέμου στροφάλιγγα.
καὶ τὰ μὲν ὣς ὥρμαινε δαΐφρων Τριτογένεια·
τῇ δ' ἄρα λυγρὸς Ὄνειρος ἐφίστατο πατρὶ ἐοικώς,
καί μιν ἐποτρύνεσκε ποδάρκεος ἄντ' Ἀχιλῆος
θαρσαλέως μάρνασθαι ἐναντίον· ἡ δ' ἀίουσα
γήθεεν ἐν φρεσὶ πάμπαν· ὀίσατο γὰρ μέγα ἔργον
ἐκτελέσειν αὐτῆμαρ ἀνὰ μόθον ὀκρυόεντα,
νηπίη, ἥ ῥ' ἐπίθησεν ὀιζυρῷ περ Ὀνείρῳ
ἑσπερίῳ, ὃς φῦλα πολυτλήτων ἀνθρώπων

110 σφε v, γε sp, ἑ k 111 ἐπάθρ. A, ἐσάθρ. MPwtlk 113 -κεν MP 119 ἄνυτο AMP 120 καὶ τοίη δ' ὅτε MP 123 ὄσσ' ἐκάλυψεν v, -ψε MP, ὄσσε κ. k 127 πτολέμοιο φάλαγγας v, πολ. φ. M, πτολ. γεφύρας vel κυδοιμόν st^2 (κυδ. prob. n), πτολέμου στροφάλιγγα ego 132 ὀίσατο AM, ὀίσσ. tlk

θέλγει ἐνὶ λεχέεσσιν ἅδην ἐπικέρτομα βάζων,
ὅς μιν ἄρ' ἐξαπάφησεν ἐποτρύνων πονέεσθαι.
ἀλλ' ὅτε δή ῥ' ἐπόρουσε ῥοδόσφυρος Ἠριγένεια,
δὴ τότε Πενθεσίλεια μέγ' ἐνθεμένη φρεσὶ κάρτος
ἐξ εὐνῆς ἀνέπαλτο καὶ ἀμφ' ὤμοισιν ἔδυνε
τεύχεα δαιδαλόεντα, τά οἱ θεὸς ὤπασεν Ἄρης.
πρῶτα μὲν ἂρ κνήμῃσιν ἐπ' ἀργυφέῃσιν ἔθηκε
κνημῖδας χρυσέας, αἵ οἱ ἔσαν εὖ ἀραρυῖαι·
ἕσσατο δ' αὖ θώρηκα παναίολον· ἀμφὶ δ' ἄρ' ὤμοις
θήκατο κυδιόωσα μέγα ξίφος, ᾧ πέρι πάντῃ
κουλεὸς εὖ ἤσκητο δι' ἀργύρου ἠδ' ἐλέφαντος·
ἂν δ' ἕλετ' ἀσπίδα δῖαν ἀλίγκιον ἄντυγι μήνης,
ἥ θ' ὑπὲρ Ὠκεανοῖο βαθυρρόου ἀντέλλῃσιν
ἥμισυ πεπληθυῖα περὶ γναμπτῇσι κεραίῃς·
τοίη μαρμαίρεσκεν ἀάσπετον· ἀμφὶ δὲ κρατὶ
θῆκε κόρυν κομόωσαν ἐθείρῃσι χρυσέῃσιν.
ὣς ἡ μὲν μορόεντα περὶ χροῒ θήκατο τεύχη·
ἀστεροπῇ δ' ἀτάλαντος ἐείδετο, τὴν ἀπ' Ὀλύμπου
ἐς γαῖαν προΐησι Διὸς μένος ἀκαμάτοιο
δεικνὺς ἀνθρώποισι μένος βαρυηχέος ὄμβρου
ἠὲ πολυρροίζων ἀνέμων ἄλληκτον ἰωήν.
αὐτίκα δ' ἐγκονέουσα διὲκ μεγάροιο νέεσθαι
δοιοὺς εἵλετ' ἄκοντας ὑπ' ἀσπίδα, δεξιτερῇ δὲ
ἀμφίτυπον βουπλῆγ' ὅν οἱ Ἔρις ὤπασε δεινὴ
θυμοβόρου πολέμοιο πελώριον ἔμμεναι ἄλκαρ.
τῷ ἐπικαγχαλόωσα τάχ' ἤλυθεν ἔκτοθι πύργων
Τρῶας ἐποτρύνουσα μάχην ἐς κυδιάνειραν

136 ἐν *v*, ἐνὶ (*st*^{1}) *MPk* 140 -νεν *MP* 141 θοὸς (*r*)*sp* 142 -ρέοισιν *A*, -ρέῃσιν *MPrt*, -φέῃσιν *kl* 147 ἔθετ' *v*, ἕλετ' *Glasewald l k* 159 ἀμφ. βουπλῆγα τόν *v*, ἀ. βουπλῆγ' ὅν *h l Tiedke*, βουπλῆγ' ἀ. τόν *k*

1 = ἄσχετον, unaufhaltsam. — 2 nicht zurückkehrend. — 3 Kriegsruhm erregend. — 4 zurückkehrend. —

ἐλθέμεναι· τοὶ δ' ὦκα συναγρόμενοι πεπίθοντο
ἄνδρες ἀριστῆες καί περ πάρος οὐκ ἐθέλοντες
στήμεναι ἄντ' Ἀχιλῆος· ὁ γὰρ περιδάμνατο πάντας.
ἡ δ' ἄρα κυδιάασκεν ἀάσχετον· ἕζετο δ' ἵππῳ
καλῷ τ' ὠκυτάτῳ θ', ὅν οἱ ἄλοχος Βορέαο
ὤπασεν Ὠρείθυια πάρος Θρήκην δὲ κιούσῃ
ξείνιον, ὅς τε θοῇσι μετέπρεπεν Ἁρπυίῃσι·
τῷ ῥα τόθ' ἑζομένη λίπεν ἄστεος αἰπὰ μέλαθρα
ἐσθλὴ Πενθεσίλεια· λυγραὶ δέ μιν ὀτρύνεσκον
Κῆρες ὁμῶς πρώτην τε καὶ ὑστατίην ἐπὶ δῆριν
ἐλθέμεν. ἀμφὶ δὲ Τρῶες ἀνοστήτοισι πόδεσσι
πολλοὶ ἕποντ' ἐπὶ δῆριν ἀναιδέα τλήμονι κούρῃ
ἰλαδόν, ἠύτε μῆλα μετὰ κτίλον, ὅς θ' ἅμα πάντων
νισσομένων προθέῃσι δαημοσύνῃσι νομῆος·
ὣς ἄρα τῇ γ' ἐφέποντο βίῃ μέγα μαιμώωντες
Τρῶες ἐυσθενέες καὶ Ἀμαζόνες ὀβριμόθυμοι.
ἡ δ' οἵη Τριτωνίς, ὅτ' ἤλυθεν ἄντα Γιγάντων,
ἢ Ἔρις ἐγρεκύδοιμος ἀνὰ στρατὸν ἀίσσουσα,
τοίη ἐνὶ Τρώεσσι θοὴ πέλε Πενθεσίλεια.
καὶ τότε δὴ Κρονίωνι πολυτλήτους ἀναείρας
χεῖρας Λαομέδοντος ἐὺς γόνος ἀφνειοῖο
εὔχετ' ἐς ἱερὸν αἰπὺ τετραμμένος Ἰδαίοιο
Ζηνός, ὃς Ἴλιον αἰὲν ἑοῖς ἐπιδέρκεται ὄσσοις·
„κλῦθι, πάτερ, καὶ λαὸν Ἀχαιικὸν ἤματι τῷδε
δὸς πεσέειν ὑπὸ χερσὶν Ἀρηιάδος βασιλείης,
καὶ δ' αὖ μιν παλίνορσον ἐμὸν ποτὶ δῶμα σάωσον

167 *κ. τ' ὠ. τε τόν AMP, κ. τ' ὠ. θ' ὅν hl Tiedke, κ. ὠ. τόν k* 168 *κιοῦσα v, κιούσῃ* st^1lk 176 *-θέῃσι AMP, -ῃσι tlk* 179 *οἵη δ' ἢ* st^1l 184 *ἠὺ v, αἰπὺ Dietsch k* 188 *δή μιν v, δ' ἤ μιν M, δ' ἡμίν P,* nec *δ' ἡμῖν* nec *δ' αὐτὴν* prob. *k, δ' αὖ μιν hk*

ἀζόμενος τεὸν υἷα πελώριον ὄβριμον Ἄρην
αὐτήν θ', οὕνεκ' ἔοικεν ἐπουρανίῃσι θεῇσιν
ἐκπάγλως καὶ σεῖο θεοῦ γένος ἐστὶ γενέθλης.
αἴδεσσαι δ' ἐμὸν ἦτορ, ἐπεὶ κακὰ πολλὰ τέτληκα
παίδων ὀλλυμένων, οὕς μοι περὶ Κῆρες ἔμαρψαν
Ἀργείων παλάμῃσι κατὰ στόμα δηιοτῆτος·
αἴδεο δ', ἕως ἔτι παῦροι ἀφ' αἵματός εἰμεν ἀγανοῦ
Δαρδάνου, ἕως ἀδάικτος ἔτι πτόλις, ὄφρα καὶ ἡμεῖς
ἐκ φόνου ἀργαλέοιο καὶ Ἄρεος ἀμπνεύσωμεν.“
ἦ ῥα μέγ' εὐχόμενος· τῷ δ' αἰετὸς ὀξὺ κεκληγὼς
ἤδη ἀποπνείουσαν ἔχων ὀνύχεσσι πέλειαν
ἐσσυμένως οἴμησεν ἀριστερός· ἀμφὶ δὲ θυμῷ
τάρβησεν Πριάμοιο νόος, φάτο δ' οὐκέτ' ἀθρήσειν
ζωὴν Πενθεσίλειαν ἀπὸ πτολέμοιο κιοῦσαν·
καὶ τὸ μὲν ὣς ἤμελλον ἐτήτυμον ἤματι κείνῳ
Κῆρες ὑπεκτελέειν· ὁ δ' ἄρ' ἄχνυτο θυμὸν ἐαγώς.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον, εὖτ' ἐσίδοντο
Τρῶας ἐπεσσυμένους καὶ Ἀρηίδα Πενθεσίλειαν,
τοὺς μὲν δὴ θήρεσσιν ἐοικότας, οἵ τ' ἐν ὄρεσσι
ποίμνῃς εἰροπόκοισι φόνον στονόεντα φέρουσι,
τὴν δὲ πυρὸς ῥιπῇ ἐναλίγκιον, ἥ τ' ἐπὶ θάμνοις
μαίνεται ἀζαλέοισιν ἐπειγομένου ἀνέμοιο·
καί τις ἅμ' ἀγρομένοισιν ἔπος ποτὶ τοῖον ἔειπε·
„τίς δὴ Τρῶας ἔγειρε μεθ' Ἕκτορα δῃωθέντα,
οὓς φάμεν οὐκέτι νῶιν ὑπαντιάσειν μεμαῶτας;
νῦν δ' ἄφαρ ἀίσσουσι λιλαιόμενοι μέγα χάρμης.
καί νύ τις ἐν μέσσοισιν ἐποτρύνει πονέεσθαι·

190 *θεῇσι M* 191 *δὴ A*, *καὶ MPk*, *δ' ἡ t*, *ἢ σεῖο θεουδέος l* 195 sq. *ὡς* bis *v*, *ἕως* (*rsc*)*spk* *ἐσμὲν v*, *εἰμεν spk* 201 *-σε v*, *-σεν hg* 206 hunc v. soli servaverunt *MP* 208 *πόνον v*, *φόνον rtlk*(*P?*) 212 *ἄγειρε v*, *ἔγ. k*

φαίης κεν θεὸν ἔμμεν, ἐπεὶ μέγα μήδεται ἔργον.
ἀλλ᾽ ἄγε, θάρσος ἄατον ἐνὶ στέρνοισι βαλόντες
ἀλκῆς μνησώμεσθα δαΐφρονος· οὐδὲ γὰρ ἡμεῖς
νόσφι θεῶν Τρώεσσι μαχησόμεθ᾽ ἤματι τῷδε."
ὣς φάτο· τοὶ δὲ φαεινὰ περὶ σφίσι τεύχεα θέντες
νηῶν ἐξεχέοντο μένος καταειμένοι ὤμοις.
σὺν δ᾽ ἔβαλον θήρεσσιν ἐοικότες ὠμοβόροισι
δῆριν ἐς αἱματόεσσαν, ὁμοῦ δ᾽ ἔχον ἔντεα καλά,
ἔγχεα καὶ θώρηκας ἐυσθενέας τε βοείας
καὶ κόρυθας βριαράς, ἕτερος δ᾽ ἑτέρου χρόα χαλκῷ
τύπτον ἀνηλεγέως· τὸ δ᾽ ἐρεύθετο Τρώιον οὖδας.
ἔνθ᾽ ἕλε Πενθεσίλεια Μολίονα Περσίνοόν τε
Εἴλισσόν τε καὶ Ἀντίθεον καὶ ἀγήνορα Λέρνον
Ἵππαλμόν τε καὶ Αἱμονίδην κρατερόν τ᾽ Ἐλάσιππον.
Δηρινόη δ᾽ ἕλε Λαόγονον, Κλονίη δὲ Μένιππον,
ὅς ῥα πάρος Φυλάκηθεν ἐφέσπετο Πρωτεσιλάῳ,
ὄππως κε Τρώεσσιν ἐυσθενέεσσι μάχηται.
τοῦ δ᾽ ἄρ᾽ ἀποφθιμένοιο Ποδάρκεϊ θυμὸς ὀρίνθη
Ἰφικληιάδῃ· τὸν γὰρ μέγα φίλαθ᾽ ἑταίρων.
αἶψα δ᾽ ὅ γ᾽ ἀντιθέην Κλονίην βάλε· τῆς δὲ διαπρὸ
ἦλθε δόρυ στιβαρὸν κατὰ νηδύος, ἐκ δέ οἱ ὦκα
δουρὶ χύθη μέλαν αἷμα, συνέσπετο δ᾽ ἔγκατα πάντα.
τῆς δ᾽ ἄρα Πενθεσίλεια χολώσατο, καί ῥα Ποδάρκεα
οὔτασεν ἐς μυῶνα παχὺν περιμήκεϊ δουρὶ
χειρὸς δεξιτερῆς, διὰ δὲ φλέβας αἱματοέσσας
κέρσε, μέλαν δέ οἱ αἷμα δι᾽ ἕλκεος οὐταμένοιο

217 λαβόντες v, βαλόντες bspl 226 ἀπηλ. v, ἀνηλ. ego
227 Μολίωνά (-έωνά P) τε AMP, Μόλωνά τε rtl, Μολίονα
sck 229 Ἱππαλμόν v, Ἵππ. k². 230 Δηριόνη v, -νόη Mk
Λαογόνον v, em. k² 231 -ῆθεν v, -άκηθεν ex P ego
232 μάχοιτο v, -ηται k

ἔβλυσεν ἐσσυμένως· ὁ δ' ἄρα στενάχων ἀπόρουσεν
εἰσοπίσω· μάλα γάρ οἱ ἐδάμνατο θυμὸν ἀνίη.
τοῦ δ' ἄρ' ἀπεσσυμένοιο ποθὴ Φυλάκεσσιν ἐτύχθη
ἄσπετος· ὃς δ' ἄρα βαιὸν ἀπὸ πτολέμοιο λιασθεὶς
κάτθανε καρπαλίμως σφετέρων ἐν χερσὶν ἑταίρων.
Ἰδομενεὺς δὲ Βρέμουσαν ἐνήρατο δούρατι τύψας
δεξιτερὸν παρὰ μαζόν, ἄφαρ δέ οἱ ἦτορ ἔλυσεν.
ἡ δ' ἔπεσεν μελίῃ ἐναλίγκιος ἥν τ' ἐν ὄρεσσι
δουροτόμοι τέμνουσιν ὑπείροχον, ἡ δ' ἀλεγεινὸν
ῥοῖζον ὁμῶς καὶ δοῦπον ἐρειπομένη προΐησιν·
ὣς ἡ ἀνοιμώξασα πέσεν, τῆς δ' ἅψεα πάντα
λῦσε μόρος, ψυχὴ δ' ἐμίγη πολυαέσιν αὔραις.
Εὐάνδρην δ' ἄρα Μηριόνης ἰδὲ Θερμώδωσαν
εἷλεν ἐπεσσυμένας ὀλοὴν ἀνὰ δηιοτῆτα,
τῇ μὲν ἄρ' ἐς κραδίην ἐλάσας δόρυ, τῇ δ' ὑπὸ νηδὺν
φάσγανον ἐγχρίμψας· τὰς δ' ἐσσυμένως λίπεν αἰών.
Δηρινόην δ' ἐδάμασσεν Ὀιλέος ὄβριμος υἱὸς
ἔγχεϊ ὀκριόεντι διὰ κληῗδα τυχήσας.
Ἀλκιβίης δ' ἄρα Τυδείδης καὶ Δηριμαχείης
ἄμφω κρᾶτ' ἀπέκοψε σὺν αὐχέσιν ἄχρις ἐπ' ὤμους
ἄορι λευγαλέῳ· ταὶ δ' ἠύτε πόρτιες ἄμφω
κάππεσον, ἅς τ' αἰζηὸς ἄφαρ ψυχῆς ἀπαμέρσῃ
κόψας αὐχενίους στιβαρῷ βουπλῆγι τένοντας·
ὣς αἱ Τυδείδαο πέσον παλάμῃσι δαμεῖσαι
Τρώων ἂμ πεδίον σφετέρων ἀπονόσφι καρήνων.
τῇσι δ' ἐπὶ Σθένελος κρατερὸν κατέπεφνε Κάβειρον,

246 ἐνὶ *wl* 247 μακρῷ *v* et sic *k* lacunae signis auctore *h* positis, τύψας *sp* 250 δρυοτόμοι *v*, δουροτόμοι *Mk* 254 -δουσαν *v*, -δοσαν *M*, -δοσσαν *lP*, -δωσαν *lbk* 256 δορὶ et 257 φασγάνῳ *st*[1] ἦτορ *v*, αἰών *rk* 258 -όνην *v*, -νόην *MPk* 259 ὀκρυ- *v*, ὀκρι- *splk*, ὀξυ- *h*

ὃς κίεν ἐκ Σηστοῖο λιλαιόμενος πολεμίζειν
Ἀργείοις, οὐδ᾽ αὖϑις ἑὴν νοστήσατο πάτρην.
τοῦ δὲ Πάρις κραδίην ἐχολώσατο δῃωϑέντος,
καί ῥ᾽ ἔβαλε Σϑενέλοιο κατaντίον· οὐδ᾽ ἄρα τόν γε
οὔτασεν ἐλδόμενός περ, ἀπεπλάγχϑη γὰρ ὀιστὸς
ἄλλῃ, ὅπῃ μιν Κῆρες ἀμείλιχοι ἰϑύνεσκον·
κτεῖνε δ᾽ ἄρ᾽ ἐσσυμένως Εὐήνορα χαλκεομίτρην,
ὅς ῥ᾽ ἐκ Δουλιχίοιο κίε Τρώεσσι μάχεσϑαι.
τοῦ δ᾽ ἄρ᾽ ἀποφϑιμένοιο πάις Φυλῆος ἀγανοῦ
ὠρίνϑη· μάλα δ᾽ ὦκα, λέων ὣς πώεσι μήλων,
ἔνϑορε· τοὶ δ᾽ ἅμα πάντες ὑπέτρεσαν ὄβριμον ἄνδρα·
κτεῖνε γὰρ Ἰτυμονῆα καὶ Ἱππασίδην Ἀγέλαον,
οἵ ῥ᾽ ἀπὸ Μιλήτοιο φέρον Δαναοῖσιν ὁμοκλὴν
Νάστῃ ὑπ᾽ ἀντιϑέῳ καὶ ὑπ᾽ Ἀμφιμάχῳ μεγαϑύμῳ,
οἳ Μυκάλην ἐνέμοντο Λάτμοιό τε λευκὰ κάρηνα
Βράγχου τ᾽ ἄγκεα μακρὰ καὶ ἠιόεντα Πάνορμον
Μαιάνδρου τε ῥέεϑρα βαϑυρρόου, ὅς ῥ᾽ ἐπὶ γαῖαν
Καρῶν ἀμπελόεσσαν ἀπὸ Φρυγίης πολυμήλου
εἶσι πολυγνάμπτοισιν ἑλισσόμενος προχοῇσι.
καὶ τοὺς μὲν κατέπεφνε Μέγης ἐν δηιοτῆτι·
ἄλλους δ᾽ αὖτ᾽ ἐδάμασσεν, ὅσους κίχε δουρὶ κελαινῷ·
ἐν γάρ οἱ στέρνοισι ϑράσος βάλε Τριτογένεια,
ὄφρά κε δυσμενέεσσιν ὀλέϑριον ἦμαρ ἐφείῃ.
Δρησαῖον δ᾽ ἐδάμασσεν ἀρηίφιλος Πολυποίτης,

272 ἐσσύμενός *v*, ἱέμενός *k*[2], ἐλδόμενός *ego* 274 γὰρ *v*, δ᾽ ἄρ᾽ *bk* 275 κίεν *v*, κίε *ego* 276 ἀγανὸς *v*, -οῦ ex *P ego* 278 ἄρα *v*, ἄμα *M*, ἅμα *PVk* 279 δ᾽ ἄρ᾽ *b* 281 *N.* ἅμ᾽ *v*, ὑπ᾽ *k*(*sph*) Ἀγχεμ. *AM*, Ἀμφιμ. *PVtlk* lacunae signa post h. v. pos. *k* [velut οἳ γὰρ δὴ Καρῶν ἡγήτορες ἦσαν ἁπάντων] 282 Τιτάνοιό *AMP*, Λάτμοιό *ptlk* 286 -γνάμπτῃσιν *v*, -οισιν *MPwlk* προχοῇσιν *v*, -ῇσι *MPk* 287 ἐνὶ *wl* 290 γε *v*, κε *kl* -είῃ *v*, -είη *MPk*

τὸν τέκε δῖα Νέαιρα περίφρονι Θειοδάμαντι
μιχθεῖσ' ἐν λεχέεσσιν ὑπαὶ Σιπύλῳ νιφόεντι,
ἧχι θεοὶ Νιόβην λᾶαν θέσαν, ἧς ἔτι δάκρυ
πουλὺ μάλα στυφελῆς καταλείβεται ὑψόθι πέτρης,
καί οἱ συστοναχοῦσι ῥοαὶ πολυηχέος Ἕρμου
καὶ κορυφαὶ Σιπύλου περιμήκεες, ὧν καθύπερθεν
ἐχθρὴ μηλονόμοισιν ἀεὶ περιπέπτατ' ὀμίχλη·
ἡ δὲ πέλει μέγα θαῦμα παρεσσυμένοισι βροτοῖσιν,
οὕνεκ' ἔοικε γυναικὶ πολυστόνῳ, ἥ τ' ἐπὶ λυγρῷ
πένθεϊ μυρομένη μάλα μυρία δάκρυα χεύει·
καὶ τὸ μὲν ἀτρεκέως φῇς ἔμμεναι, ὁππότ' ἄρ' αὐτὴν
τηλόθεν ἀθρήσειας· ἐπὴν δέ οἱ ἐγγὺς ἵκηαι,
φαίνεται αἰπήεσσα πέτρη Σιπύλοιό τ' ἀπορρώξ·
ἀλλ' ἡ μὲν μακάρων ὀλοὸν χόλον ἐκτελέουσα
μύρεται ἐν πέτρῃσιν ἔτ' ἀχνυμένῃ εἰκυῖα.
ἄλλοι δ' ἀμφ' ἄλλοισι φόνον καὶ κῆρα τίθεντο
ἀργαλέην· δεινὸς γὰρ ἐνεστρωφᾶτο Κυδοιμὸς
λαοῖς ἐν μέσσοισιν· ἀταρτηρὸν δέ οἱ ἄγχι
εἱστήκει Θανάτοιο τέλος, περὶ δέ σφισι Κῆρες
λευγαλέαι στρωφῶντο φόνον στονόεντα φέρουσαι.
πολλῶν δ' ἐν κονίῃσι λύθη κέαρ ἤματι κείνῳ
Τρώων τ' Ἀργείων τε, πολὺς δ' ἀλαλητὸς ὀρώρει·
οὐ γάρ πως ἀπέληγε μένος μέγα Πενθεσιλείης,
ἀλλ' ὥς τίς τε βόεσσι κατ' οὔρεα μακρὰ λέαινα
ἐνθόρῃ ἀίξασα βαθυσκοπέλου διὰ βήσσης
αἵματος ἱμείρουσα, τό οἱ μάλα θυμὸν ἰαίνει,
ὣς τῆμος Δαναοῖσιν Ἀρηιὰς ἔνθορε κούρη.
οἱ δ' ὀπίσω χάζοντο τεθηπότα θυμὸν ἔχοντες·

298 -ίπτατ' *v*, -πέπτατ' *spk* 307 κῆρ' ἐτίθ. *v*, κῆρα τίθ. k^1 in praef. k^2 308 -έον *v*, -έοι (*k* ol.) *l*, -έην *pk*

ἡ δ' ἕπετ' ἠύτε κῦμα βαρυγδούποιο θαλάσσης
νήεσιν ὠκείῃσιν, ὅθ' ἱστία λευκὰ πετάσσῃ
οὖρος ἐπειγόμενος, βοόωσι δὲ πάντοθεν ἄκραι
πόντου ἐρευγομένοιο ποτὶ χθονὸς ἠόνα μακρήν·
ὣς ἥ γ' ἑσπομένη Δαναῶν ἐδάιξε φάλαγγας,
καί σφιν ἐπηπείλησε μέγα φρεσὶ κυδιόωσα·
„ὦ κύνες, ὡς Πριάμοιο κακὴν ἀποτίσετε λώβην
σήμερον· οὐ γάρ πώ τις ἐμὸν σθένος ἐξυπαλύξας
χάρμα φίλοις τοκέεσσι καὶ υἱάσιν ἠδ' ἀλόχοισιν
ἔσσεται, οἰωνοῖς δὲ βόσις καὶ θηρσὶ θανόντες
κείσεσθ', οὐδέ τι τύμβος ἐφ' ὑμέας ἵξεται αἴης.
πῆ νῦν Τυδείδαο βίη, πῇ δ' Αἰακίδαο,
ποῦ δὲ καὶ Αἴαντος; τοὺς γὰρ φάτις ἔμμεν ἀρίστους·
ἀλλ' ἐμοὶ οὐ τλήσονται ἐναντία δηριάασθαι,
μή σφιν ἀπὸ μελέων ψυχὰς φθιμένοισι πελάσσω."
ἦ ῥα καὶ Ἀργείοισι μέγα φρονέουσ' ἐνόρουσε
θηρὶ βίην εἰκυῖα, πολὺν δ' ὑπεδάμνατο λαόν,
ἄλλοτε μὲν βουπλῆγι βαρυστόμῳ, ἄλλοτε δ' αὖτε
πάλλουσ' ὀξὺν ἄκοντα· φέρεν δέ οἱ αἰόλος ἵππος
ἰοδόκην καὶ τόξον ἀμείλιχον, εἴ που ἄρ' αὐτῇ
χρειὼ ἀν' αἱματόεντα μόθον βελέων ἀλεγεινῶν
καὶ τόξοιο πέλοιτο. θοοὶ δέ οἱ ἄνδρες ἕποντο,
Ἕκτορος ἀγχεμάχοιο κασίγνητοί τε φίλοι τε,
ὄβριμον ἐν στέρνοισιν ἀναπνείοντες Ἄρηα,
οἳ Δαναοὺς ἐδάιξον ἐυξέστῃς μελίῃσι.
τοὶ δὲ θοοῖς φύλλοισιν ἐοικότες ἢ ψεκάδεσσι

325 *μειδιόωσα AM, κυδ. tlk(P?)* 326 *οἷ v, ὡς blk* 329 *οἴσεται v, ἔσσ. k* 332 *ποῦ δ' Αἴ. AE*[1], *ἔβη* add. *VV*[3]*rtl*, *ποῦ δὲ καὶ Αἴ. MPk* 334 *κεδάσσω tl* 336 *Κηρὶ v, θηρὶ k λίην* ci. *ls* 337 *βαθυστ. v, βαρυστ. plk* 341 *μιν AMPt, μετ' l*[2], *οἱ rhspl*[1]*k* 344 *-σιν v, σι Mk* (an *-σιν* et v. 345 *οἳ*?) 345 *-σιν v, -σι MPk*

πῖπτον ἐπασσύτεροι, μέγα δ' ἔστενεν ἄσπετος αἶα
αἵματι δευομένη νεκύεσσί τε πεπληθυῖα.
ἵπποι δ' ἀμφὶ βέλεσσι πεπαρμένοι ἠ̇ μελίῃσιν
ὑστάτιον χρεμέτιζον ἑὸν μένος ἐκπνείοντες,
οἱ δὲ κόνιν βρυγμοῖσι δεδραγμένοι ἀσπαίρεσκον·
τοὺς δ' ἄρα Τρώιοι ἵπποι ἐπεσσύμενοι μετόπισθεν
ἄντλον ὅπως στείβεσκον ὁμοῦ κταμένοισι πεσόντας.
καί τις ἐνὶ Τρώεσσιν ἀγάσσατο μακρὰ γεγηθώς,
ὡς ἴδε Πενθεσίλειαν ἀνὰ στρατὸν ἀίσσουσαν
λαίλαπι κυανέῃ ἐναλίγκιον, ἥ τ' ἐνὶ πόντῳ
μαίνεθ', ὅτ' αἰγοκερῆι συνέρχεται ἠελίου ἴς.
καί ῥ' ὅ γε μαψιδίῃσιν ἐπ' ἐλπωρῇσιν ἔειπεν·
,,ὦ φίλοι, ὡς ἀναφανδὸν ἀπ' οὐρανοῦ εἰλήλουθε
σήμερον ἀθανάτων τις, ἵν' Ἀργείοισι μάχηται
ἡμῖν ἦρα φέρουσα Διὸς κρατερόφρονι βουλῇ,
ὃς τάχα που μέμνηται ἐυσθενέος Πριάμοιο,
ὅς ῥά οἱ εὔχεται εἶναι ἀφ' αἵματος ἀθανάτοιο.
οὐ γὰρ τήνδε γυναῖκά γ' ὀίομαι εἰσοράασθαι
αὔτως θαρσαλέην τε καὶ ἀγλαὰ τεύχε' ἔχουσαν,
ἀλλ' ἄρ' Ἀθηναίην ἢ καρτερόθυμον Ἐνυὼ
ἢ Ἔριν ἢ κλειτὴν Λητωίδα· καί μιν ὀίω
σήμερον Ἀργείοισι φόνον στονόεντα βαλέσθαι
νῆάς τ' ἐμπρήσειν ὀλοῷ πυρί, τῇσι πάροιθεν
ἤλυθον ἐς Τροίην νῶιν κακὰ πολλὰ φέροντες,
ἤλυθον ἄσχετον ἄμμιν ὑπ' Ἄρεϊ πῆμα φέροντες·
ἀλλ' οὐ μὰν παλίνορσοι ἐς Ἑλλάδα νοστήσαντες

350 *δραχμοῖσι AMP*, *δραγμ tl*, *γναθμ. r*, *σκαρθμ. hsp*, *λαχμ. k*, *δηγμ. (k)hw*, *βρυγμ. ego* 366 *Ἔριδ' v*, *Ἔριν ego* 369 sq. alterutrum versum omittendum iudicant *pt*, v. 370 damnant *st*[1] *l*, duplicem recensionem ipsius poetae esse censet *st*[2], ambos retinent *spk* an fuit in v. 369 *κακὰ μητιόωντες* vel simile quidpiam? in v. 370 *ἐπ' v*, *ὑπ' st*[1]*spk*

πάτρην εὐφρανέουσιν, ἐπεὶ θεὸς ἄμμιν ἀρήγει."
ὣς ἄρ' ἔφη Τρώων τις ἐνὶ φρεσὶ πάγχυ γεγηθώς,
νήπιος, οὐδ' ἄρ' ἐφράσσατ' ἐπεσσύμενον βαρὺ πῆμα
οἷ αὐτῷ καὶ Τρωσὶ καὶ αὐτῇ Πενθεσιλείῃ.
οὐ γάρ πώ τι μόθοιο δυσηχέος ἀμφὶ πέπυστο
Αἴας ὀβριμόθυμος ἰδὲ πτολίπορθος Ἀχιλλεύς,
ἀλλ' ἄμφω περὶ σῆμα Μενοιτιάδαο κέχυντο
μνησάμενοι ἑτάροιο, γόος δ' ἔχεν ἄλλυδις ἄλλον.
τοὺς γάρ δὴ μακάρων τις ἐρήτυε νόσφι κυδοιμοῦ,
ὄφρ' ἀλεγεινὸν ὄλεθρον ἀναπλήσωσι δαμέντες
πολλοὶ ὑπὸ Τρώεσσι καὶ ἐσθλῇ Πενθεσιλείῃ,
ἥ σφιν ἐπασσυτέροις κακὰ μήδετο, καί οἱ ἄεξεν
ἀλκὴ ὁμῶς καὶ θάρσος ἐπὶ πλέον, οὐδέ οἱ αἰχμὴ
μαψιδίη ποτὲ δῦνεν, ἀεὶ δ' ἢ νῶτα δάιζε
φευγόντων ἢ στέρνα καταντίον ἀισσόντων.
θερμῷ δ' αἵματι πάμπαν ἐδεύετο· γυῖα δ' ἐλαφρὰ
ἔπλετ' ἐπεσσυμένης, κάματος δ' οὐ δάμνατο θυμὸν
ἄτρομον, ἀλλ' ἀδάμαντος ἔχεν μένος· εἰσέτι γάρ μιν,
(οὔ πω ἐπὶ κλόνον αἰνὸν ἐποτρύνουσ' Ἀχιλῆα,) 389a
Αἶσα λυγρὴ κύδαινεν, ἀπόπροθι δ' ἑστηυῖα
χάρμης κυδιάασκεν ὀλέθριον, οὕνεκ' ἔμελλε
κούρην (οὐ μετὰ δηρὸν) ὑπ' Αἰακίδαο χέρεσσι

* = ὀλεθρίως

375 αἰνῇ (*k* ol.) *st*² 376 ἀμφιπεπ. *AMP* 383 ἐπαΐσσουσα *AMP* et sic *k* lacunae signis auctore *h* positis [velut κακὰς ἐπὶ Κῆρας ἴαλλεν· | ἄλλα δὲ πολλὰ πορεῖν], ἐπεσσυμένη *rtl*, ἐπασσυτέροις *st*², quod prob. *n* 384 sq. οὐδέ ποτ' *k* αἰχμὴν | μαψιδίην *Ak*, -ην -η *M*, -η -η (*P*?) *dtl* ποτ' (πότ' *P*) ἴθυνεν *AMP*, ποτ' om. *k*, ποτὲ θῦνεν *dtl*, ποτὲ δῦνεν *ego* 385 -ξε *tlk*² errore 389a in libris legitur οὕνεκα (οὔν. *P*) μοῖρα ποτὶ κλεινὸν ὀτρύνουσ' (-σα *MP*) ἀχιλῆα, quem versum damnant *rpst*², omittunt *tl*, constituunt *k*¹ [πολεμέως] Ἀχιλῆα ποτὶ κλυτὸν ὀτρύνουσα vel [ἀργαλέως] Ἀχιλῆος ἐπὶ κλόνον ὀ., *h* [ὀκναλέη] vel [ὀκνηρὴ] ποτὶ κλεινὸν ἐποτρύνουσ' Ἀχιλῆα, *k*² * * ποτὶ δῖον ἐποτρ. Ἀ.; *ego* οὔπω ἐπὶ κλόνον αἰνὸν ἐ. Ἀ. scripsi

δάμνασθ'· ἀμφὶ δέ μιν ζόφος ἔκρυφε· τὴν δ' ὀρόθυνεν
αἰὲν ἄϊστος ἐοῦσα καὶ ἐς κακὸν ἦγεν ὄλεθρον
ὕστατα κυδαίνουσ'· ἡ δ' ἄλλοθεν ἄλλον ἔναιρεν.
ὡς δ' ὁπόθ' ἑρσήεντος ἔσω κήποιο θοροῦσα
ποίης ἐλδομένη θυμηδέος εἴαρι πόρτις
ἀνέρος οὐ παρεόντος ἐπέσσυται ἄλλοθεν ἄλλη
σινομένη φυτὰ πάντα νέον μάλα τηλεθόωντα,
καὶ τὰ μὲν ἂρ κατέδαψε, τὰ δ' ἐν ποσὶν ἠμάλδυνεν·
ὣς ἄρ' Ἀχαιῶν υἷας ἐπεσσυμένη καθ' ὅμιλον
κούρη Ἐνυαλίη τοὺς μὲν κτάνε, τοὺς δ' ἐφόβησε.
Τρωιάδες δ' ἀπάνευθεν ἀρήια ἔργα γυναικὸς
θαύμαζον. πολέμοιο δ' ἔρως λάβεν ἱπποδάμοιο
Ἀντιμάχοιο θύγατρα, Μενεπτολέμοιο δ' ἄκοιτιν,
Τισιφόνην· κρατερῇσι δ' ὑπὸ φρεσὶν ἐμμεμαυῖα
θαρσαλέον φάτο μῦθον ὁμήλικας ὀτρύνουσα
δῆριν ἔπι στονόεσσαν· ἔγειρε δέ οἱ θράσος ἀλκήν·
„ὦ φίλαι, ἄλκιμον ἦτορ ἐνὶ στέρνοισι βαλοῦσαι
ἀνδράσιν ἡμετέροισιν ὁμοίιον, οἳ περὶ πάτρης
δυσμενέσιν μάρνανται ὑπὲρ τεκέων τε καὶ ἡμέων
οὔ ποτ' ἀναπνείοντες ὀιζύος — ἀλλὰ καὶ αὐταὶ
παρθέμεναι φρεσὶ θυμὸν ἴσης μνησώμεθα χάρμης.
οὐ γὰρ ἀπόπροθέν εἰμεν ἐυσθενέων αἰζηῶν,
ἀλλ' οἷον κείνοισι πέλει μένος, ἐστὶ καὶ ἡμῖν·
ἶσοι δ' ὀφθαλμοὶ καὶ γούνατα, πάντα δ' ὁμοῖα,
ξυνὸν δ' αὖ πάντεσσι φάος καὶ νήχυτος ἀήρ,
φορβὴ δ' οὐχ ἑτέρη· τί δ' ἐπ' ἀνδράσι λώιον ἄλλο
θῆκε θεός; τῶ μή τι φεβώμεθα δηιοτῆτα.

404 Ἱπποδάμειαν *v*, ἱπποδάμοιο (*k*[1])*k*[2] 405 Μεν. *AMk*[2] et 406 -φόνην *AMPk*[2], μεν. et -φόνου *ceteri* 409 ἐπὶ *v*, ἐνὶ (*t*)*bst*[2]*k* βαλοῦσαι *v*, βάλεσθε *r*, λαβοῦσαι *hst*[2]*k* 415 ἔστι *AMk*, ἐστὶ *tl*(*P*?) 419 -τῆτος *v*, -τῆτα *k* (μὴ φειδώμ. -τῆτος *k* ol. ci.)

ἦ οὐχ ὁράατε γυναῖκα μέγ' αἰζηῶν προφέρουσαν
ἀγχεμάχων; τῆς δ' οὔ τι πέλει σχεδὸν οὔτε γενέθλη
οὔτ' ἄρ' ἑὸν πτολίεθρον, ὑπὲρ ξείνοιο δ' ἄνακτος
μάρναται ἐκ θυμοῖο καὶ οὐκ ἐμπάζεται ἀνδρῶν
ἐνθεμένη φρεσὶ θάρσος ἀταρτηρόν τε νόημα.
ἡμῖν δ' ἄλλοθεν ἄλλα παραὶ ποσὶν ἄλγεα κεῖται·
τῆς μὲν γὰρ φίλα τέκνα καὶ ἀνέρες ἀμφὶ πόληι
ὤλλυνθ', αἱ δὲ τοκῆας ὀδυρόμεθ' οὐκέτ' ἐόντας,
ἄλλαι δ' αὖτ' ἀκάχηνται ἀδελφειῶν ἐπ' ὀλέθρῳ
καὶ πηῶν· οὐ γάρ τις ὀιζυρῆς κακότητος
ἄμμορος, ἐλπωρὴ δὲ πέλει καὶ δούλιον ἦμαρ
εἰσιδέειν. τῷ μή τις ἔτ' ἀμβολίη πολέμοιο
εἴη τειρομένῃσιν· ἔοικε γὰρ ἐν δαῒ μᾶλλον
τεθνάμεν ἢ μετόπισθεν ὑπ' ἀλλοδαποῖσιν ἄγεσθαι
νηπιάχοις ἅμα παισὶν ἀνιηρῇ ὑπ' ἀνάγκῃ
ἄστεος αἰθομένοιο καὶ ἀνδρῶν οὐκέτ' ἐόντων."
  ὣς ἄρ' ἔφη· πάσῃσι δ' ἔρως στυγεροῖο μόθοιο
ἔμπεσεν· ἐσσυμένως δὲ πρὸ τείχεος ὁρμαίνεσκον
βήμεναι ἐν τεύχεσσιν ἀρηγέμεναι μεμαυῖαι
ἄστεϊ καὶ λαοῖσιν, ὀρίνετο δέ σφισι θυμός.
ὡς δ' ὅτ' ἔσω σίμβλοιο μέγ' ἰύζωσι μέλισσαι
χείματος οὐκέτ' ἐόντος, ὅτ' ἐς νομὸν ἐντύνονται
ἐλθέμεν, οὐδ' ἄρα τῇσι φίλον πέλει ἔνδοθι μίμνειν,
ἄλλη δ' αὖθ' ἑτέρην προκαλίζεται ἐκτὸς ἄγεσθαι·
ὣς ἄρα Τρωιάδες ποτὶ φύλοπιν ἐγκονέουσαι
ἀλλήλας ὤτρυνον· ἀπόπροθι δ' εἴρια θέντο
καὶ ταλάρους, ἀλεγεινὰ δ' ἐπ' ἔντεα χεῖρας ἴαλλον.
  καί νύ κεν ἄστεος ἐκτὸς ἅμα σφετέροισιν ὄλοντο

426 τῇ *v*, τῆς *splk* 427 ὄλλ. *v*, ὤλλ. *k* 434 ἐπ' *A*, ὑπ' *MPsplk* 437 ὡρμ. *v*, ὁρμ. *Mk* 443 αὖ *v*, αὖθ' *Mlk* 445 ὄτρ. *v*, ὤτρ. *MPk*

ἀνδράσι καὶ σθεναρῇσιν Ἀμαζόσιν ἐν δαῒ κείνῃ,
εἰ μή σφεας κατέρυξε πύκα φρονέουσα Θεανὼ
ἐσσυμένας πινυτοῖσι παραυδήσασ' ἐπέεσσι·
„τίπτε ποτὶ κλόνον αἰνὸν ἐελδόμεναι πονέεσθαι,
σχέτλιαι, οὔ τι πάροιθε πονησάμεναι περὶ χάρμης,
ἀλλ' ἄρα νήιδες ἔργον ἐπ' ἄτλητον μεμαυῖαι,
ὄρνυσθ' ἀφραδέως; οὐ γὰρ σθένος ἔσσεται ἶσον
ὑμῖν καὶ Δαναοῖσιν ἐπισταμένοισι μάχεσθαι.
αὐτὰρ Ἀμαζόσι δῆρις ἀμείλιχος ἱππασίαι τε
εὔαδον ἐξ ἀρχῆς, καὶ ὅσ' ἀνέρες ἔργα πένονται·
τοὔνεκ' ἄρά σφισι θυμὸς ἀρήιος αἰὲν ὄρωρεν,
οὐδ' ἀνδρῶν δεύονται, ἐπεὶ πόνος ἐς μέγα κάρτος
θυμὸν ἀνηέξησε καὶ ἄτρομα γούνατ' ἔθηκε.
τὴν δὲ φάτις καὶ Ἄρηος ἔμεν κρατεροῖο θύγατρα·
τῷ οἱ θηλυτέρην τιν' ἐριζέμεν οὔ τι ἔοικεν·
ἠὲ τάχ' ἀθανάτων τις ἐπήλυθεν εὐχομένοισι.
πᾶσι δ' ἄρ' ἀνθρώποισιν ὁμὸν γένος, ἀλλ' ἐπὶ ἔργα
στρωφῶντ' ἄλλος ἐπ' ἄλλα, πέλει δ' ἄρα κεῖνο φέριστον
ἔργον, ὅ τι φρεσὶν ᾗσιν ἐπιστάμενος πονέηται·
τοὔνεκα δηιοτῆτος ἀποσχόμεναι κελαδεινῆς
ἱστὸν ἐπεντύνεσθαι ἑῶν ἔντοσθε μελάθρων,
ἀνδράσι δ' ἡμετέροισι περὶ πτολέμοιο μελήσει.
ἐλπωρὴ δ' ἀγαθοῖο τάχ' ἔσσεται, οὕνεκ' Ἀχαιοὺς
δερκόμεθ' ὀλλυμένους, μέγα δὲ κράτος ὄρνυται ἀνδρῶν
ἡμετέρων· οὐδ' ἔστι κακοῦ δέος, οὔ τι γὰρ ἄστυ
δήιοι ἀμφὶς ἔχουσιν ἀνηλέες, οὔτ' ἀλεγεινὴ

448 κεῖναι *v*, -ῃ *rsplk* 450 -εσσιν *v*, -εσσι *Mk*
451 ποτὶ om. *AE*[1], add. *M(P) r* 455 ὑμῖν *v*, ἡμὶν *MPk*
457 -δεν *MP* ἀνέρος ἔ. πέλονται *v*, ἀνέρες *M*, ἀνέρες ἔ. μέλονται *k Linsenbarth*, νέμονται et πέν. ci. *k*, posterius recepi
459 εἰς *v*, ἐς *k* 463 -σιν *v*, -σι *Mk* 468 -σθε ἑῶν *v*, -σθαι ἑῶν *hl*, -σθε φίλων *k* 472 κακὸν *AMP*, -ῶν *ptl*, -οῦ *k*

γίνετ᾽ ἀναγκαίη καὶ θηλυτέρῃσι μάχεσθαι.“
ὣς φάτο· ταὶ δ᾽ ἐπίθοντο παλαιοτέρῃ περ ἐούσῃ,
ὑσμίνην δ᾽ ἀπάνευθεν ἐσέδρακον. ἡ δ᾽ ἔτι λαοὺς
δάμνατο Πενθεσίλεια· περιτρομέοντο δ᾽ Ἀχαιοί,
οὐδέ σφιν θανάτοιο πέλε στονόεντος ἄλυξις,
ἀλλ᾽ ἅτε μηκάδες αἶγες ὑπὸ βλοσυρῇσι γένυσσι
πορδάλιος κτείνοντο, ποθὴ δ᾽ ἔχεν οὐκέτι χάρμης
ἀνέρας, ἀλλὰ φόβοιο, καὶ ἄλλυδις ἤιον ἄλλοι,
οἱ μὲν ἀπορρίψαντες ἐπὶ χθόνα τεύχε᾽ ἀπ᾽ ὤμων,
οἱ δ᾽ ἄρα σὺν τεύχεσσι, καὶ ἡνιόχων ἀπάνευθεν
ἵπποι ἴσαν φεύγοντες· ἐπεσσυμένοις δ᾽ ἄρα χάρμα
ἔπλετ᾽, ἀπολλυμένων δὲ πολὺς στόνος· οὐδέ τις ἀλκὴ
γίνετο τειρομένοισι, μινυνθάδιοι δὲ πέλοντο
πάντες, ὅσους κίχε κείνη ἀνὰ κρυερὸν στόμα χάρμης.
ὡς δ᾽ ὅτ᾽ ἐπιβρίσασα μέγα στονόεσσα θύελλα
ἄλλα μὲν ἐκ ῥιζέων χαμάδις βάλε δένδρεα μακρὰ
ἄνθεσι τηλεθόωντα, τὰ δ᾽ ἐκ πρέμνοιο κέδασσεν
ὑψόθεν, ἀλλήλοισι δ᾽ ἐπὶ κλασθέντα κέχυνται·
ὣς Δαναῶν πουλὺς κέκλιτο στρατὸς ἐν κονίῃσι
Μοιράων ἰότητι καὶ ἔγχεϊ Πενθεσιλείης.
αὐτὰρ ἐπεὶ καὶ νῆες ἐνιπρήσεσθαι ἔμελλον
χερσὶν ὕπο Τρώων, τότε που μενεδήιος Αἴας
οἰμωγῆς ἐσάκουσε καὶ Αἰακίδην προσέειπεν·
„ὦ Ἀχιλεῦ, περὶ δή μοι ἀπείριτος ἤλυθεν αὐδὴ
οὔασιν ὡς πολέμοιο συνεσταότος μεγάλοιο.

480 παρδ. *v*, πορδ. *k* 481 ἤιεν ἄλλος *v*, ἤιον ἄλλοι *MPk* 484 ἔσαν *v*, ἴσαν *spk* 485 -μένοις ci. *sp* πόνος *A* 487 ἐκίχανεν *v*, κίχε κείνη *ego*, κ. δεινὴ vel κίχεν αἰνὴ *lw*, ut *ego* olim 490 κέασσεν $st^1 l$ 492 κέκλιτο πολὺς *v*, κέκλιντο *pk*, κέκλιται πουλ. *lw* olim, nunc πουλὺς κέκλιτο, κεκύλιστο $st^1 l$, κεκέδαστο et τετάνυστο et ἐκλίθη πουλ. *sp*, κατέκειτο vel τότ᾽ ἔκειτο *ego* antehac

ἀλλ' ἴομεν, μὴ Τρῶες ὑποφθάμενοι παρὰ νηυσὶν
Ἀργείους ὀλέσωσι, καταφλέξωσι δὲ νῆας·
νῶιν δ' ἀμφοτέροισιν ἐλεγχείη ἀλεγεινὴ
ἔσσεται· οὐ γὰρ ἔοικε Διὸς μεγάλοιο γεγῶτας
αἰσχύνειν πατέρων ἱερὸν γένος, οἵ ῥα καὶ αὐτοὶ
τὸ πρὶν ἅμ' Ἡρακλῆι δαΐφρονι Λαομέδοντος 505
Τροίην, ἀγλαὸν ἄστυ, διέπραθον ἐγχείῃσιν· 504
ὣς καὶ νῦν τελέεσθαι ὑφ' ἡμετέρῃσιν ὀίω 506
χερσίν, ἐπεὶ μέγα κάρτος ἀέξεται ἀμφοτέροισιν."
ὣς φάτο· τῷ δ' ἐπίθησε θρασὺ σθένος Αἰακίδαο·
κλαγγὴν γὰρ στονόεσσαν ἐσέκλυεν οὔασιν οἷσιν.
ἄμφω δ' ὡρμήθησαν ἐπ' ἔντεα μαρμαίροντα,
καὶ τὰ μὲν ἑσσάμενοι κατεναντίον ἔσταν ὁμίλου.
τῶν δ' ἄρα τεύχεα καλὰ μέγ' ἔβραχε· μαίνετο δέ σφιν
ἶσον θυμὸς Ἄρηι, τόσον σθένος ἀμφοτέροισι
δῶκεν ἐπειγομένοισι σακέσπαλος Ἀτρυτώνη.
Ἀργεῖοι δ' ἐχάρησαν, ἐπεὶ ἴδον ἄνδρε κραταιὼ
εἰδομένω παίδεσσιν Ἀλωῆος μεγάλοιο,
οἵ ποτ' ἐπ' εὐρὺν Ὄλυμπον ἔφαν θέμεν οὔρεα μακρά,
Ὄσσαν τ' αἰπεινὴν καὶ Πήλιον ὑψικάρηνον,
ὅππως δὴ μεμαῶτε καὶ οὐρανὸν εἰσαφίκωνται·
τοῖοι ἄρ' ἀντέστησαν ἀταρτηροῦ πολέμοιο
Αἰακίδαι, μέγα χάρμα λιλαιομένοισιν Ἀχαιοῖς,
ἄμφω ἐπειγόμενοι δηίων ἀπὸ λαὸν ὀλέσσαι.
πολλοὺς δ' ἐγχείῃσιν ἀμαιμακέτῃσι δάμασσαν·
ὡς δ' ὅτε πίονα μῆλα βοοδμητῆρε λέοντε

502 -οιο γεγαῶτας *AM*, -ου γ. *VP*(?)*tl*, -οιο γεγῶτας (*r*)*k*
504 Τρώων *v*, Τροίης *MPk*, -ην *ego* -σιν *A*, -σι *MPtlk*
505 λαὸν ἑλόντες *bl*[1]. versum deesse [velut ἵππων εἵνεκα Τρωσὶ κακὸν τεύχοντες ὄλεθρον] plerique consentiunt neque *ego* plane negaverim, sed sufficit versuum ordinem mutavisse.
506 ὥσπερ *v*, ὡς καὶ *k* 509 ὑπέκλ. *v*, ἐσέκλ. *Mk*

εὑρόντ' ἐν ξυλόχοισι φίλων ἀπάνευθε νομήων
πανσυδίῃ κτείνωσιν, ἄχρις μέλαν αἷμα πιόντες
σπλάγχνων ἐμπλήσωνται ἑὴν πολυχανδέα νηδύν·
ὣς οἵ γ' ἄμφω ὄλεσσαν ἀπειρέσιον στρατὸν ἀνδρῶν.
ἔνθ' Αἴας ἕλε Δηίοχον καὶ ἀρήιον Ὕλλον
Εὐρύνομόν τε φιλοπτόλεμον καὶ Ἐννέα δῖον.
Ἀντάνδρην δ' ἄρα Πηλείδης ἕλε καὶ Πολεμοῦσαν
ἠδὲ καὶ Ἀντιβρότην, μετὰ δ' Ἱπποθόην ἐρίθυμον,
τῇσι δ' ἐφ' Ἁρμοθόην· ἐπὶ δ' ᾤχετο λαὸν ἅπαντα
σὺν Τελαμωνιάδῃ μεγαλήτορι· τῶν δ' ὑπὸ χερσὶ
πυκναί τε σθεναραί τε κατηρείποντο φάλαγγες
ῥεῖα καὶ ὀτραλέως ὡς εἰ πυρὶ δάσκιος ὕλη
οὔρεος ἐν ξυνοχῇσιν ἐπισπέρχοντος ἀήτεω.
τοὺς δ' ὁπότ' εἰσενόησε δαΐφρων Πενθεσίλεια
θῆρας ὅπως θύνοντας ἀνὰ μόθον ὀκρυόεντα,
ἀμφοτέρων ὥρμησε καταντίον, ἠύτε λυγρὴ
πάρδαλις ἐν ξυλόχοισιν ὀλέθριον ἦτορ ἔχουσα
αἰνὰ περισσαίνουσα θόρῃ κατέναντ' ἐπιόντων
ἀγρευτέων, οἵ πέρ μιν ἐν ἔντεσι θωρηχθέντες
ἐσσυμένην μίμνουσι πεποιθότες ἐγχείῃσιν·
ὣς ἄρα Πενθεσίλειαν ἀρήιοι ἄνδρες ἔμιμνον
δούρατ' ἀειράμενοι· περὶ δέ σφισι χαλκὸς ἀύτει
κινυμένων. πρώτη δ' ἔβαλεν περιμήκετον ἔγχος
ἐσθλὴ Πενθεσίλεια· τὸ δ' ἐς σάκος Αἰακίδαο
ἷξεν, ἀπεπλάγχθη δὲ διατρυφὲν εὖτ' ἀπὸ πέτρης·
τοῖ' ἔσαν Ἡφαίστοιο περίφρονος ἄμβροτα δῶρα.
ἡ δ' ἕτερον μετὰ χερσὶ τιτύσκετο θοῦρον ἄκοντα
Αἴαντος κατέναντα καὶ ἀμφοτέροισιν ἀπείλει·

529 *Δήιχον ἠδὲ Ἀρήιον v, Δηίοχ. ἰδ' ἀρ. p, Δ. τ' ἰδ' ἀ. hspst'l, Δ. καὶ ἀ. k*, qui simul ci. *Δῆμον ἀ. ἠδὲ καί.* 537 *ξυλόχοισιν v, ξυνοχῇσιν pspk* 541 *πόρδ.* hic *AMP*

„νῦν μὲν ἐμῆς ἀπὸ χειρὸς ἐτώσιον ἔκθορεν ἔγχος,
ἀλλ' οἴω τάχα τῷδε μένος καὶ θυμὸν ὀλέσσειν
ὑμέων ἀμφοτέρων, οἵ τ' ἄλκιμοι εὐχετάασθε
ἔμμεναι ἐν Δαναοῖσιν· ἐλαφροτέρη δὲ μόθοιο
ἔσσεται ἱπποδάμοισι τότε Τρώεσσιν ὀιζύς.
ἀλλά μοι ἆσσον ἱκέσθαι ἀνὰ κλόνον, ὄφρ' ἐσίδησθε,
ὅσσον Ἀμαζόσι κάρτος ἐνὶ στήθεσσιν ὄρωρε·
καὶ γάρ μευ γένος ἐστὶν ἀρήιον, οὐδέ με θνητὸς
γείνατ' ἀνήρ, ἀλλ' αὐτὸς Ἄρης ἀκόρητος ὁμοκλῆς·
τοὔνεκά μοι μένος ἐστὶ πολὺ προφερέστερον ἀνδρῶν.“
ἦ μέγα * * * * *
* τοὶ δ' ἐγέλασσαν· ἄφαρ δέ οἱ ἤλασεν αἰχμὴ
Αἴαντος κνημῖδα πανάργυρον· οὐδέ οἱ εἴσω
ἤλυθεν ἐς χρόα καλὸν ἐπειγομένη περ ἱκέσθαι·
οὐ γὰρ δὴ πέπρωτο μιγήμεναι αἵματι κείνου
δυσμενέων στονόεσσαν ἐνὶ πτολέμοισιν ἀκωκήν.
Αἴας δ' οὐκ ἀλέγιζεν Ἀμαζόνος, ἀλλ' ἄρα Τρώων
ἐς πληθὺν ἀνόρουσε· λίπεν δ' ἄρα Πηλείωνι
οἴῳ Πενθεσίλειαν, ἐπεί ῥά οἱ ἐν φρεσὶ θυμὸς
ᾔδεεν, ὡς Ἀχιλῆι (καὶ ἰφθίμη περ ἐοῦσα)
ῥηίδιος πόνος ἔσσεθ' ὅπως ἴρηκι πέλεια.
ἡ δὲ μέγα στονάχησεν ἐτώσια δοῦρα βαλοῦσα·
καί μιν κερτομέων προσεφώνεε Πηλέος υἱός·
„ὦ γύναι, ὡς ἁλίοισιν ἀγαλλομένη ἐπέεσσιν

557 μετὰ *v*, τότε *k* 558 ἵκεσθ' ἀνὰ *AM*, ἵκεθ' ἀ. *P*, ἵκεσθε ἀ. *rt*, ἵκεσθον ἀ. *hl*, ἵκεσθε κατὰ *rk*, ἱκέσθαι ἀνὰ *ego* 559 -ρεν *v*, -ρε *MPk* 562 -τατον *v*, -τερον *ego* 563 ἦ μέγα τοίδ' ἐγέλασ(σ)αν *AMP*, ἦ μέγα· τοὶ δ' ἐ. *rbl*[1], ἦ δ' ἄρα· τοὶ δ' ἐ. *l*[2], ἦ· μέγα τοὶ δ' ἐγ. *ht*, ἦ. μέγα δ' οἵγ' ἐγ. (*k* ol.) *sp*, ἦ· τοὶ δ' ἐξεγ. *h*, lacunae signa pos. *k* [velut ἦ μέγα καγχαλόωσα κατὰ φρένας· ἧκε δ' ἄρ' ἔγχος | δεύτερον· οἳ δ' ἐγ.], ὣς φάτο· τοὶ δ' ἐγ. et ἦ μέγα κυδιόωσα *ego* antehac

ἡμέων ἤλυθες ἄντα λιλαιομένη πολεμίζειν,
οἳ μέγα φέρτατοί εἰμεν ἐπιχθονίων ἡρώων.
ἐκ γὰρ δὴ Κρονίωνος ἐριγδούποιο γενέθλης
εὐχόμεθ᾽ ἐκγεγάμεν· τρομέεσκε δὲ καὶ θοὸς Ἕκτωρ
ἡμέας, εἰ καὶ ἄπωθεν ἐσέδρακεν ἀίσσοντας
δῆριν ἔπι στονόεσσαν· ἐμὴ δέ μιν ἔκτανεν αἰχμὴ
καὶ κρατερόν περ ἐόντα. σὺ δ᾽ ἐν φρεσὶ πάγχυ μέμηνας,
ἣ μέγ᾽ ἔτλης καὶ νῶιν ἐπηπείλησας ὄλεθρον
σήμερον· ἀλλὰ σοὶ εἶθαρ ἐλεύσεται ὕστατον ἦμαρ·
οὐδὲ γὰρ οὐδ᾽ αὐτός σε πατὴρ ἔτι ῥύσεται Ἄρης
ἐξ ἐμέθεν, τίσεις δὲ κακὸν μόρον εὖτ᾽ ἐν ὄρεσσι
κεμμὰς ὁμαρτήσασα βοοδμητῆρι λέοντι.
ἦ οὔ πω τόδ᾽ ἄκουσας, ὅσων ὑποκάππεσε γυῖα
Ξάνθου πὰρ προχοῇσιν ὑφ᾽ ἡμετέρῃς παλάμῃσιν;
ἦ σευ πευθομένης μάκαρες φρένας ἐξείλοντο
καὶ νόον, ὄφρά σε Κῆρες ἀμείλιχοι ἀμφιχάνωσιν;"
ὣς εἰπὼν οἴμησε κραταιῇ χειρὶ τιταίνων
λαοφόνον δόρυ μακρὸν ὑπαὶ Χείρωνι πονηθέν.
αἶψα δ᾽ ὑπὲρ μαζοῖο δαΐφρονα Πενθεσίλειαν
οὔτασε δεξιτεροῖο· μέλαν δέ οἱ ἔρρεεν αἷμα
ἐσσυμένως· ἡ δ᾽ εἶθαρ ὑπεκλάσθη μελέεσσιν·
ἐκ δ᾽ ἔβαλεν χειρὸς πέλεκυν μέγαν· ἀμφὶ δέ οἱ νὺξ
ὀφθαλμοὺς ἤχλυσε καὶ ἐς φρένα δῦσαν ἀνῖαι.
ἀλλὰ καὶ ὣς ἄμπνειε καὶ εἴσιδε δήιον ἄνδρα
ἤδη μιν μέλλοντα καθελκέμεν ὠκέος ἵππου·
ὥρμηνεν δ᾽ ἢ χειρὶ μέγα ξίφος εἰρύσσασα
μεῖναι ἐπεσσυμένοιο θοοῦ Ἀχιλῆος ἐρωήν,

583 ἔφης *bl*¹ 584 -τερον *AMP*, -τατον em. *C*¹*r* 587 ἐπαντήσασα *A*, ἀπαντ. *sctl*, ὁμαρτ. *MPk* 591 -χέωνται *v*, -χάνωσιν *MPkspl* 599 ἔμπνυε *A*, ἄμπνυε *ME*¹*rtlk*¹, ἄμπνειε *k*² ἔξιδε *AMP*, em. *r* 602 θοὴν ci. *k*

ἢ κραιπνῶς ἵπποιο κατ' ὠκυτάτοιο θοροῦσα
λίσσεσθ' ἀνέρα δῖον, ὑποσχέσθαι δέ οἱ ὦκα
χαλκὸν ἅλις καὶ χρυσόν, ἅ τε φρένας ἔνδον ἰαίνει
θνητῶν ἀνθρώπων, εἰ καὶ μάλα τις θρασὺς εἴη,
τοῖς ἤν πως πεπίθητ' ὀλοὸν σθένος Αἰακίδαο,
ἢ καὶ ὁμηλικίην αἰδεσσάμενος κατὰ θυμὸν
δώῃ νόστιμον ἦμαρ ἐελδομένῃ περ ἀλύξαι.
καὶ τὰ μὲν ὣς ὥρμαινε· θεοὶ δ' ἑτέρωσε βάλοντο.
τῇ γὰρ ἐπεσσύμενος μέγ' ἐχώσατο Πηλέος υἱός,
καί οἱ ἄφαρ συνέπειρεν ἀελλόποδος δέμας ἵππου.
εὖτέ τις ἀμφ' ὀβελοῖσιν ὑπὲρ πυρὸς αἰθαλόεντος
σπλάγχνα διαμπείρῃσιν ἐπειγόμενος ποτὶ δόρπον,
ἢ ὥς τις στονόεντα βαλὼν ἐν ὄρεσσιν ἄκοντα
θηρητὴρ ἐλάφοιο μέσην διὰ νηδύα κέρσῃ
ἐσσυμένως, πταμένη δὲ διαμπερὲς ὄβριμος αἰχμὴ
πρέμνον ἐς ὑψικόμοιο πάγῃ δρυὸς ἠέ νυ πεύκης·
ὣς ἄρα Πενθεσίλειαν ὁμῶς περικαλλέι ἵππῳ
ἀντικρὺ διάμησεν ὑπ' ἔγχεϊ μαιμώωντι
Πηλείδης. ἡ δ' ὦκα μίγη κονίῃ καὶ ὀλέθρῳ
εὐσταλέως ἐριποῦσα κατ' οὔδεος· οὐδέ οἱ αἰδὼς
ᾔσχυνεν δέμας ἠύ, τάθη δ' ἐπὶ νηδύα μακρῷ
δουρὶ περισπαίρουσα, θοῷ δ' ἐπεκέκλιτο ἵππῳ.
εὖτ' ἐλάτη κλασθεῖσα βίῃ κρυεροῦ Βορέαο,
ἥν τέ που αἰπυτάτην ἀνά τ' ἄγκεα μακρὰ καὶ ὕλην,
οἷ αὐτῇ μέγ' ἄγαλμα, τρέφει παρὰ πίδακι γαῖα,

607 πεπίθοιτ' ὀλοὸν *v*, -θοιτο θοὸν *k*, -θητ' ὀλ. (*k*)*ego* 608 ἢ καί οὐ ἡλ. *hw* 609 δῴη *Mtl*(k^1 errore), δώῃ *k* 610 τὸ *v*(k^1 errore), τὰ *Glasewald sp* k^2 611 -μένη *v*, -μένῃ *M*, -μενος *kl* 613 ὑπαὶ *v*, ὑπὲρ *splk* 615 ἣ δ' *A*, ἤδ' *MP*, ἠδ' E^1, ἢ *rblk* 618 ἢ π. *A*, ἢ ἐνὶ π. *MP* (et sic *sp*, qui simul ci. πρέμνῳ ἐν ὑψ.), ἢ ἐπὶ π. *r*, ἢ ἐνὶ πεύκῃ *tl*, ἠέ νυ πεύκης *k* 621 κονίῃς st^2 623 μακρὴν *v*, -ῷ *hw* 624 ἐπικ. *v*, ἐπεκ. *Mk* 627 περὶ *v*, παρὰ (*r*)*pk*

τοίη Πενθεσίλεια κατ' ὠκέος ἤριπεν ἵππου,
θνητή περ ἐοῦσα, κατεκλάσθη δέ οἱ ἀλκή.
Τρῶες δ' ὡς ἐσίδοντο δαϊκταμένην ἐνὶ χάρμῃ,
πανσυδίῃ τρομέοντες ἐπὶ πτόλιν ἐσσεύοντο
ἄσπετ' ἀκηχέμενοι μεγάλῳ περὶ πένθεϊ θυμόν.
ὡς δ' ὅτ' ἀν' εὐρέα πόντον ἐπιβρίσαντος ἀήτεω
ναῦται νῆ' ὀλέσαντες ὑπεκπροφύγωσιν ὄλεθρον
παῦροι πολλὰ καμόντες ὀιζυρῆς ἁλὸς εἴσω,
ὀψὲ δ' ἄρά σφισι γαῖα φάνῃ σχεδὸν ἠδὲ καὶ ἄστυ,
τοὶ δὲ μόγῳ στονόεντι τετρυμένοι ἅψεα πάντα
ἐξ ἁλὸς ἀίσσουσι μέγ' ἀχνύμενοι περὶ νηὸς
ἠδ' ἑτάρων, οὓς αἰνὸν ὑπὸ ζόφον ἤλασε κῦμα·
ὣς Τρῶες ποτὶ ἄστυ πεφυζότες ἐκ πολέμοιο
κλαῖον πάντες Ἄρηος ἀμαιμακέτοιο θύγατρα
καὶ λαούς, οἳ δῆριν ἀνὰ στονόεσσαν ὄλοντο.
τῇ δ' ἐπικαγχαλόων μεγάλ' εὔχετο Πηλέος υἱός·
„κεῖσό νυν ἐν κονίῃσι κυνῶν βόσις ἠδ' οἰωνῶν,
δειλαίη· τίς γάρ σε παρήπαφεν ἀντί' ἐμεῖο
ἐλθέμεν; ἦ που ἔφησθα μάχης ἀπονοστήσασα
οἰσέμεν ἄσπετα δῶρα παρὰ Πριάμοιο γέροντος
κτείνασ' Ἀργείους· ἀλλ' οὐ τόδε σοίγε νόημα
ἀθάνατοι ἐτέλεσσαν, ἐπεὶ μέγα φέρτατοί εἰμεν
ἡρώων, Δαναοῖσι φάος μέγα, Τρωσὶ δὲ πῆμα
ἠδὲ σοὶ αἰνομόρῳ, ἐπεὶ ἦ νύ σε Κῆρες ἐρεμναὶ
καὶ νόος ἐξορόθυνε γυναικῶν ἔργα λιποῦσαν

630 ἴδ. AE^1, εἴδ. MP, ἐσίδ. Vptlk   637 τετρυγμ. At, τετρυμμ. MP, τετρυμένοι st^1lk αἶψα πάντες A, αἶψα δὲ π. MP (sed in P αἶψα with ε above), αἶψά γε rt (αἶψ' ἅμα sufficere negat k), ἅψεα πάντες dl^2, ἅ πάντα spl^1 et sic k, qui lacunae signis positis [velut νηχόμενοι μόγις ἦλθον ἐπὶ ξερόν·] simul retinuit αἶψα δὲ πάντες   646 ἄπο νοστ. k   647 οἴσειν v, οἴσει M, οἰσέμεν k

βήμεναι ἐς πόλεμον, τόν περ τρομέουσι καὶ ἄνδρες.“
ὣς εἰπὼν μελίην ἐξείρυσε Πηλέος υἱὸς
ὠκέος ἐξ ἵπποιο καὶ αἰνῆς Πενθεσιλείης·
ἄμφω δ' ἀσπαίρεσκον ὑφ' ἓν δόρυ δῃωθέντες.
ἀμφὶ δέ οἱ κρατὸς κόρυν εἵλετο μαρμαίρουσαν
ἠελίου ἀκτῖσιν ἀλίγκιον ἢ Διὸς αἴγλῃ·
τῆς δὲ καὶ ἐν κονίῃσι καὶ αἵματι πεπτηυίης
ἐξεφάνη ἐρατῇσιν ὑπ' ὀφρύσι καλὰ πρόσωπα
καί περ ἀποκταμένης. οἱ δ', ὡς ἴδον, ἀμφιέποντες
Ἀργεῖοι θάμβησαν, ἐπεὶ μακάρεσσιν ἐῴκει·
κεῖτο γὰρ ἐν τεύχεσσι κατὰ χθονὸς ἠύτ' ἀτειρὴς
Ἄρτεμις ὑπνώουσα, Διὸς τέκος, εὖτε κάμῃσι
γυῖα κατ' οὔρεα μακρὰ θοοὺς βάλλουσα λέοντας·
αὐτὴ γάρ μιν ἔτευξε καὶ ἐν φθιμένοισιν ἀγητὴν
Κύπρις ἐυστέφανος, κρατεροῦ παράκοιτις Ἄρηος,
ὄφρά τι καὶ Πηλῆος ἀμύμονος υἷ' ἀκαχήσῃ.
πολλοὶ δ' εὐχετόωντο κατ' οἰκία νοστήσαντες
τοίης ἧς ἀλόχοισι παρὰ λεχέεσσιν ἰαῦσαι.
καὶ δ' Ἀχιλεὺς ἀλίαστον ἑῷ ἐνετείρετο θυμῷ,
οὕνεκά μιν κατέπεφνε καὶ οὐκ ἄγε δῖαν ἄκοιτιν
Φθίην εἰς εὔπωλον, ἐπεὶ μέγεθός τε καὶ εἶδος
ἔπλετ' ἀμώμητός τε καὶ ἀθανάτῃσιν ὁμοίη.
Ἄρεϊ δ' ἔμπεσε πένθος ὑπὸ φρένας ἀμφὶ θυγατρὸς
θυμὸν ἀκηχεμένου. τάχα δ' ἔκθορεν Οὐλύμποιο
σμερδαλέῳ ἀτάλαντος ἐυκτυπέοντι κεραυνῷ,

656 *δορὶ Atl, δόρυ M Falkenburg dk* 670 *τοίης ἀλόχοιο* ***AMP**, τ. καὶ ἀ. Vtl, που* add. *r, δὴ p, καὶ τ. ἀ. brsp, τοιαύτης sc, τοίης ἧς ἀ. k, τοίῃς ἧς ἀλόχοισι ego* *παραὶ v, παρὰ M, παραλεχ. P*, an *πάρα?* 675 *ὑπὸ φρένας* soli servaverunt *MP*, rec. *lk* (*ἀάπλετον Vt*) 676 *-μένῳ v, -μένου* ***MPk*** 677 *ἀεικτ. v, ἀεὶ κτ. M, ἐπικτ. l*[1], *ἀγακτ. hl*[2], *ἐυκτ. k*, fortasse *ἐρικτ.*

ὅν τε Ζεὺς προΐησιν, ὁ δ' ἀκαμάτης ἀπὸ χειρὸς
ἔσσυται ἢ ἐπὶ πόντον ἀπείριτον ἢ ἐπὶ γαῖαν
μαρμαίρων, τῷ δ' ἀμφὶ μέγας πελεμίζετ' Ὄλυμπος·
τοῖος Ἄρης ταναοῖο δι' ἠέρος ἀσχαλόων κῆρ
ἔσσυτο σὺν τεύχεσσιν, ἐπεὶ μόρον αἰνὸν ἄκουσε
παιδὸς ἑῆς. τῷ γάρ ῥα κατ' οὐρανὸν εὐρὺν ἐόντι
Αὖραι μυθήσαντο θοαὶ Βορέαο θύγατρες
κούρης αἰνὸν ὄλεθρον· ὁ δ' ὡς κλύεν, ἶσος ἀέλλῃ
Ἰδαίων ὀρέων ἐπεβήσατο· τοῦ δ' ὑπὸ ποσσὶν
ἄγκεα κίνυτο μακρὰ βαθύρρωχμοί τε χαράδραι
καὶ ποταμοὶ καὶ πάντες ἀπειρέσιοι πόδες Ἴδης.
καί νύ κε Μυρμιδόνεσσι πολύστονον ὤπασεν ἦμαρ,
εἰ μή μιν Ζεὺς αὐτὸς ἀπ' Οὐλύμποιο φόβησε
σμερδαλέῃς στεροπῇσι καὶ ἀργαλέοισι κεραυνοῖς,
οἵ οἱ πρόσθε ποδῶν θαμέες ποτέοντο δι' αἴθρης
δεινὸν ἀπαιθόμενοι· ὁ δ' ἄρ' εἰσορόων ἐνόησε
πατρὸς ἐριγδούποιο μέγα βρομέουσαν ὁμοκλήν,
ἔστη δ' ἐσσύμενός περ ἐπὶ πτολέμοιο κυδοιμόν
ὡς δ' ὅτ' ἀπ' ἠλιβάτου σκοπιῆς περιμήκεα λᾶαν
λάβρος ὁμῶς ἀνέμοισιν ἀπορρήξῃ Διὸς ὄμβρος,
ὄμβρος ἄρ' ἠὲ κεραυνός, ἐπικτυπέουσι δὲ βῆσσαι
λάβρα κυλινδομένοιο, ὁ δ' ἀκαμάτῳ ὑπὸ ῥοίζῳ
ἔσσυτ' ἀναθρῴσκων μάλα ταρφέα, μέχρις ἵκηται
χῶρον ἐπ' ἰσόπεδον, σταίῃ δ' ἄφαρ οὐκ ἐθέλων περ
ὣς Διὸς ὄβριμος υἱὸς Ἄρης ἀέκοντί γε θυμῷ
ἔστη ἐπειγόμενός περ, ἐπεὶ μακάρων μεδέοντι

684 θεαὶ *M* 685 κίεν *v*, κλύεν *Pierson k* 686 -σετο *v*, -σατο *sck* 690 -σεν *v*, -σε *MPk* 692 ποτόωντο *v*, -έοντο *spk* 693 ἀπαιθόμενοι *MPtlk*, -μένης *r*, -μένοις *sc*, ἀναιθομένης *p*, ἀναιθόμενοι *ego* antehac 698 ἠδὲ *A*, ἤδε *MP*, ἠὲ *tlk* 699 ῥοίβδῳ *v*, ῥοίζῳ *k*

πάντες ὁμῶς εἴκουσιν Ὀλύμπιοι, οὕνεκ᾽ ἄρ᾽ αὐτῶν
πολλὸν ὑπέρτατός ἐστι, πέλει δέ οἱ ἄσπετος ἀλκή.
πολλὰ δὲ πορφύροντα θοὸς νόος ὀτρύνεσκεν
ἄλλοτε μὲν Κρονίδαο μέγ᾽ ἀσχαλόωντος ἐνιπὴν
σμερδαλέην τρομέοντα πρὸς οὐρανὸν ἀπονέεσθαι,
ἄλλοτε δ᾽ οὐκ ἀλέγειν σφετέρου πατρός, ἀλλ᾽ Ἀχιλῆι
μῖξαι ἐν αἵματι χεῖρας ἀτειρέας. ὀψὲ δέ οἱ κῆρ
μνήσαθ᾽, ὅσοι καὶ Ζηνὸς ἐνὶ πτολέμοισι δάμησαν
υἱέες, οἷς οὐδ᾽ αὐτὸς ἐπήρκεσεν ὀλλυμένοισι·
τοὔνεκ᾽ ἀπ᾽ Ἀργείων ἑκὰς ἤιεν· ἦ γὰρ ἔμελλε
κεῖσθαι ὁμῶς Τιτῆσι δαμεὶς στονόεντι κεραυνῷ,
εἰ Διὸς ἀθανάτοιο παρὲκ νόον ἄλλα μενοίνα.
  καὶ τότ᾽ ἀρήιοι υἷες ἐυσθενέων Ἀργείων
σύλεον ἐσσυμένως βεβροτωμένα τεύχεα νεκρῶν
πάντῃ ἐπεσσύμενοι. μέγα δ᾽ ἄχνυτο Πηλέος υἱὸς
κούρης εἰσορόων ἐρατὸν σθένος ἐν κονίῃσι·
τοὔνεκά οἱ κραδίην ὀλοαὶ κατέδαπτον ἀνῖαι,
ὁππόσον ἀμφ᾽ ἑτάροιο πάρος Πατρόκλοιο δαμέντος.
  Θερσίτης δέ μιν ἄντα κακῷ μέγα νείκεσε μύθῳ·
„ὦ Ἀχιλεῦ φρένας αἰνέ, τί ἤ νύ σευ ἤπαφε δαίμων
θυμὸν ἐνὶ στέρνοισιν Ἀμαζόνος εἵνεκα λυγρῆς,
ἣ νῶιν κακὰ πολλὰ λιλαίετο μητίσασθαι;
τῆς τοι ἐνὶ φρεσὶ σῇσι γυναιμανὲς ἦτορ ἔχοντι
μέμβλεται ὡς ἀλόχοιο πολύφρονος, ἥν τ᾽ ἐπὶ ἕδνοις
κουριδίην μνήστευσας ἐελδόμενος γαμέεσθαι.

706 ὠτρ. *v*, ὀτρ. *MPk*   709 -λῆος ci. *sp*   712 -σιν *v*, -σι *Mk*   713 -λεν *v*, -λε *MPk*   715 εἰδὼς δ᾽ *AE*[1], εἰ δὸς *M* (ω superscr.), εἰδὸς *P*, εἰδὼς δ᾽ ἀ. πατρὸς *v*. *t*, εἰ Διὸς ἀ. παρὲκ *v*. *pk*, εἰ Δ. ἀκαμάτοιο π. *v*. *l*   719 -σιν *v*, -σι *Mk*   722 μέγα omissum add. *t*   723 ἤκαχε *v*, ἤπαφε *splk* (ἤφαπε *k* errore)   724 οὕν. *v*, εἵν. *splk*   726 καί *v*, τῆς *k*[1] in praef. *k*[2]   727 -το *v*, -ται (*r*)*hlk*

ὥς σ' ὄφελον κατὰ δῆριν ὑποφθαμένη βάλε δουρί,
οὕνεκα θηλυτέρῃσιν ἅδην ἐπιτέρπεαι ἦτορ,
οὐδέ νυ σοί τι μέμηλεν ἐνὶ φρεσὶν οὐλομένῃσιν
ἀμφ' ἀρετῆς κλυτὸν ἔργον, ἐπὴν ἐσίδῃσθα γυναῖκα.
σχέτλιε, ποῦ νύ τοί ἐστιν ἐὺ σθένος ἠδὲ νόημα;
πῆ δὲ βίη βασιλῆος ἀμύμονος; οὐδέ τι οἶσθα,
ὅσσον ἄχος Τρώεσσι γυναιμανέουσι τέτυκται;
οὐ γὰρ τερπωλῆς ὀλοώτερον ἄλλο βροτοῖσιν
ἐς λέχος ἱεμένης, ἥ τ' ἄφρονα φῶτα τίθησι
καὶ πινυτόν περ ἐόντα· πόνῳ δ' ἄρα κῦδος ὀπηδεῖ·
ἀνδρὶ γὰρ αἰχμητῇ νίκης κλέος ἔργά τ' Ἄρηος
τερπνά, φυγοπτολέμῳ δὲ γυναικῶν εὔαδεν εὐνή."
ἦ μέγα νεικείων· ὁ δέ οἱ περιχώσατο θυμῷ
Πηλείδης ἐρίθυμος· ἄφαρ δέ ἑ χειρὶ κραταιῇ
τύψε κατὰ γναθμοῖο καὶ οὔατος· οἱ δ' ἅμα πάντες
ἐξεχύθησαν ὀδόντες ἐπὶ χθόνα, κάππεσε δ' αὐτὸς
πρηνής, ἐκ δέ οἱ αἷμα διὰ στόματος πεφόρητο
ἀθρόον· αἶψα δ' ἄναλκις ἀπὸ μελέων φύγε θυμὸς
ἀνέρος οὐτιδανοῖο. χάρη δ' ἄρα λαὸς Ἀχαιῶν·
τοὺς γὰρ νείκεε πάμπαν ἐπεσβολίῃσι κακῇσιν
αὐτὸς ἐὼν λωβητός· ὁ γὰρ Δαναῶν πέλεν αἰδώς.
καί ῥά τις ὧδ' εἴπεσκεν ἀρηιθόων Ἀργείων·
„οὐκ ἀγαθὸν βασιλῆας ὑβριζέμεν ἀνδρὶ χέρηι
ἀμφαδὸν οὔτε κρυφηδόν, ἐπεὶ χόλος αἰνὸς ὀπηδεῖ.
ἔστι Θέμις, καὶ γλῶσσαν ἀναιδέα τίνυται Ἄτη,
ἥ τ' αἰεὶ μερόπεσσιν ἐπ' ἄλγεσιν ἄλγος ἀέξει."

729 σ' omiss. add. *r* 732 κλυτοεργου *lb* 733 περὶ *AMP*, πέρι *ptl*, τὸ πρὶν *h*, ἐν *spk* ἠὲ *v* (*k* errore), ἠδὲ *p* et probat *k* 735 -μανέεσσι *st*[1] 739 νίκη *v*, νίκης *k* 741 φῆ *MP* 742 δ' ὅγε *AMk*, δέ ἑ *rtl*(*P*?) 751 hunc versum soli serv. *MP* 752 ὅπῃ *A*, ὅπη *Mt*, ἐπεὶ *lk*

ὣς ἄρ' ἔφη Δαναῶν τις· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Πηλείδης ἐρίθυμος ἔπος ποτὶ τοῖον ἔειπε·
„κεῖσό νυν ἐν κονίησι λελασμένος ἀφροσυνάων·
οὐ γὰρ ἀμείνονι φωτὶ χρεὼ κακὸν ἀντιφερίζειν·
ὡς καί που τὸ πάροιθεν Ὀδυσσῆος ταλαὸν κῆρ
ἀργαλέως ὤρινας ἐλέγχεα μυρία βάζων·
ἀλλ' οὐ Πηλείδης τοι ὁμοίιος ἐξεφαάνθην,
ὅς σευ θυμὸν ἔλυσα καὶ οὐκέτι χειρὶ βαρείῃ
πλῆξα μόνον· σὲ δὲ πότμος ἀμείλιχος ἀμφεκάλυψε,
σῇ δ' ὀλιγοδρανίῃ θυμὸν λίπες· ἀλλ' ἀπ' Ἀχαιῶν
ἔρρε καὶ ἐν φθιμένοισιν ἐπεσβολίας ἀγόρευε."
ὣς ἔφατ' Αἰακίδαο θρασύφρονος ἄτρομος υἱός.
Τυδείδης δ' ἄρα μοῦνος ἐν Ἀργείοις Ἀχιλῆι
χώετο Θερσίταο δεδουπότος, οὕνεκ' ἄρ' αὐτοῦ
εὔχετ' ἀφ' αἵματος εἶναι, ἐπεὶ πέλεν ὃς μὲν ἀγαυοῦ
Τυδέος ὄβριμος υἱός, ὁ δ' Ἀγρίου ἰσοθέοιο,
Ἀγρίου, ὅς τ' Οἰνῆος ἀδελφεὸς ἔπλετο δίου·
Οἰνεὺς δ' υἱέα γείνατ' ἀρήιον ἐν Δαναοῖσι
Τυδέα· τοῦ δ' ἐτέτυκτο πάις σθεναρὸς Διομήδης.
τοὔνεκα Θερσίταο πέρι κταμένοιο χαλέφθη.
καί νύ κε Πηλείωνος ἐναντίον ἤρατο χεῖρας,
εἰ μή μιν κατέρυξαν Ἀχαιῶν φέρτατοι υἷες
πολλὰ παρηγορέοντες ὁμιλαδόν. ὣς δὲ καὶ αὐτὸν
Πηλείδην ἑτέρωθεν ἐρήτυον· ἦ γὰρ ἔμελλον
ἤδη καὶ ξιφέεσσιν ἐριδμαίνειν οἱ ἄριστοι
Ἀργείων· τοὺς γάρ ῥα κακὸς χόλος ὀτρύνεσκεν.

756 -πεν v, -πε *MPk* 758 χρεὼν v, χρεὼ *MPk* ἀντί' ἐρίζειν *k* 759 ὃς v, ὣς *k* (sed ὡς in notis) προπάρ. v, τοπάρ. st^1spl, τὸ πάρ. *k* 761 -θη v, -θην st^1lk 762 καὶ οὐκ ἐπὶ v, κατ' οὔατα vel παρ' οὔατι *hw*, καὶ οὐκέτι *ego* 763 πληξάμενος v, πλῆξα μόνον *ego* -ψεν v, -ψε *Ml'k* 766 ἄλκιμος v, ἄτρομος *MPVkl* 780 ὠτρ. v (-κε *P*), ὀτρ. *M*

ἀλλ' οἵ μὲν πεπίθοντο παραιφασίῃσιν ἑταίρων.
οἵ δὲ μέγ' οἰκτείραντες ἀγαυὴν Πενθεσίλειαν
Ἀτρεῖδαι βασιλῆες ἀγασσάμενοί τε καὶ αὐτοὶ
Τρωσὶ δόσαν ποτὶ ἄστυ φέρειν ἐρικυδέος Ἴλου
σὺν σφοῖσιν τεύχεσσιν, ἐπεὶ Πριάμοιο νόησαν
ἀγγελίην προϊέντος· ὁ γὰρ φρεσὶν ᾗσι μενοίνα
κούρην ὀβριμόθυμον ὁμῶς τεύχεσσι καὶ ἵππῳ
ἐς μέγα σῆμα βαλέσθαι ἀφνειοῦ Λαομέδοντος.
καί οἱ πυρκαϊὴν νηήσατο πρόσθε πόληος
ὑψηλήν, εὐρεῖαν· ὕπερθε δὲ θήκατο κούρην
πολλοῖς σὺν κτεάτεσσιν, ὅσα κταμένῃ ἐπεῴκει
ἐν πυρὶ συγκείασθαι ἐυκτεάνῳ βασιλείῃ.
καὶ τὴν μὲν κατέδαψε θοὸν μένος Ἡφαίστοιο,
φλὸξ ὀλοή· λαοὶ δὲ περισταδὸν ἄλλοθεν ἄλλοι
πυρκαϊὴν σβέσσαντο θοῶς εὐώδεϊ οἴνῳ.
ὀστέα δ' ἀλλέξαντες ἄδην ἐπέχευαν ἄλειφα
ἡδὺ καὶ ἐς κοίλην χηλὸν θέσαν· ἀμφὶ δ' ἄρ' αὐτοῖς
πίονα δημὸν ὕπερθε βάλον βοός, ἥ τ' ἀγέλῃσιν
Ἰδαίοις ἐν ὄρεσσι μετέπρεπε φερβομένῃσι.
Τρῶες δ' ὥς τε θύγατρα φίλην περικωκύσαντες
ἀχνύμενοι τάρχυσαν ἐύδμητον παρὰ τεῖχος
πύργῳ ἔπι προὔχοντι παρ' ὀστέα Λαομέδοντος
ἦρα φέροντες Ἄρηι καὶ αὐτῇ Πενθεσιλείῃ.
καί οἱ παρκατέθαψαν Ἀμαζόνας, ὅσσαι ἅμ' αὐτῇ
ἑσπόμεναι ποτὶ δῆριν ὑπ' Ἀργείοισι δάμησαν·
οὐ γάρ σφιν τύμβοιο πολυκλαύτοιο μέγηραν

783 δὲ *v*, om. *M*, ἑ *k*, τε *ego* 792 -χεύασθαι *v*, -κείασθαι *st*¹*k* (an -κήασθαι?) 793 μένος μέγα *v*, μέγα σθένος *hl*, θοὸν μένος *k* 796 -φαρ *v*, -φα *MPk* 798 ὕπερθ' ἔβαλον *v*, corr. *k* 801 περὶ *v*, παρὰ *pk* 804 πὰρ κατ. *v*, παρκατ. *MPk* 805 περὶ *v*, ποτὶ *kl* 806 ἀμφὶ *A*, σφι *MPk* (alii σφιν)

Ἀτρεΐδαι, Τρώεσσι δ' ἐυπτολέμοισιν ὄπασσαν
ἐκ βελέων ἐρύσασθαι ὁμῶς κταμένοισι καὶ ἄλλοις·
οὐ γὰρ ἐπὶ φθιμένοισι πέλει κότος, ἀλλ' ἐλεεινοὶ
δήιοι οὐκέτ' ἐόντες, ἐπὴν ἀπὸ θυμὸς ὄληται.
Ἀργεῖοι δ' ἀπάνευθε δόσαν πυρὶ πολλὰ κάρηνα
ἡρώων, οἵ δή σφιν ὁμοῦ κτάθεν ἠδ' ἐδάμησαν
Τρώων ἐν παλάμῃσιν ἀνὰ στόμα δηιοτῆτος,
πολλὰ μάλ' ἀχνύμενοι κταμένων ὕπερ. ἔξοχα δ' ἄλλων
ἀμφ' ἀγαθοῦ μύροντο Ποδάρκεος· οὐ γὰρ ἐπ' ἐσθλοῦ
δεύετ' ἀδελφειοῖο μάχῃ ἔνι Πρωτεσιλάου·
ἀλλ' ὁ μὲν ἤδη πρόσθεν ὑφ' Ἕκτορι κεῖτο δαϊχθείς,
ἣν Πρωτεσίλαος, ὁ δ' ἔγχεϊ Πενθεσιλείης
βλήμενος Ἀργείοισι λυγρὸν περικάββαλε πένθος.
τοὔνεκά οἱ πληθὺν μὲν ἀπόπροθι ταρχύσαντο
τεθναότων· κείνῳ δὲ πέριξ ἐβάλοντο καμόντες
οἴῳ σῆμ' ἀρίδηλον, ἐπεὶ θρασὺς ἔπλετο θυμῷ.
νόσφι δὲ Θερσίταο λυγρὸν δέμας οὐτιδανοῖο
θάψαντες ποτὶ νῆας ἐυπρώρους ἀφίκοντο
Αἰακίδην Ἀχιλῆα μέγα φρεσὶ κυδαίνοντες.
ἦμος δ' αἰγλήεσσα κατ' Ὠκεανοῖο βεβήκει
Ἠώς, ἀμφὶ δὲ γαῖαν ἐκίδνατο θεσπεσίη νύξ,
δὴ τότ' ἄρ' ἐν κλισίῃς Ἀγαμέμνονος ἀφνειοῖο
δαίνυτο Πηλείδαο βίη, σὺν δ' ἄλλοι ἄριστοι
τέρποντ' ἐν θαλίῃς, μέχρις ἠῶ δῖαν ἱκέσθαι.

815 *κείρ.* A, *μύρ.* MPVE¹tlk   *ἐτ'* v, *ἐτ'* M, *ἐπ'* k
821 *τεθνεώτων* dtspl

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Αὐτὰρ ἐπεὶ κορυφὰς ὀρέων ὕπερ ἠχηέντων
λαμπρὸν ὑπὲρ φάος ἦλθεν ἀτειρέος ἠελίοιο,
οἱ μὲν ἄρ᾽ ἐν κλισίῃσιν Ἀχαιῶν ὄβριμοι υἷες
γήθεον ἀκαμάτῳ μέγ᾽ ἐπευχόμενοι Ἀχιλῆι.
Τρῶες δ᾽ αὖ μύροντο κατὰ πτόλιν· ἀμφὶ δὲ πύργους
ἑζόμενοι σκοπίαζον, ἐπεὶ φόβος ἔλλαβε πάντας,
μὴ δή που μέγα τεῖχος ὑπερθόρῃ ὄβριμος ἀνὴρ
αὐτούς τε κτείνῃ κατά τε πρήσῃ πυρὶ πάντα.
τοῖσι δ᾽ ἄρ᾽ ἀχνυμένοισι γέρων μετέειπε Θυμοίτης·
„ὦ φίλοι, οὐκέτ᾽ ἔγωγε περὶ φρεσὶν οἶδα νοῆσαι,
ὅππως ἔσσεται ἄλκαρ ἀνιηροῦ πολέμοιο
Ἕκτορος ἀγχεμάχοιο δεδουπότος, ὃς μέγα Τρώων
κάρτος ἔην τὸ πάροιθε. καὶ οὐδ᾽ ὅ γε κῆρας ἄλυξεν,
ἀλλ᾽ ἐδάμη παλάμῃσιν Ἀχιλλέος, ᾧ περ ὀίω
καὶ θεὸν ἀντιάσαντα μάχῃ ἔνι δῃωθῆναι·
οἵην τῆνδ᾽ ἐδάμασσεν ἀνὰ κλόνον, ἥν περ οἱ ἄλλοι
Ἀργεῖοι φοβέοντο, δαΐφρονα Πενθεσίλειαν·

1 *ὑπερηχεόντ. A*, *ὑπερηχηέντ. C(P?)rthy* (*περιηχειόντ.* vel *-ηχηέντ.* ci. *r*), *ὑπερ ἠχειέντ.* (*ει* corr. ex *η*) *M*, *ὕπερ* (*ὑπὲρ l*) *ἠχηέντ. st*[1]*kl* 15 *ἂν AP*, *ἀν M*, *ἔνι rtlk*, (*μάχην ἀνὰ* ci. *t*)

¹sich fürchten, in Angst sein. — ²von geschwärzten Menschen bewohnt. ³zunicken, zusichern. —

καὶ γὰρ ἔην ἔκπαγλος· ἔγωγέ μιν ὡς ἐνόησα,
ὠισάμην μακάρων τιν’ ἀπ’ οὐρανοῦ ἐνθάδ’ ἱκέσθαι
ἡμῖν χάρμα φέρουσαν· ὃ δ’ οὐκ ἄρ’ ἐτήτυμον ἦεν.
ἀλλ’ ἄγε φραζώμεσθα, τί λώιον ἄμμι γένηται,
ἢ ἔτι που στυγεροῖσι μαχώμεθα δυσμενέεσσιν,
ἦ ἤδη φεύγωμεν ἀπ’ ἄστεος ὀλλυμένοιο·
οὐ γὰρ ἔτ’ Ἀργείοισι δυνησόμεθ’ ἀντιφερίζειν
μαρναμένου κατὰ δῆριν ἀμειλίκτου Ἀχιλῆος.“
ὣς ἄρ’ ἔφη· τὸν δ’ υἱὸς ἀμείβετο Λαομέδοντος·
„ὦ φίλος ἠδ’ ἄλλοι Τρῶες σθεναροί τ’ ἐπίκουροι,
μή νύ τι δειμαίνοντες[1] ἑῆς χαζώμεθα πάτρης,
μηδ’ ἔτι δυσμενέεσσι μαχώμεθα τῆλε πόληος,
ἀλλά που ἐκ πύργων καὶ τείχεος, εἰς ὅ κεν ἔλθῃ
Μέμνων ὀβριμόθυμος ἄγων ἀπερείσια φῦλα
λαῶν, οἳ ναίουσι μελάμβροτον[2] Αἰθιόπειαν.
ἤδη γάρ ῥα καὶ αὐτὸν ὀίομαι ἀγχόθι γαίης
ἔμμεναι ἡμετέρης, ἐπεὶ ἦ νύ οἱ οὔ τι νέον γε
ἀγγελίην προέηκα μέγ’ ἀχνύμενος περὶ θυμῷ·
αὐτὰρ ὅ γ’ ἀσπασίως μοι ὑπέσχετο πάντα τελέσσαι
ἐλθὼν ἐς Τροίην, καί μιν σχεδὸν ἔλπομαι εἶναι.
ἀλλ’ ἄγε τλῆτ’ ἔτι βαιόν, ἐπεὶ πολὺ λώιόν ἐστι
θαρσαλέως ἀπολέσθαι ἀνὰ κλόνον ἠὲ φυγόντας
ζώειν ἀλλοδαποῖσι παρ’ ἀνδράσιν αἴσχε’ ἔχοντας.“
ἦ ῥ’ ὁ γέρων· ἀλλ’ οὔ τι σαόφρονι Πουλυδάμαντι
ἥνδανεν εἰσέτι δῆρις, ἐύφρονα δ’ ἔκφατο μῦθον·
„εἰ μὲν δὴ Μέμνων τοι ἀριφραδέως κατένευσεν[3]
ἡμέων αἰνὸν ὄλεθρον ἀπωσέμεν, οὔ τι μεγαίρω
μίμνειν ἀνέρα δῖον ἀνὰ πτόλιν· ἀλλ’ ἄρα θυμῷ

18 ἔγωγε μὲν? 29 μήδ’ ἔτι v, μηδέ τι M, μηδ’ ἔτι k
30 πω v, που MPscsplk

δείδω, μὴ σὺν ἑοῖσι κιὼν ἑτάροισι δαμείη
κεῖνος ἀνήρ, πολλοῖς δὲ καὶ ἄλλοις πῆμα γένηται
ἡμετέροις· δεινὸν γὰρ ἐπὶ σθένος ὄρνυτ' Ἀχαιῶν.
ἀλλ' ἄγε, μηδὲ πόληος ἑῆς ἀποτῆλε φυγόντες
αἴσχεα πολλὰ φέρωμεν ἀναλκείῃ ὕπο λυγρῇ
ἀλλοδαπὴν περόωντες ἐπὶ χθόνα, μηδ' ἔτι πάτρῃ
μίμνοντες κτεινώμεθ' ὑπ' Ἀργείων ὀρυμαγδοῦ·
ἀλλ' ἤδη Δαναοῖσι, καὶ εἰ βραδύ, λώϊον εἴη
εἰσέτι κυδαλίμην Ἑλένην καὶ κτήματα κείνης,
ἠμὲν ὅσα Σπάρτηθεν ἀνήγαγεν ἠδὲ καὶ ἄλλα,
δισσάκι τόσσα φέροντας ὑπὲρ πόλιός τε καὶ αὐτῶν
ἐκδόμεν, ἕως οὐ κτῆσιν ἀνάρσια φῦλα δέδασται
ἡμετέρην οὐδ' ἄστυ κατήνυκε πῦρ ἀίδηλον.
νῦν δ' ἄγ' ἐμοὶ πείθεσθαι ἐνὶ φρεσίν· οὐ γὰρ ὀίω
ἄλλον ἀμείνονα μῆτιν ἐνὶ Τρώεσσι φράσασθαι·
αἴθ' ὄφελον καὶ πρόσθεν ἐμῆς ἐπάκουσεν ἐφετμῆς
Ἕκτωρ, ὁππότε μιν κατερήτυον ἔνδοθι πάτρης."
  ὣς φάτο Πουλυδάμαντος ἐὺ σθένος· ἀμφὶ δὲ Τρῶες
ἤνεον εἰσαΐοντες ἐνὶ φρεσίν, οὐδ' ἀναφανδὸν
μῦθον ἔφαν· πάντες γὰρ ἑὸν τρομέοντες ἄνακτα
ἅζοντ' ἠδ' Ἑλένην, κείνης ἕνεκ' ὀλλύμενοί περ.
τὸν δὲ καὶ ἐσθλὸν ἐόντα Πάρις μέγα νείκεσεν ἄντην·
„Πουλυδάμα, σὺ μέν ἐσσι φυγοπτόλεμος καὶ ἄναλκις,

48 ὤρν. *l*   51 μὴ δέ τι πάτρην *AE*[1]*P*, μηδέτι π. *M*, μηδ' ἐπὶ π. *V*, μήδ' ἐνὶ πάτρῃ *rtl*, μηδ' ἔτι π. *k*   54 κτήματ' ἐκείνης *v*, correxi   57 ἐκδόμεν omissum add. *d*   ὡς *AMP*, corr. *r* loco huius versus *C*[1] haec habet: δόμμεναι Ἀργείοις ἰδὲ καὶ αὐτῷ γ' Ἀχιλῆϊ | ὅρκια θέντες βήμεναι ἡμετέρης ἀπὸ γαίης | ἀλλᾶ, ὅπη σφιν θυμὸς ἀνώγει αἰολόβουλος, | εἵως οὐ κτῆσίν τε ἀνάρσια φ. δ.   59 ἄγ' ἐμοῖο πείθεσθε ἐνὶ *AP*, ἄγε μοῖο πείθεσθ' ἐ. *M*, ἄγ' ἐμοὶ πείθεσθε ἐ. *t*, ἄ. ἐ. π. μετὰ *hl*, ἄ. ἐ. π. περὶ *k*, ἄ. ἐ. πείθεσθαι ἐνὶ *ego* (an ἐμεῖο πιθέσθαι ἐ.?) 61 ὄφελον *v*, -εν *hlk*

οὐδὲ σοὶ ἐν στέρνοισι πέλει μενεδήιον ἦτορ,
ἀλλὰ δέος καὶ φύζα· σὺ δ' εὔχεαι εἶναι ἄριστος
ἐν βουλῇ, πάντων δὲ χερείονα μήδεα οἶδας.
ἀλλ' ἄγε νῦν σὺ μὲν αὐτὸς ἀπόσχεο δηιοτῆτος,
μίμνε δ' ἐνὶ μεγάροισι καθήμενος, αὐτὰρ οἱ ἄλλοι
ἀμφ' ἐμὲ θωρήξονται ἀνὰ πτόλιν, εἰς ὅ κε μῆχος
εὕρωμεν θυμῆρες ἀνηλεγέος πολέμοιο.
οὐ γὰρ νόσφι πόνοιο καὶ ἀργαλέου πολέμοιο
ἀνθρώποις μέγα κῦδος ἀέξεται ἠδὲ καὶ ἔργον,
φύζα δὲ νηπιάχοισι μάλ' εὔαδεν ἠδὲ γυναιξί·
κείνῃς θυμὸν ἔοικας· ἔγωγέ τοι οὔ τι πέποιθα
μαρναμένῳ· πάντων γὰρ ἀμαλδύνεις θρασὺ κάρτος.“
ἦ μέγα νεικείων· ὁ δὲ χωόμενος φάτο μῦθον
Πουλυδάμας· (οὐ γάρ οἱ ἐναντίον ἄζετ' ἀῦσαι
κεῖνος, ἐπεὶ στυγερὸς καὶ ἀτάσθαλος ἠδ' ἀεσίφρων,
ὅς φίλα μὲν σαίνῃσιν ἐνωπαδόν, ἄλλα δὲ θυμῷ
πορφύρῃ καὶ κρύβδα τὸν οὐ παρεόντα χαλέπτῃ·
τῷ ῥα καὶ ἀμφαδίην μέγα νείκεσε δῖον ἄνακτα·)
„ὤ μοι ἐπιχθονίων πάντων ὀλοώτατε φωτῶν,
σὸν θράσος ἤγαγε νῶιν ὀιζύα, σὸς νόος ἔτλη
δῆριν ἀπειρεσίην καὶ τλήσεται, εἰς ὅ κε πάτρην
σὺν λαοῖς σφετέροισι δαϊζομένην ἐσίδηαι·
ἀλλ' ἐμὲ μὴ τοιόνδε λάβοι θράσος, ἀμφὶ δὲ τάρβος
ἀσφαλὲς αἰὲν ἔχοιμι, σόον δέ μοι οἶκον ὀφέλλοι.“
ὣς ἄρ' ἔφη· ὁ δ' ἄρ' οὔ τι προσέννεπε Πουλυδάμαντα·
μνήσατο γάρ, Τρώεσσιν ὅσας ἐφέηκεν ἀνίας
ἠδ' ὁπόσας ἔτ' ἔμελλεν, ἐπεί ῥά οἱ αἰθόμενον κῆρ

72 *νῦν* omiss. add. *r Neumann*, *δὴ dtlk* 79 *ἐγὼ δέ v*, *ἐγώ γέ st*[1], *ἔγωγέ ego* 80 *παρφαμένῳ l*[1] 81 *ἦ v*, *φῆ MPk*[2] 85 *-ρει v*, *-ρη MP*, *-ρῃ sck* *-πτει v*, *-πτῃ sck* 86 *-ην v*, *-η MP*, *-ῃ k* 93 *ὅγ' v*, *ἄρ' MPk*

μᾶλλον ἐφώρμαινεν θανέειν ἢ νόσφι γενέσθαι
ἀντιθέης Ἑλένης, ἧς εἵνεκα Τρώιοι υἷες
ὑψόθεν ἐσκοπίαζον ἀπ' ἄστεος αἰπεινοῖο
δέγμενοι Ἀργείους ἠδ' Αἰακίδην Ἀχιλῆα.
τοῖσι δ' ἄρ' οὐ μετὰ δηρὸν ἀρήιος ἤλυθε Μέμνων,
Μέμνων κυανέοισι μετ' Αἰθιόπεσσιν ἀνάσσων,
ὃς κίε λαὸν ἄγων ἀπερείσιον. ἀμφὶ δὲ Τρῶες
γηθόσυνοί μιν ἴδοντο κατὰ πτόλιν, ἠύτε ναῦται
χείματος ἐξ ὀλοοῖο δι' αἰθέρος ἀθρήσωσιν
ἤδη τειρόμενοι Ἑλίκης περιηγέος αἴγλην·
ὣς λαοὶ κεχάροντο περισταδόν, ἔξοχα δ' ἄλλων
Λαομεδοντιάδης· μάλα γάρ νύ οἱ ἦτορ ἐώλπει
δῃώσειν πυρὶ νῆας ὑπ' ἀνδράσιν Αἰθιόπεσσιν,
οὕνεκ' ἔχον βασιλῆα πελώριον ἠδὲ καὶ αὐτοὶ
πολλοὶ ἔσαν καὶ πάντες ἐς Ἄρεα μαιμώωντες.
τῶ ῥ' ἄμοτον κύδαινεν ἐὺν γόνον Ἠριγενείης
δωτίνῃς ἀγαθῇσι καὶ εὐφροσύνῃ τεθαλυίῃ.
ἀλλήλοις δ' ὀάριζον ἐπ' εἰλαπίνῃ καὶ ἐδωδῇ,
ὃς μὲν ἀριστῆας Δαναῶν καὶ ὅσ' ἄλγε' ἀνέτλη
ἐξενέπων, ὁ δὲ πατρὸς ἑοῦ καὶ μητέρος Ἠοῦς
ἀθάνατον βίον αἰὲν ἀπειρεσίης τε ῥέεθρα
Τηθύος Ὠκεανοῦ τε βαθυρρόου ἱερὸν οἶδμα
ἠδὲ καὶ ἀκαμάτου πέρατα χθονὸς ἀντολίας τε
ἠελίου καὶ πᾶσαν ἀπ' Ὠκεανοῖο κέλευθον
μέχρις ἐπὶ Πριάμοιο πόλιν καὶ πρώονας Ἴδης,
ἠδὲ καὶ ὡς ἐδάιξεν ὑπὸ στιβαρῇσι χέρεσσιν
ἀργαλέων Σολύμων ἱερὸν στρατόν, οἵ μιν ἰόντα
εἶργον, ὃ καί σφισι πῆμα καὶ ἄσχετον ὤπασε πότμον.
καὶ τὰ μὲν ὣς ἀγόρευε, καὶ ὡς ἴδεν ἔθνεα φωτῶν

116 ἀθανάτου P

μυρία· τοῦ δ' ἀίοντος ὑπὸ φρεσὶ τέρπετο θυμός,
καί ἑ καθαπτόμενος γεραρῷ προσεφώνεε μύθῳ·
„ὦ Μέμνον, τὸ μὲν ἄρ με θεοὶ ποίησαν ἰδέσθαι,
σὸν στρατὸν ἠδὲ καὶ αὐτὸν ἐν ἡμετέροισι μελάθροις·
ὥς μοι ἔτι κρήνειαν, ἵν' Ἀργείους ἐσίδωμαι
ὀλλυμένους ἅμα πάντας ὑπ' ἐγχείῃσι τεῇσι·
καὶ γὰρ δὴ μακάρεσσιν ἀτειρέσι πάντα ἔοικας
ἐκπάγλως, ὡς οὔ τις ἐπιχθονίων ἡρώων·
τῷ σ' ὀίω κείνοισι φόνον στονόεντα βαλέσθαι.
νῦν δ' ἄγε τέρπεο θυμὸν ἐπ' εἰλαπίνῃσιν ἐμῇσι
σήμερον· αὐτὰρ ἔπειτα μαχήσεαι, ὡς ἐπέοικεν.“
ὣς εἰπὼν παλάμῃσι δέπας πολυχανδὲς ἀείρας
Μέμνονα προφρονέως στιβαρῷ δείδεκτο κυπέλλῳ
χρυσείῳ, τό ῥα δῶκε περίφρων ἀμφιγυήεις
Ἥφαιστος κλυτὸν ἔργον, ὅτ' ἤγετο Κυπρογένειαν,
Ζηνὶ μεγασθενέι· ὁ δ' ἄρ' ὤπασεν υἱέι δῶρον
Δαρδάνῳ ἀντιθέῳ, ὁ δ' Ἐριχθονίῳ πόρε παιδί,
Τρωὶ δ' Ἐριχθόνιος μεγαλήτορι, αὐτὰρ ὅ γ' Ἴλῳ
κάλλιπε σὺν κτεάτεσσιν, ὁ δ' ὤπασε Λαομέδοντι·
αὐτὰρ ὁ Λαομέδων Πριάμῳ πόρεν, ὅς μιν ἔμελλεν
υἱέι δωσέμεναι· τὸ δέ οἱ θεὸς οὐκ ἐτέλεσσε.
κεῖνο δέπας περικαλλὲς ἐθάμβεεν ἐν φρεσὶ Μέμνων
ἀμφαφόων καὶ τοῖον ὑποβλήδην φάτο μῦθον·
„οὐ μὲν χρὴ παρὰ δαιτὶ πελώριον εὐχετάασθαι
οὐδ' ἄρ' ὑποσχεσίην κατανευέμεν, ἀλλὰ ἕκηλον
δαίνυσθ' ἐν μεγάροισι καὶ ἄρτια μηχανάασθαι·
εἴ τε γὰρ ἐσθλὸς ἔτ' εἰμὶ καὶ ἄλκιμος εἴ τε καὶ οὐκί,

127 -ων v, -ον *MPsplk* 130 -ῇσιν v, -ῇσι *MPk* 134 ἐν (om. *A*) v, ἐπ' *MPk* 142 ὃ v, ὅγ' *k* 145 -σεν v, -σε *MPk* 149 -νευσέμεν v, -νευσαίμεν *M*, -νεύσαιμεν *P*, -νευέμεν *ego* 151 ἐσθλός τ' v, εἰμ' ἐσθλός τε *hg*, ἐσθλὸς ἔτ' *ego*

γνώσῃ ἐνὶ πτολέμῳ, ὁπότ' ἀνέρος εἴδεται ἀλκή.
νῦν δ' ἄγε δὴ κοίτοιο μεδώμεθα, μηδ' ἀνὰ νύκτα
πίνωμεν· χαλεπὸς γὰρ ἐπειγομένῳ μαχέσασθαι
οἶνος ἀπειρέσιος καὶ ἀυπνοσύνη ἀλεγεινή."
ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀγασσάμενος προσέειπεν·
„αὐτὸς ὅπως ἐθέλεις, μεταδαίνυσο, πείθεο δ' αὐτῷ·
οὐ γὰρ ἐγώ σ' ἀέκοντα βιήσομαι· οὐ γὰρ ἔοικεν
οὔτ' ἀπιόντ' ἀπὸ δαιτὸς ἐρυκέμεν οὔτε μένοντα
σεύειν ἐκ μεγάροιο· θέμις νύ τοι ἀνδράσιν αὕτως."
ὣς φάθ'· ὁ δ' ἐκ δόρποιο μεθίστατο, βῆ δὲ πρὸς εὐνὴν
ὑστατίην· ἅμα δ' ἄλλοι ἔβαν κοίτοιο μέδεσθαι
δαιτυμόνες· τάχα δέ σφιν ἐπήλυθε νήδυμος ὕπνος. —
αὐτὰρ ἐνὶ μεγάροισι Διὸς στεροπηγερέταο
ἀθάνατοι δαίνυντο· πατὴρ δ' ἐν τοῖσι Κρονίων
εὖ εἰδὼς ἀγόρευε δυσηχέος ἔργα μόθοιο·
„ἴστε θεοὶ περὶ πάντες ἐπεσσύμενον βαρὺ πῆμα
αὔριον ἐν πολέμῳ· μάλα γὰρ πολλῶν μένος ἵππων
ὄψεσθ' ἀμφ' ὀχέεσσι δαϊζομένων ἑκάτερθεν
ἄνδρας τ' ὀλλυμένους· τῶν καὶ περικηδόμενός τις
μιμνέτω ὑμείων, μηδ' ἀμφ' ἐμὰ γούναθ' ἱκάνων
λισσέσθω· Κῆρες γὰρ ἀμείλιχοί εἰσι καὶ ἡμῖν."
ὣς ἔφατ' ἐν μέσσοισιν ἐπισταμένοισι καὶ αὐτοῖς,
ὄφρα καὶ ἀσχαλόων τις ἀπὸ πτολέμοιο τράπηται,
μηδέ ἑ λισσόμενος περὶ υἱέος ἠὲ φίλοιο
μαψιδίως ἀφίκηται ἀτειρέος ἔνδον Ὀλύμπου.
καὶ τὰ μὲν ὡς ἐσάκουσαν ἐριγδούπου Κρονίδαο,

154 μάχεσθαι *AMP*, -έεσθαι *rtl*, -έσασθαι C^1*sc*, -μένοισι μάχεσθαι *k* 157 αὐτῷ *v*, αὐτῷ *MPk* 163 τοῖς *AME*^{1}*hl*, τάχα *rtk* (vel τότε *r*) 165 ἐνὶ *l* 168 πολέμῳ *A* (-ω *M*), πολέων C^1*rtl*, πολλῶν *pk* 169 -εσφι *A*, -εσσι *MPlk* 170 περὶ κ. *v*, περι κ. *M*, πέρι κ. *k*, περικήδ. (*k*^{1}) *ego* 174 κεν *AM*, καὶ *bsplk* 175 ἠδὲ *AP*, ἤδε *M*, ἠὲ *rhtlk*

τλῆσαν ἐνὶ στέρνοισι καὶ οὐ βασιλῆος ἔναντα
μῦθον ἔφαν· μάλα γάρ μιν ἀπειρέσιον τρομέεσκον.
ἀχνύμενοι δ' ἵκανον, ὅπῃ δόμος ἦεν ἑκάστου
καὶ λέχος· ἀμφὶ δὲ τοῖσι καὶ ἀθανάτοις περ ἐοῦσιν
ὕπνου βληχρὸν ὄνειαρ ἐπὶ βλεφάροισι τανύσθη. — —
ἦμος δ' ἠλιβάτων ὀρέων ὑπερέσσυται ἄκρας
λαμπρὸς ἀν' οὐρανὸν εὐρὺν Ἑωσφόρος, ὅς τ' ἐπὶ ἔργον
ἡδὺ μάλα κνώσσοντας ἀμαλλοδετῆρας ἐγείρει,
τῆμος ἀρήιον υἷα φαεσφόρου Ἠριγενείης
ὕστατος ὕπνος ἀνῆκεν· ὁ δ' ἐν φρεσὶ κάρτος ἀέξων
ἤδη δυσμενέεσσι λιλαίετο δηριάασθαι.
Ἠὼς δ' οὐρανὸν εὐρὺν ἀνήιεν οὐκ ἐθέλουσα.
καὶ τότε Τρῶες ἕσαντο περὶ χροῒ δήια τεύχη,
τοῖσι δ' ἅμ' Αἰθίοπές τε, καὶ ὁππόσα φῦλα πέλοντο
ἀμφὶ βίην Πριάμοιο συναγρομένων ἐπικούρων
πανσυδίῃ. μάλα δ' ὦκα πρὸ τείχεος ἐσσεύοντο
κυανέοις νεφέεσσιν ἐοικότες, οἷα Κρονίων
χείματος ὀρνυμένοιο κατ' ἠέρα πουλὺν ἀγείρει.
αἶψα δ' ἄρ' ἐπλήσθη πεδίον πᾶν· τοὶ δ' ἐπέχυντο
ἀκρίσι πυροβόροισιν ἀλίγκιον, αἵ τε φέρονται
ὡς νέφος ἢ πολὺς ὄμβρος ὑπὲρ χθονὸς εὐρυπέδοιο
ἄπλητοι μερόπεσσιν ἀεικέα λιμὸν ἄγουσαι·
ὣς οἵ ἴσαν πολλοί τε καὶ ὄβριμοι, ἀμφὶ δ' ἀγυιαὶ
στείνοντ' ἐσσυμένων, ὑπὸ δ' ἔγρετο ποσσὶ κονίη.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον, εὖτ' ἐσίδοντο

181 ἐς λ. *v*, καὶ *MPkl*^{2} 183 ἄκρης *v*, -ας *pk* 187 -τερος *v*, -τατος *C*^{1}*rsplk* 196 ἅπαν· τοὶ *AMP*, ἅπαν· οἵ *rt*, πᾶν· τοὶ *hlk*^{1} in praef., πᾶν· οἳ *k*^{1}*k*^{2} δ' ἐπέχυντο *AMP*, δὲ κέχ. *r*, δ' ἐκέχ. *tlk* 197 προβόλοισιν ἐναλίγκιοι *Atl*, -λοις ἐναλίγκιον *MP*, καρποβόροις *r*, πυροβόροις *p*, -σιν ἀλ. *k* 200 ἔσαν *v*, ἴσαν *splk* ἀγυιὰ | στείνετ' ἐπεσσ. *v*, ἀγυιαὶ | στ. ἐπεσσ. *M*, ἀ. | στείνοντ. ἐσσ. *k*

ἐσσυμένους· εἶθαρ δὲ περὶ χροῒ χαλκὸν ἕσαντο
κάρτεϊ Πηλείδαο πεποιθότες. ὃς δ' ἐνὶ μέσσοις
ἤιε Τιτήνεσσι πολυσθενέεσσιν ἐοικώς,
κυδιόων ἵπποισι καὶ ἅρμασι· τοῦ δ' ἄρα τεύχη
πάντη μαρμαίρεσκον ἀλίγκιον ἀστεροπῇσιν.
οἷος δ' ἐκ περάτων γαιηόχου Ὠκεανοῖο
ἔρχεται ἠέλιος φαεσίμβροτος οὐρανὸν εἴσω
παμφανόων, τραφερὴ δὲ γελᾷ περὶ γαῖα καὶ αἰθήρ·
τοῖος ἐν Ἀργείοισι τότ' ἔσσυτο Πηλέος υἱός.
ὣς δὲ καὶ ἐν Τρώεσσιν ἀρήιος ἤιε Μέμνων
Ἄρεϊ μαιμώωντι πανείκελος, ἀμφὶ δὲ λαοὶ
προφρονέως ἐφέποντο παρεσσύμενοι βασιλῆι.
αἶψα δ' ἄρ' ἀμφοτέρων δολιχαὶ πονέοντο φάλαγγες
Τρώων καὶ Δαναῶν, μετὰ δ' ἔπρεπον Αἰθιοπῆες· 216
σὺν δ' ἔπεσον καναχηδὸν ὁμῶς, ἅτε κύματα πόντου
πάντοθεν ἐγρομένων ἀνέμων ὑπὸ χείματος ὥρῃ·
ἀλλήλους δ' ἐδάιζον ἐυξέστῃς μελίῃσι
βάλλοντες, μετὰ δέ σφι γόος καναχή τε δεδήει.
ὡς δ' ὅτ' ἐρίγδουποι ποταμοὶ μεγάλα στενάχωσιν
εἰς ἅλα χευόμενοι, ὅτε λαβρότατος πέλει ὄμβρος
ἐκ Διός, εὖτ' ἀλίαστον ἐπὶ νέφεα κτυπέωσι
θηγόμεν' ἀλλήλοισι, πυρὸς δ' ἐξέσσυτ' ἀυτμή·
ὣς τῶν μαρναμένων μέγ' ὑπαὶ ποσὶ γαῖα πελώρη
ἔβραχε, θεσπεσίου δὲ δι' ἠέρος ἔσσυτ' ἀυτὴ
σμερδαλέη· δεινὸν γὰρ ἀύτεον ἀμφοτέρωθεν.
ἔνθ' ἕλε Πηλείδης Θαλίον καὶ ἀμύμονα Μέντην,

206 -σιν (-σι *MP*) καὶ ὄχεσφι *AMP*, ἵπποις καὶ ὄχεσφιν *rtl*, -σι καὶ ἅρμασι *wk* (nec ὀχέεσσι καὶ ἵπποις nec ἵπποισιν ὄχεσσί τε prob. *k*) 210 -φαίνων *v*, -φανόων *MPk* 213 -οντι *v*, -ωντι *MPk* 218 ἀγρ *v*, ἐγρ. *pk* 219 -ίῃσιν *M* 224 γηθ. *A*, θηγ. *MPVrtk*, θειν. *l* πάρος *v*, πυρὸς *kspl* 228 Θάλιον *v*, -ίον *ls*

ἄμφω ἀριγνώτω, βάλε δ' ἄλλων πολλὰ κάρηνα.
εὖτ' αἰγὶς βερέθροισιν ὑποχθονίων ἐπορούσῃ
λάβρος, ἄφαρ δέ τε πάντα κατὰ χθονὸς ἀμφιχέηται
ἐκ θεμέθλων· μάλα γάρ ῥα περιτρομέει βαθὺ γαῖα·
ὣς οἵ γ' ἐν κονίῃσι κατήριπον ὠκέι πότμῳ
αἰχμῇ Πηλείωνος· ὁ γὰρ μέγα μαίνετο θυμῷ.
ὣς δ' αὔτως ἑτέρωθεν ἐὺς πάις Ἠριγενείης
Ἀργείους ἐδάιζε κακῇ ἐναλίγκιος Αἴσῃ,
ἥ τε φέρει λαοῖσι κακὸν καὶ ἀεικέα λοιγόν.
πρῶτον δ' εἷλε Φέρωνα διὰ στέρνοιο τυχήσας
δούρατι λευγαλέῳ, ἐπὶ δ' ἔκτανε δῖον Ἔρευθον,
ἄμφω ἐελδομένω πόλεμον καὶ ἀεικέα χάρμην,
οἳ Θρύον ἀμφενέμοντο παρ' Ἀλφειοῖο ῥεέθροις,
καί ῥ' ὑπὸ Νέστορι βῆσαν ἐς Ἰλίου ἱερὸν ἄστυ.
τοὺς δ' ὁπότ' ἐξενάριξεν, ἐπῴχετο Νηλέος υἷα
κτεῖναί μιν μεμαώς. τοῦ δ' Ἀντίλοχος θεοειδὴς
πρόσθ' ἐλθὼν ἴθυνε μακρὸν δόρυ, καί οἱ ἅμαρτε
τυτθὸν ἀλευαμένοιο, φίλον δέ οἱ εἷλεν ἑταῖρον
Αἴθοπα Πυρρασίδην. ὁ δὲ χωσάμενος κταμένοιο
Ἀντιλόχῳ ἐπιᾶλτο, λέων ὣς ὀβριμόθυμος
καπρίῳ, ὅς ῥα καὶ αὐτὸς ἐναντίον οἶδε μάχεσθαι
ἀνδράσι καὶ θήρεσσι, πέλει δέ οἱ ἄσπετος ὁρμή·
ὣς ὁ θοῶς ἐπόρουσεν. ὁ δ' εὐρέι μιν βάλε πέτρῳ
Ἀντίλοχος· τοῦ δ' οὔ τι λύθη κέαρ, οὕνεκ' ἄρ' αὐτοῦ

230 εὖτε γαίης μελάθροισιν ὑποχθονίην (-οις *A*) ἐπ. *AMP*, εὖτ' ἄνεμος *rsptl*, βάθροισιν ὑποχθονίοις *r* (*sp* olim), μεγάροισιν ὑ. *k* non probat; lacunae signa pos. k^1 post εὖτε (seq. γαίης μελ. -ίοις), *sp* post hunc v. (sed εὖτ' αἴης μ. -ίοις), k^2 sic: εὖτε [θοὸς] μελάθροισιν ὑποχθονίην [στροφάλιγγα] | γαίης [παλλομένης ἄνεμος κλονέων] ἐπορούσῃ; quod supra legitur, *ego* scripsi 232 βαρὺ *v*, -θὺ *blk* 243 υἱὸς *MV*, -ὸν *v*, υἷα k^1 in praef. k^2

ἀλγινόεντ' ἀπάλαλκε φόνον κρατερὴ τρυφάλεια·
σμερδαλέον δέ οἱ ἦτορ ἐνὶ στέρνοισιν ὀρίνθη
βλημένου, ἀμφὶ δέ οἱ κόρυς ἴαχε· καί ῥ' ἔτι μᾶλλον
μαίνετ' ἐπ' Ἀντιλόχῳ, κρατερὴ δέ οἱ ἔζεεν ἀλκή·
τοὔνεκα Νέστορος υἷα καὶ αἰχμητήν περ ἐόντα
τύψεν ὑπὲρ μαζοῖο, διήλασε δ' ὄβριμον ἔγχος
ἐς κραδίην, θνητοῖσιν ὅπῃ πέλει ὠκὺς ὄλεθρος.
τοῦ δ' ὑποδηωθέντος ἄχος Δαναοῖσιν ἐτύχθη
πᾶσι, μάλιστα δὲ πατρὶ περὶ φρένας ἤλυθε πένθος
Νέστορι παιδὸς ἑοῖο παρ' ὀφθαλμοῖσι δαμέντος·
οὐ γὰρ δὴ μερόπεσσι κακώτερον ἄλγος ἔπεισιν,
ἢ ὅτε παῖδες ὄλωνται ἑοῦ πατρὸς εἰσορόωντος·
τοὔνεκα καὶ στερεῇσιν ἀρηρέμενος φρεσὶ θυμὸν
ἄχνυτο παιδὸς ἑοῖο κακῇ περὶ κηρὶ δαμέντος.
κέκλετο δ' ἐσσυμένως Θρασυμήδεα νόσφιν ἐόντα·
„ὄρσό μοι, ὦ Θρασύμηδες ἀγακλεές, ὄφρα φονῆα
σεῖο κασιγνήτοιο καὶ υἱέος ἡμετέροιο
νεκροῦ ἑκὰς σεύωμεν ἀεικέος ἠὲ καὶ αὐτοὶ
ἀμφ' αὐτῷ στονόεσσαν ἀναπλήσωμεν ὀιζύν.
εἰ δὲ σοὶ ἐν στέρνοισι πέλει δέος, οὐ σύγ' ἐμεῖο
υἱὸς ἔφυς, οὐδ' ἐσσὶ Περικλυμένοιο γενέθλης,
ὅς τε καὶ Ἡρακλῆι καταντίον ἐλθέμεν ἔτλη.
ἀλλ' ἄγε δὴ πονεώμεθ', ἐπεὶ μέγα κάρτος ἀνάγκη
πολλάκι μαρναμένοισι καὶ οὐτιδανοῖσιν ὀπάζει.“
ὣς φάτο· τοῦ δ' ἀίοντος ὑπὸ φρεσὶ σύγχυτο θυμὸς
πένθεσι λευγαλέοισιν. ἄφαρ δέ οἱ ἤλυθεν ἄγχι
Φηρεύς, ὅν ῥα καὶ αὐτὸν ἀποκταμένοιο ἄνακτος
εἷλεν ἄχος· κρατεροῖο δ' ἐναντία δηριάασθαι

254 στήθεσσιν v, -σιν M sed in marg. στέρνοισ″, στέρνοισιν kP

Μέμνονος ὡρμήθησαν ἀν' αἱματόεντα κυδοιμόν.
ὡς δ' ὅταν ἀγρευτῆρε κατὰ πτύχας ὑληέσσας
οὔρεος ἠλιβάτοιο λιλαιόμενοι μέγα θήρης
ἢ συὸς ἢ ἄρκτοιο καταντίον ἀίσσωσι
κτεινέμεναι μεμαῶτες, ὁ δ' ἀμφοτέροις ἐπορούσας
θυμῷ μαιμώωντι βίην ἀπαμύνεται ἀνδρῶν·
ὣς τότε καὶ Μέμνων φρόνεεν μέγα. τοὶ δέ οἱ ἄγχι
ἤλυθον· ἀλλά μιν οὔ τι κατακτανέειν ἐδύναντο
μακρῇσιν μελίῃσιν· ἀπέπλαγχθεν δέ οἱ αἰχμαὶ
τῆλε χροός· μάλα γάρ που ἀπέτραπεν Ἠριγένεια.
δούρατα δ' οὐχ ἁλίως χαμάδις πέσεν· ἀλλ' ὁ μὲν ὦκα
ἐμμεμαὼς κατέπεφνε Πολύμνιον υἷα Μέγητος
Φηρεὺς ὀβριμόθυμος, ὁ δ' ἔκτανε Λαομέδοντα
Νέστορος ὄβριμος υἱὸς ἀδελφειοῖο χολωθείς,
ὃν Μέμνων ἐδάιξε κατὰ μόθον. ἀμφὶ δ' ἄρ' αὐτῷ
χερσὶν ὑπ' ἀκαμάτῃσι λύεν παγχάλκεα τεύχη
οὔτε βίην ἀλέγων Θρασυμήδεος οὔτε μὲν ἐσθλοῦ
Φηρέος, οὕνεκα πολλὸν ὑπείροχος· οἱ δ' ἅτε θῶε
ἀμφ' ἔλαφον βεβαῶτα μέγαν φοβέοντο λέοντα
οὔ τι πρόσω μεμαῶτες ἔτ' ἐλθέμεν. αἰνὰ δὲ Νέστωρ
ἐγγύθεν εἰσορόων ὀλοφύρετο, κέκλετο δ' ἄλλους
σφοὺς ἑτάρους δηίῳ συνεπελθέμεν ἀνδρί, καὶ αὐτὸς
ὥρμηνεν πονέεσθαι ἀφ' ἅρματος, οὕνεκ' ἄρ' αὐτὸν
παιδὸς ἀποφθιμένοιο ποθὴ ποτὶ μῶλον ἄγεσκε
πὰρ δύναμιν· μέλλεν δὲ φίλῳ περὶ παιδὶ καὶ αὐτὸς

282 ὅταν v, ὁπότ' k^1 in praef. k^2 -ρες ἀνὰ v, -ρε κατὰ k ibid. 283 εὐρυβ. v, ἠλιβ. MPk 284 -ουσι v, -ωσι *ego* 285 -τέρωσ' ptl 289 γάρ v, δέ hlk 298 θῶες MP 299 -ῶτε v, -ῶτα P (sed α in ras.) k 300 μεμαῶτ' ἔτι ἐλθ. At, -ῶτες ἔτι MP, -ῶτ' ἔτ' ἐπελθ. hl^1, -ῶτες ἐπελθ. (k ol.) l^2, -ῶτες ἔτ' ἐλθ. k 302 δηίοισιν ἐπελθέμεν· ἂν δὲ v, ἐν δὲ k^1 in praef., ἠδὲ k^2, δηίῳ συνεπ. ἀνδρὶ *ego* 303 -αινεν A 305 περὶ omiss. add. r

κεῖσθαι ὁμῶς κταμένοις ἐναρίθμιος, εἰ μὴ ἄρ' αὐτὸν
Μέμνων ὀβριμόθυμος ἐπεσσύμενον προσέειπεν
αἰδεσθεὶς ἀνὰ θυμὸν ὁμήλικα πατρὸς ἑοῖο·
„ὦ γέρον, οὔ μοι ἔοικε καταντία σεῖο μάχεσθαι
πρεσβυτέροιο γεγῶτος, ἐπεὶ φρεσὶν οἶδα νοῆσαι·
ἦ γὰρ ἔγωγ' ἐφάμην σε νέον καὶ ἀρήιον ἄνδρα
ἀντιάαν δηίοισι, θρασὺς δέ μοι ἔλπετο θυμὸς
χειρὸς ἐμῆς καὶ δουρὸς ἐπάξιον ἔμμεναι ἔργον.
ἀλλ' ἀναχάζεο τῆλε μόθου στυγεροῦ τε φόνοιο,
χάζεο, μή σε βάλοιμι καὶ οὐκ ἐθέλων περ ἀνάγκῃ,
μηδὲ τεῷ περὶ παιδὶ πέσῃς μεγ' ἀμείνονι φωτὶ
μαρνάμενος, μὴ δή σε καὶ ἄφρονα μυθήσωνται
ἀνέρες· οὐ γὰρ ἔοικεν ὑπερτέρῳ ἀντιάασθαι.“
ὣς φάτο· τὸν δ' ἑτέρωθι γέρων ἠμείβετο μύθῳ·
„ὦ Μέμνον, τὰ μὲν ἄρ που ἐτώσια πάντ' ἀγορεύεις·
οὐ μὲν γὰρ δηίοισι πονεύμενον εἵνεκα παιδὸς
ἀφραίνειν ἐρέει τις ἀνηλέα παιδοφονῆα
νεκροῦ ἑκὰς σεύοντα κατὰ μόθον. ὡς ὄφελόν μοι
ἀλκὴ ἔτ' ἔμπεδος ἦεν, ἵνα γνώῃς ἐμὸν ἔγχος·
νῦν δὲ σὺ μὲν μάλα πάγχυ μέγ' εὔχεαι, οὕνεκα θυμὸς
θαρσαλέος νέου ἀνδρὸς ἐλαφρότερόν τε νόημα·
τῶ ῥα καὶ ὑψηλὰ φρονέων ἀποφώλια βάζεις.
εἰ δέ μοι ἡβώοντι καταντίον εἰληλούθεις,
οὐκ ἄν τοι κεχάροντο φίλοι κρατερῷ περ ἐόντι·
νῦν δ' ὥς τίς τε λέων ὑπὸ γήραος ἄχθομαι αἰνοῦ,
ὅν τε κύων σταθμοῖο πολυρρήνοιο δίηται
θαρσαλέως, ὁ δ' ἄρ' οὔ τι λιλαιόμενός περ ἀμύνει

306 ἐναλίγκιον *v*, ἐναρίθμιον st^1, -ος *hk* 310 γε μὲν οἶδα *v*, γ' εὖ οἶ. *hk*, περίοιδα *hw*, φρεσὶν οἶ. *ego* 314 μόγου *v*, μόθον *kl* 320 -ων *v*, -ον *k* 326 δὲ *k* 327 ὑψηλοφρονέων *hg*

οἷ αὐτῷ, οὐ γάρ οἱ ἔτ' ἔμπεδοί εἰσιν ὀδόντες
οὐδὲ βίη, κρατερὸν δὲ χρόνῳ ἀμαθύνεται ἦτορ·
ὡς ἐμοὶ οὐκέτι κάρτος ἐνὶ στήθεσσιν ὄρωρεν
οἷόν περ τὸ πάροιθεν· ὅμως δ' ἔτι φέρτερός εἰμι
πολλῶν ἀνθρώπων, παύροισι δὲ χεῖρας ὑπείκω."
ὣς εἰπὼν ἀπὸ βαιὸν ἐχάσσατο· λεῖπε δ' ἄρ' υἷα
κείμενον ἐν κονίῃσιν, ἐπεί νύ οἱ οὐκέτι πάμπαν
γναμπτοῖς ἐν μελέεσσι πέλε σθένος ὡς τὸ πάροιθε·
γήραϊ γὰρ καθύπερθε πολυτλήτῳ βεβάρητο.
ὣς δ' αὔτως ἀπόρουσεν ἐυμμελίης Θρασυμήδης
Φηρεύς τ' ὀβριμόθυμος ἰδ' ἄλλοι πάντες ἑταῖροι
δειδιότες· μάλα γάρ σφιν ἐπῴχετο λοίγιος ἀνήρ.
ὡς δ' ὅτ' ἀπὸ μεγάλων ὀρέων ποταμὸς βαθυδίνης
καχλάζων φορέηται ἀπειρεσίῳ ὀρυμαγδῷ,
ὁππότε συννεφὲς ἦμαρ ἐπ' ἀνθρώποισι τανύσσῃ
Ζεὺς κλονέων μέγα χεῖμα, περικτυπέουσι δὲ πάντῃ
βρονταὶ ὁμῶς στεροπῇσιν ἅδην νεφέων συνιόντων
θεσπεσίων, κοῖλαι δὲ περικλύζονται ἄρουραι
ὄμβρου ἐπεσσυμένοιο δυσηχέος, ἀμφὶ δὲ μακραὶ
σμερδαλέον βοόωσι κατ' οὔρεα πάντα χαράδραι·
ὣς Μέμνων σεύεσκεν ἐπ' ᾐόνας Ἑλλησπόντου
Ἀργείους, μετόπισθε δ' ἐπισπόμενος κεράιζε.
πολλοὶ δ' ἐν κονίῃσι καὶ αἵματι θυμὸν ἔλειπον
Αἰθιόπων ὑπὸ χερσί· λύθρῳ δ' ἐφορύνετο γαῖα
ὀλλυμένων Δαναῶν. μέγα δ' ἐν φρεσὶ γήθεε Μέμνων
αἰὲν ἐπεσσύμενος δηίων στίχας· ἀμφὶ δὲ νεκρῶν
στείνετο Τρώιον οὖδας· ὁ δ' οὐκ ἀπέληγε κυδοιμοῦ·

337 ἀνθρώπων *v*, ἡρώων *n* γῆρας ὑπείκει *v*, post h. v. lacunae signa pos. *k* (velut ἡμέτερον, τοῖς κάρτος ὁμῶς πέλει ἠδὲ καὶ ἥβη), γ. ὁμοῖον *n*, χεῖρας ὑπείκω *ego* 340 -θεν *v*, -θε *k*²

ἔλπετο γὰρ Τρώεσσι φάος, Δαναοῖσι δὲ πῆμα
ἔσσεσθ᾽· ἀλλά ἑ Μοῖρα πολύστονος ἠπερόπευεν
ἐγγύθεν ἱσταμένη καὶ ἐπὶ κλόνον ὀτρύνουσα.
ἀμφὶ δέ οἱ θεράποντες ἐυσθενέες πονέοντο,
Ἀλκυονεὺς Νυχίος τε καὶ Ἀσιάδης ἐρίθυμος
αἰχμητής τε Μένεκλος Ἀλέξιππός τε Κλύδων τε
ἄλλοι τ᾽ ἰωχμοῖο μεμαότες, οἵ ῥα καὶ αὐτοὶ
καρτύναντ᾽ ἀνὰ δῆριν ἑῷ πίσυνοι βασιλῆι.
καὶ τότε δή ῥα Μένεκλον ἐπεσσύμενον Δαναοῖσι
Νηλείδης κατέπεφνεν. ὁ δ᾽ ἀσχαλόων ἑτάροιο
Μέμνων ὀβριμόθυμος ἐνήρατο πουλὺν ὅμιλον·
ὡς δ᾽ ὅτε τις κραιπνῇσιν ἐπιβρίσας ἐλάφοισι
θηρητὴρ ἐν ὄρεσσι λίνων ἔντοσθεν ἐρεμνῶν
ἰλαδὸν ἀγρομένῃσιν ἐς ὑστάτιον δόλον ἄγρης
αἴζηῶν ἰότητι, κύνες δ᾽ ἐπικαγχαλόωσι
πυκνὸν ὑλακτιόωντες, ὁ δ᾽ ἐμμεμαὼς ὑπ᾽ ἄκοντι
κεμμάσιν ὠκυτάτῃσι φόνον στονόεντα τίθησιν·
ὣς Μέμνων ἐδάιζε πολὺν στρατόν· ἀμφὶ δ᾽ ἑταῖροι
γήθεον, Ἀργεῖοι δὲ περικλυτὸν ἄνδρα φέβοντο.
ὡς δ᾽ ὁπότ᾽ ἐξεριπόντος ἀπ᾽ οὔρεος ἠλιβάτοιο
πέτρου ἀπειρεσίοιο, τὸν ὑψόθεν ἀκάματος Ζεὺς
ὤσῃ ἀπὸ κρημνοῖο βαλὼν στονόεντι κεραυνῷ,
τοῦ δ᾽ ἄρ᾽ ἀνὰ δρυμὰ πυκνὰ καὶ ἄγκεα μακρὰ ῥαγέντος
βῆσσαι ἐπικτυπέουσι, περιτρομέουσι δ᾽ ἀν᾽ ὕλην,
εἴ που μῆλ᾽ ὑπένερθε κυλινδομένοιο νέμονται
ἢ βόες ἠέ τιν᾽ ἄλλα, καὶ ἐξαλέονται ἰόντος

364 *Νύχιός v*, *-ίος ls*   365 *Κλάδων v*, *Κλύδων MPk²*   371 *-βρίσησ᾽ A*, *-η dtl*, *-βρήσας M*, *-βρίσας P* et sic *k* lacunae signis post h. v. positis   372 *ἐνόρουσε st²*   374 *-σιν v*, *-σι Pk²*   378 *ἄνδρ᾽ ἐφέβ. v*, em. *k¹* in praef. *k²*   385 *ἠέ τι ἄλλο v*, *ἢ ἔτι ἄ. M*, em. *k*

ῥιπὴν ἀργαλέην καὶ ἀμείλιχον· ὣς ἄρ' Ἀχαιοὶ
Μέμνονος ὄβριμον ἔγχος ἐπεσσυμένοιο φέβοντο.
καὶ τότε δὴ κρατεροῖο μόλε σχεδὸν Αἰακίδαο
Νέστωρ, ἀμφὶ δὲ παιδὶ μέγ' ἀχνύμενος φάτο μῦθον·
„ὦ Ἀχιλεῦ, μέγα ἕρκος ἐυσθενέων Ἀργείων,
ὤλετό μοι φίλος υἱός, ἔχει δέ μοι ἔντεα Μέμνων
τεθναότος, δείδω δέ, κυνῶν μὴ κύρμα γένηται.
ἀλλὰ θοῶς ἐπάμυνον, ἐπεὶ φίλος, ὅς τις ἑταίρου
μέμνηται κταμένοιο καὶ ἄχνυται οὐκέτ' ἐόντος.“
ὣς φάτο· τοῦ δ' ἀίοντος ὑπὸ φρένας ἔμπεσε πένθος.
Μέμνονα δ' ὡς ἐνόησεν ἀνὰ στονόεντα κυδοιμὸν
Ἀργείους ἰληδὸν ὑπ' ἔγχεϊ δηιόωντα,
αὐτίκα κάλλιπε Τρῶας, ὅσους ὑπὸ χερσὶ δάιξεν
ἀμφ' ἄλλῃσι φάλαγξι, καὶ ἰσχανόων πολέμοιο
ἤλυθέ οἱ κατέναντα χολούμενος Ἀντιλόχοιο
ἠδ' ἄλλων κταμένων. ὁ δ' ἀνείλετο χείρεσι πέτρην,
τήν ῥα βροτοὶ θέσαν οὖρον ἐυστάχυος πεδίοιο,
καὶ βάλεν ἀκαμάτοιο κατ' ἀσπίδα Πηλείωνος,
δῖος ἀνήρ. ὁ δ' ἄρ' ⟨οὔ τι τρέσας περιμήκεα πέτρην⟩
αὐτίκα οἱ σχεδὸν ἦλθε μακρὸν δόρυ πρόσθε τιταίνων,
πεζός, ἐπεί ῥά οἱ ἵπποι ἔσαν μετόπισθε κυδοιμοῦ,
καί οἱ δεξιὸν ὦμον ὑπὲρ σάκεος στυφέλιξεν.
ὃς δὲ καὶ οὐτάμενός περ ἀταρβέι μάρνατο θυμῷ·
τύψε δ' ἄρ' Αἰακίδαο βραχίονα δουρὶ κραταιῷ·
τοῦ δ' ἐχύθη φίλον αἷμα· χάρη δ' ἄρ' ἐτώσιον ἥρως,
καί μιν ἄφαρ προσέειπεν ὑπερφιάλοις ἐπέεσσι·
„νῦν σ' ὀίω μόρον αἰνὸν ἀναπλήσειν ὑπ' ὀλέθρῳ

392 -εῶτος *sp* 394 -μένον κ. ἀμύνεται *k* ol. ci. 396 θ' *M* in ras. *k*[1] in nota 401 ἄρα εἵλ. *A*, οὐν (ν in corr. pro ρ) εἵλ. *M*, οὔρ' εἵλ. *P*, ἄρ' εἵλ. *rtl*, ἀνεἵλ. *k* 408 περ omiss. add. *rk* μαίν. *v*, μάρν. *k* 411 -σιν *r*, -σι *MPk*

χερσὶν ἐμῇσι δαμέντα καὶ οὐκέτι μῶλον ἀλύξαι.
σχέτλιε, τίπτε σὺ Τρῶας ἀνηλεγέως ὀλέεσκες
πάντων εὐχόμενος πολὺ φέρτατος ἔμμεναι ἀνδρῶν
μητρός τ' ἀθανάτης Νηρηίδος; ἀλλά σοὶ ἤδη
ἤλυθεν αἴσιμον ἦμαρ, ἐπεὶ θεόθεν γένος εἰμὶ·
Ἠοῦς ὄβριμος υἱός, ὃν ἔκτοθι λειριόεσσαι
Ἑσπερίδες θρέψαντο παρὰ ῥόον Ὠκεανοῖο.
τοὔνεκά σευ καὶ δῆριν ἀμείλιχον οὐκ ἀλεείνω,
εἰδὼς μητέρα δῖαν, ὅσον προφερεστέρη ἐστὶ
Νηρεΐδος, τῆς αὐτὸς ἐπεύχεαι ἔκγονος εἶναι·
ἡ μὲν γὰρ μακάρεσσι καὶ ἀνθρώποισι φαείνει,
τῇ ἐπὶ πάντα τελεῖται ἀτειρέος ἔνδον Ὀλύμπου
ἐσθλά τε καὶ κλυτὰ ἔργα, τά τ' ἀνδράσι γίνετ' ὄνειαρ·
ἡ δ' ἐν ἁλὸς κευθμῶσι καθημένη ἀτρυγέτοισι
ναίει ὁμῶς κήτεσσι μετ' ἰχθύσι κυδιόωσα
ἄπρηκτος καὶ ἄιστος· ἐγὼ δέ οἱ οὐκ ἀλεγίζω,
οὐδέ μιν ἀθανάτῃσιν ἐπουρανίῃσιν ἐίσκω.“
ὣς φάτο· τὸν δ' ἐνένιπε θρασὺς πάις Αἰακίδαο·
„ὦ Μέμνον, πῇ νῦν σε κακαὶ φρένες ἐξορόθυναν
ἐλθέμεν ἀντί' ἐμεῖο καὶ ἐς μόθον ἰσοφαρίζειν;
ὃς σέο φέρτερός εἰμι βίῃ γενεῇ τε φυῇ τε,
Ζηνὸς ὑπερθύμοιο λαχὼν ἀριδείκετον αἷμα
καὶ σθεναροῦ Νηρῆος, ὃς εἰνάλίας τέκε κούρας
Νηρεΐδας, τὰς δή ῥα θεοὶ τίουσ' ἐν Ὀλύμπῳ,
πασάων δὲ μάλιστα Θέτιν κλυτὰ μητιόωσαν,

415 *-τερος v* (*k*[1] errore), *-τατος spk*[1] in nota *k*[2], sed *k* lacunae signis positis [velut *κάρτεϊ, καὶ γενεὴν μεγάλου Διὸς ἔμμεναι αὐτοῦ*] 418 *ἔκτοθι AMPlb*, *ἔκποθι rtlk* 420 *καὶ v*, *κατὰ rt* *-γείνω AV*, *-γύνω r*, *-γίζω pt*, *-είνω Mlk* 421 *ἐστὶν v*, *-ὶ Mk* 426 *-σιν v*, *-σι Mk* 427 *μέγ' st*[1] 428 *μιν v*, *οἱ ego* 430 *-σπε rtl* 431 *Μέμνων MP*, sed in *M* o superscr. 432 *εἰς M*

οὕνεκά που Διόνυσον ἑοῖς ὑπέδεκτο μελάθροις,
ὁππότε δειμαίνεσκε βίην ὀλοοῖο Λυκούργου,
ἠδὲ καὶ ὡς Ἥφαιστον ἐύφρονα χαλκεοτέχνην
δέξαθ' ἑοῖσι δόμοισιν ἀπ' Οὐλύμποιο πεσόντα,
αὐτόν τ' Ἀργικέραυνον ὅπως ὑπελύσατο δεσμῶν·
τῶν μιμνησκόμενοι πανδερκέες Οὐρανίωνες
μητέρ' ἐμὴν τίουσι Θέτιν ζαθέῳ ἐν Ὀλύμπῳ.
γνώσῃ δ', ὡς θεός ἐστιν, ἐπὴν δόρυ χάλκεον εἴσω
ἐς τεὸν ἧπαρ ἵκηται ἐμῇ βεβλημένον ἀλκῇ·
Ἕκτορα γὰρ Πατρόκλοιο, σὲ δ' Ἀντιλόχοιο χολωθεὶς
τίσομαι· οὐ γὰρ ὄλεσσας ἀνάλκιδος ἀνδρὸς ἑταῖρον.
ἀλλὰ τί νηπιάχοισιν ἐοικότες ἀφραδέεσσιν
ἕσταμεν ἡμετέρων μυθεύμενοι ἔργα τοκήων
ἠδ' αὐτῶν; ἐγγὺς καὶ Ἄρης, ἐγγὺς δὲ καὶ ἀλκή."
ὣς εἰπὼν παλάμῃσι λάβεν πολυμήκετον ἆορ,
Μέμνων δ' αὖθ' ἑτέρωθι, καὶ ὀτραλέως συνόρουσαν.
τύπτον δ' ἀλλήλων ἄμοτον φρεσὶ μαιμώωντες
ἀσπίδας, ἃς Ἥφαιστος ὑπ' ἀμβροσίῃ κάμε τέχνῃ,
πυκνὰ συναΐσσοντες· ἐπέψαυον δὲ λόφοισιν
ἀλλήλης ἑκάτερθεν ἐρειδόμεναι τρυφάλειαι.
Ζεὺς δὲ μέγ' ἀμφοτέροισι φίλα φρονέων βάλε κάρτος,
τεῦξε δ' ἄρ' ἀκμήτους καὶ μείζονας, οὐδὲν ὁμοίους
ἀνδράσιν, ἀλλὰ θεοῖσιν· Ἔρις δ' ἐπεγήθεεν ἄμφω.
οἱ δ' αἰχμὴν μεμαῶτες ἄφαρ χροὸς ἐντὸς ἐλάσσαι
μεσσηγὺς σάκεός τε καὶ ὑψιλόφου τρυφαλείης
πολλάκις ἰθύνεσκον ἑὸν μένος, ἄλλοτε δ' αὖτε
βαιὸν ὑπὲρ κνημῖδος, ἔνερθε δὲ δαιδαλέοιο

441 -ατο οἷσι *v*, -αθ' ἑοῖσι (vel -ατ' ἐν οἷσι) *k* 451 δὲ omiss. add. *r* 453 αὖ *P* -θεν *AMP*, -θε *rtl*, -θι *spk* 454 κυδιό. *v*, μαιμώ. *k* 457 -αις *v*, -αιν *rk*[1] in praef. *k*[2], -ῃς *ego* 459 ἀκαμάτους *v*, ἀκμήτους *k*[1] in praef. *k*[2] 460 -φοῖν *ptl*

θώρηκος βριαροῖσιν ἀρηρότος ἀμφὶ μέλεσσιν,
ἄμφω ἐπειγόμενοι· περὶ δέ σφισιν ἄμβροτα τεύχη
ἀμφ' ὤμοις ἀράβησε. βοὴ δ' ἵκετ' αἰθέρα δῖον
Τρώων Αἰθιόπων τε καὶ Ἀργείων ἐριθύμων
μαρναμένων ἑκάτερθε· κόνις δ' ὑπὸ ποσσὶν ὀρώρει
ἄχρις ἐς οὐρανὸν εὐρύν, ἐπεὶ μέγα κίνυτο ἔργον.
εὖτ' ὀμίχλη κατ' ὄρεσφιν ὀρινομένου ὑετοῖο,
ὁππότε δὴ κελάδοντες ἐνιπλήθονται ἔναυλοι
ὕδατος ἐσσυμένοιο, βρέμει δ' ἄρα πᾶσα χαράδρη
ἄσπετον, οἱ δ' ἅμα πάντες ἐπιτρομέουσι νομῆες
χειμάρρους ὀμίχλην τε φίλην ὀλοοῖσι λύκοισιν
ἠδ' ἄλλοις θήρεσσιν, ὅσους τρέφει ἄσπετος ὕλη·
ὣς τῶν ἀμφὶ πόδεσσι κόνις πεπότητ' ἀλεγεινή,
ἥ ῥά τε καὶ φάος ἠὺ κατέκρυφεν ἠελίοιο
αἰθέρ' ἐπισκιάουσα· κακὴ δ' ὑπεδάμνατ' ὀιζὺς
λαοὺς ἐν κονίῃ τε καὶ αἰνομόρῳ ὑσμίνῃ.
καὶ τὴν μὲν μακάρων τις ἀπώσατο δηιοτῆτος
ἐσσυμένως· ὀλοαὶ δὲ θοὰς ἑκάτερθε φάλαγγας
Κῆρες ἐποτρύνεσκον ἀπειρέσιον πονέεσθαι
δῆριν ἀνὰ στονόεσσαν· Ἄρης δ' οὐ λῆγε φόνοιο
λευγαλέου, πάντῃ δὲ πέριξ ἐφορύνετο γαῖα
αἵματος ἐκχυμένοιο· μέλας δ' ἐπετέρπετ' Ὄλεθρος.
στείνετο δὲ κταμένων πεδίον μέγα θ' ἱππόβοτόν τε,
ὁππόσον ἀμφὶ ῥοῇς Σιμόεις καὶ Ξάνθος ἐέργει
Ἴδηθεν κατιόντες ἐς ἱερὸν Ἑλλήσποντον.
    ἀλλ' ὅτε δὴ πολλὴ μὲν ἄδην μηκύνετο δῆρις

471 post hunc v. auctore *sc* lacunae signa [velut *ἀργαλέου πνοιῇσι Νότου περιπέπτατο πάντῃ*] pos. *k* 474 *ἄρα v*, *ἅμα* $psp k^1$ in praef. k^2 475 *-ρουν P* *ὁμ. M* 479 *ὑποδ. M* 480 *κονίῃ τε v*, *-ίῃσι* st^2k 487 *θ'* omiss. add. *hlk* 488 *-αῖς v*, *-ῇς* k^1 in praef. k^2

μαρναμένων, ἶσον δὲ μένος τέτατ' ἀμφοτέροισι,
δὴ τότε τούς γ' ἀπάνευθεν Ὀλύμπιοι εἰσορόωντες
οἱ μὲν θυμὸν ἔτερπον ἀτειρέι Πηλείωνι,
οἱ δ' ἄρα Τιθωνοῖο καὶ Ἠοῦς υἱέι δίῳ.
ὑψόθι δ' οὐρανὸς εὐρὺς ἐπέβραχεν, ἀμφὶ δὲ πόντος
ἴαχε, κυανέη δὲ πέριξ ἐλελίζετο γαῖα
ἀμφοτέρων ὑπὸ ποσσί. περιτρομέοντο δὲ πᾶσαι
ἀμφὶ Θέτιν Νηρῆος ὑπερθύμοιο θύγατρες
ὀβρίμου ἀμφ' Ἀχιλῆος ἰδ' ἄσπετα δειμαίνοντο.
δείδιε δ' Ἠριγένεια φίλῳ περὶ παιδὶ καὶ αὐτὴ
ἵπποις ἐμβεβαυῖα δι' αἰθέρος· αἱ δέ οἱ ἄγχι
Ἠελίοιο θύγατρες ἐθάμβεον ἑστηυῖαι
θεσπέσιον περὶ κύκλον, ὃν ἠελίῳ ἀκάμαντι
Ζεὺς πόρεν εἰς ἐνιαυτὸν ἑὸν δρόμον, ᾧ περὶ πάντα
ζώει τε φθινύθει τε περιπλομένοιο κατ' ἦμαρ
νωλεμέως αἰῶνος ἑλισσομένων ἐνιαυτῶν.
καί νύ κε δὴ μακάρεσσιν ἀμείλιχος ἔμπεσε δῆρις,
εἰ μὴ ὑπ' ἐννεσίῃσι Διὸς μεγαλοβρεμέταο
δοιαὶ ἄρ' ἀμφοτέροισι θοῶς ἑκάτερθε παρέσταν
Κῆρες· ἐρεμναίη μὲν ἔβη ποτὶ Μέμνονος ἦτορ,
φαιδρὴ δ' ἀμφ' Ἀχιλῆα δαΐφρονα· τοὶ δ' ἐσιδόντες
ἀθάνατοι μέγ' ἄυσαν, ἄφαρ δ' ἕλε τοὺς μὲν ἀνίη
λευγαλέη, τοὺς δ' ἠὺ καὶ ἀγλαὸν ἔλλαβε χάρμα.
ἥρωες δ' ἐμάχοντο καθ' αἱματόεντα κυδοιμὸν
ἔμπεδον, οὐδέ τι Κῆρας ἐποιχομένας ἐνόησαν
θυμὸν καὶ μέγα κάρτος ἐπ' ἀλλήλοισι φέροντες·
φαίης κε στονόεντα κατὰ μόθον ἤματι κείνῳ
μάρνασθ' ἠὲ Γίγαντας ἀτειρέας ἠὲ κραταιοὺς

495 -θε *v*, -θεν *MP*, -θι *k* ὑπέβρ. *v*, ἐπέβρ. *spst*[1]*lk*
511 τοῖς δ' ἐπιδ. *A*, τοὶ δ' ἐσιδ. *Mtlk* 517 θυμόθον *M*, θυμόθεν *P* 518 ὥστε *AM*, ὥς τε *P*, ἠὲ *ptlk*

Τιτῆνας· σθεναρὴ γὰρ ἐπὶ σφίσι δῆρις ὀρώρει,
ἠμὲν ὅτε ξιφέεσσι συνέδραμον, ἠδ᾽ ὅτε λᾶας
βάλλον ἐπεσσύμενοι περιμήκεας· οὐδέ τις αὐτῶν
χάζετο βαλλομένων, οὐδ᾽ ἔτρεσαν, ἀλλ᾽ ἅτε πρῶνες
ἕστασαν ἀκμῆτες καταειμένοι ἄσπετον ἀλκήν·
ἄμφω γὰρ μεγάλοιο Διὸς γένος εὐχετόωντο·
τοὔνεκ᾽ ἄρά σφισι δῆριν ἴσην ἐτάνυσσεν Ἐνυὼ
πολλὸν ἐρειδομένοισιν ἐπὶ χρόνον ἐν δαῒ κείνῃ,
αὐτοῖς ἠδ᾽ ἑτάροισιν ἀταρβέσιν, οἳ μετ᾽ ἀνάκτων
νωλεμέως πονέοντο μεμαότες, ἄχρι καμόντων
αἰχμαὶ ἀνεγνάμφθησαν ἐν ἀσπίσιν· οὐδέ τις ἦεν
θεινομένων ἑκάτερθεν ἀνούτατος, ἀλλ᾽ ἅμα πάντων
ἐκ μελέων εἰς οὖδας ἀπέρρεεν αἷμα καὶ ἱδρὼς
αἰὲν ἐρειδομένων, κεκάλυπτο δὲ γαῖα νέκυσσιν,
οὐρανὸς ὣς νεφέεσσιν ἐς αἰγοκερῆα κιόντος
ἠελίου, ὅτε πόντον ὑποτρομέει μέγα ναύτης.
τοὺς δ᾽ ἵπποι χρεμέθοντες ἐπεσσυμένοις ἅμα λαοῖς
τεθναότας στείβεσκον, ἅτ᾽ ἄσπετα φύλλα κατ᾽ ἄλσος
χείματος ἀρχομένου μετὰ τηλεθόωσαν ὀπώρην.
  οἱ δέ που ἐν νεκύεσσι καὶ αἵματι δηριόωντο
υἱῆες μακάρων ἐρικυδέες, οὐδ᾽ ἀπέληγον
ἀλλήλοις κοτέοντες. Ἔρις δ᾽ ἴθυνε τάλαντα
ὑσμίνης ἀλεγεινά, τὰ δ᾽ οὐκέτι ἶσα πέλοντο·
ἀλλ᾽ ἄρα Μέμνονα δῖον ὑπὸ στέρνοιο θέμεθλα
Πηλείδης οὔτησε· τὸ δ᾽ ἀντικρὺ μέλαν ἆορ
ἐξέθορεν· τοῦ δ᾽ αἶψα λύθη πολυήρατος αἰών·
κάππεσε δ᾽ ἐς μέλαν αἷμα, βράχεν δέ οἱ ἄσπετα τεύχη.

519 δ᾽ ἄρ᾽ *v*, γὰρ *rk* 521 ἀπεσσ. k^1 in praef. k^2 523 ἀδμῆτες *v*, ἀκάματοι st^2, ἀκμῆτες k^1 in nota k^2 530 ἄρα *v*, ἅμα *ksp* 536 -εῶτας *l* -ση *v*, -σος *MPkl* 543 ἄορ *v* (ἄορ *MP*), αἷμα *l* 545 εἰς *v*, ἐς *k*

γαῖα δ' ὑπεσμαράγησε, καὶ ἀμφεφόβηθεν ἑταῖροι·
τὸν δ' ἄρα Μυρμιδόνες μὲν ἐσύλεον· ἀμφὶ δὲ Τρῶες
φεῦγον· ὁ δ' αἶψα δίωκε μένος μέγα λαίλαπι ἶσος.
Ἠὼς δ' ἐστονάχησε καλυψαμένη νεφέεσσιν·
ἠχλύνθη δ' ἄρα γαῖα. θοοὶ δ' ἅμα πάντες ἀῆται
μητρὸς ἐφημοσύνῃσι μιῇ φορέοντο κελεύθῳ
ἐς πεδίον Πριάμοιο καὶ ἀμφεχέοντο θανόντι,
ἦκα δ' ἀνηρείψαντο θοῶς Ἠώιον υἷα
καί ἑ φέρον πολιοῖο δι' ἠέρος· ἄχνυτο δέ σφι
θυμὸς ἀδελφειοῖο δεδουπότος· ἀμφὶ δ' ἄρ' αἰθὴρ
ἔστενε. τοῦ δ' ἐπὶ γαῖαν ὅσαι πέσον αἱματόεσσαι
ἐκ μελέων ῥαθάμιγγες, ἐν ἀνθρώποισι τέτυκται
σῆμα καὶ ἐσσομένοις· τὰς γὰρ θεοὶ ἄλλοθεν ἄλλην
εἰς ἓν ἀγειράμενοι ποταμὸν θέσαν ἠχήεντα,
τόν ῥά τε Παφλαγόνειον ἐπιχθόνιοι καλέουσι
πάντες, ὅσοι ναίουσι μακρῆς ὑπὸ δειράσιν Ἴδης,
ὅς τε καὶ αἱματόεις τραφερὴν ἐπινίσσεται αἶαν,
ὁππότε Μέμνονος ἦμαρ ἔῃ λυγρόν, ᾧ ἔνι κεῖνος
κάτθανε· λευγαλέη δὲ καὶ ἄσχετος ἔσσυται ὀδμὴ
ἐξ ὕδατος· φαίης κεν ἔθ' ἕλκεος οὐλομένοιο
πυθομένους ἰχῶρας ἀποπνείειν ἀλεγεινόν.
ἀλλὰ τὸ μὲν βουλῇσι θεῶν γένεθ'· οἱ δ' ἐπέτοντο
Ἠοῦς ὄβριμον υἷα θοοὶ φορέοντες ἀῆται
τυτθὸν ὑπὲρ γαίης δνοφερῇ κεκαλυμμένον ὄρφνῃ.
οὐδὲ μὲν Αἰθιοπῆες ἀποκταμένοιο ἄνακτος
νόσφιν ἀπεπλάγχθησαν, ἐπεὶ θεὸς αἶψα καὶ αὐτοὺς
ἦγε λιλαιομένοισι βαλὼν τάχος, οἷον ἔμελλον
οὐ μετὰ δηρὸν ἔχοντες ἐπηέριοι φορέεσθαι·

546 ἀπεσμ. *AMP*, ἐπ. *rt*, ὑπ. *splk* 553 οἵ καὶ *v*, ἦκα δ' *k* 561 πείρ. *AMP*, δειρ. *brptlk* 567 τὰ *sp* 573 ὑπ' ἠερίοιο *A*, ὑπηέριοι *Mtl*, ἐπ. *(p)st¹k*

τοὔνεχ' ἕποντ' ἀνέμοισιν ὀδυρόμενοι βασιλῆα.
ὡς δ' ὅταν ἀγρευτῆρος ἐνὶ ξυλόχοισι δαμέντος
ἢ συὸς ἠὲ λέοντος ὑπὸ βλοσυρῇσι γένυσσι
σῶμ' ἀναειρόμενοι μογεροὶ φορέωσιν ἑταῖροι
ἀχνύμενοι, μετὰ δέ σφι κύνες ποθέοντες ἄνακτα
κυνζηθμῷ ἐφέπονται ἀνιηρῆς ἕνεκ' ἄγρης·
ὣς οἵ γε προλιπόντες ἀνηλέα δηιοτῆτα
λαιψηροῖς ἐφέποντο μέγα στενάχοντες ἀήταις
ἀχλύι θεσπεσίῃ κεκαλυμμένοι. ἀμφὶ δὲ Τρῶες
καὶ Δαναοὶ θάμβησαν ἅμα σφετέρῳ βασιλῆι
πάντας ἀιστωθέντας, ἀπειρεσίῃ δ' ἀνὰ θυμὸν
ἀμφασίῃ βεβόληντο. νέκυν δ' ἀκάμαντες ἀῆται
Μέμνονος ἀγχεμάχοιο θέσαν βαρέα στενάχοντες
πὰρ ποταμοῖο ῥέεθρα βαθυρρόου Αἰσήποιο,
ἧχί τε Νυμφάων καλλιπλοκάμων πέλει ἄλσος
καλόν, ὃ δὴ μετόπισθε μακρὸν περὶ σῆμα βάλοντο
Αἰσήποιο θύγατρες ἅδην πεπυκασμένον ὕλῃ
παντοίῃ· καὶ πολλὰ θεαὶ περικωκύσαντο
υἱέα κυδαίνουσαι ἐυθρόνου Ἠριγενείης.
δύσατο δ' ἠελίοιο φάος· κατὰ δ' ἤλυθεν Ἠὼς
οὐρανόθεν κλαίουσα φίλον τέκος, ἀμφὶ δ' ἄρ' αὐτῇ
κοῦραι ἐυπλόκαμοι δυοκαίδεκα, τῇσι μέμηλεν
αἰὲν ἑλισσομένου Ὑπερίονος αἰπὰ κέλευθα,
νύξ τε καὶ Ἠριγένεια, καὶ ἐκ Διὸς ὁππόσα βουλῆς
γίνεται, οὗ περὶ δῶμα καὶ ἀρρήκτους πυλεῶνας
στρωφῶντ' ἔνθα καὶ ἔνθα πέριξ λυκάβαντα φέρουσαι
καρποῖσιν βρίθοντα, κυλινδομένου περὶ κύκλον

575 ὅτ' *AM*, ὅττ' *P*, ὅταν *C*[1]*tstl*, ὁπότ' *rk*[1] in praef. *k*[2] 577 -ουσιν *v*, -ωσιν *st*[1](*k*) 589 σῆμ' ἐβ. *v*, σῆμα β. *k* (*M* ante corr.) 593 -σετο *v*, -σατο *sck*[1] in praef. *k*[2] 600 -οῖσι *v*, -οῖσιν *hg* κύκλον *v*, -ον *sck*

χειμῶνος κρυεροῖο καὶ εἴαρος ἀνθεμόεντος
ἠδὲ θέρευς ἐρατοῖο πολυσταφύλοιό τ' ὀπώρης.
αἵ τότε δὴ κατέβησαν ἀπ' αἰθέρος ἠλιβάτοιο
ἄσπετ' ὀδυρόμεναι περὶ Μέμνονα· σὺν δ' ἄρα τῇσι
Πληιάδες μύροντο, περίαχε δ' οὔρεα μακρὰ
καὶ ῥόος Αἰσήποιο, γόος δ' ἄλληκτος ὀρώρει.
ἡ δ' ἄρ' ἐνὶ μέσσῃσιν ἑῷ περὶ παιδὶ χυθεῖσα
μακρὸν ἀνεστονάχησε πολύστονος Ἠριγένεια·
„ὤλεό μοι, φίλε τέκνον, ἑῇ δ' ἄρα μητέρι πένθος
ἀργαλέον περίθηκας. ἐγὼ δ' οὐ σεῖο δαμέντος
τλήσομαι ἀθανάτοισιν ἐπουρανίοισι φαείνειν,
ἀλλὰ καταχθονίων ἐσδύσομαι αἰνὰ βέρεθρα,
ψυχὴ ὅπου σέο νόσφιν ἀποφθιμένοιο ποτᾶται,
πάντ' ἐπικιδναμένου χάεος καὶ ἀεικέος ὄρφνης,
ὄφρά τι καὶ Κρονίδαο περὶ φρένας ἄλγος ἵκηται·
οὐ γὰρ ἀτιμοτέρη Νηρηίδος ἢ Διὸς αὐτὴ
πάντ' ἐπιδερκομένη, πάντ' ἐς τέλος ἄχρις ἄγουσα·
μαψιδίως· οὐ γὰρ καὶ ἐμὸν φάος ὠπίσατο Ζεύς.
τοὔνεχ' ὑπὸ ζόφον εἶμι· Θέτιν δ' ἐς Ὄλυμπον ἀγέσθω
ἐξ ἁλός, ὄφρα θεοῖσι καὶ ἀνθρώποισι φαείνῃ·
αὐτὰρ ἐμοὶ στονόεσσα μετ' οὐρανὸν εὔαδεν ὄρφνη,
μὴ δὴ σεῖο φονῆι φάος περὶ σῶμα βάλοιμι."

607 *-οισιν AMP*, em. *r* 612 *μέλαθρα A*, *βέρεθρα MPVrtlk* 613 *-μένου πεπότηται Atl*, *ἀ. ποτήται* (et *πε* alt. m. superscr.) *M*, *ἀ. ποτηται P*, *-οιο ποτᾶται Vk* post hunc v. lacunae signa pos. *k* [velut *γαῖαν ἀμαυρώσουσα καὶ οὐρανὸν ἠδὲ θάλασσαν*], translocaverunt *h* v. 614 ante 613, *n* (*st*[2] auctore) v. 614 post 615 614 *ἀδευκέος n* 616 *ἢ Διὸς αὐτοῦ AMP*, *ἐκ Δ. αὐ. hkl*, *ἢ Δ. ἔσκον* et *Ἡλιὰς αὐτή ego* antehac, nunc *ἢ Δ. αὐτή*, *ἡ Δ. αὐγή lw* 618 *οὔτ' ἄρ κεν v*, *οὐ γάρ κεν l*[1], *οὐ γὰρ καὶ kl*[2]*lw*, *οὐ γὰρ δὴ sp* ol., *οὐδὲν γὰρ* (*k*[1] in nota) *ego* antehac 619 *ἐπ' v*, *ἐς Mk* 622 *μὴ ἵνα v*, *μή πως h*, *μὴ δὴ k*

ὣς φαμένης ῥέε δάκρυ κατ' ἀμβροσίοιο προσώπου
ἀενάῳ ποταμῷ ἐναλίγκιον· ἀμφὶ δὲ νεκρῷ
δεύετο γαῖα μέλαινα· συνάχνυτο δ' ἀμβροσίη Νὺξ
παιδὶ φίλῃ, καὶ πάντα κατέκρυφεν οὐρανὸς ἄστρα
ἀχλύι καὶ νεφέεσσι φέρων χάριν Ἠριγενείῃ.
Τρῶες δ' ἄστεος ἔνδον ἔσαν περὶ Μέμνονι θυμὸν
ἀχνύμενοι· πόθεον γὰρ ὁμῶς ἑτάροισιν ἄνακτα.
οὐδὲ μὲν Ἀργεῖοι μέγ' ἐγήθεον, ἀλλὰ καὶ αὐτοὶ
ἐν πεδίῳ κταμένοισι παρ' ἀνδράσιν αὖλιν ἔχοντες
ἄμφω ἐυμμελίην μὲν Ἀχιλλέα κυδαίνεσκον,
Ἀντίλοχον δ' ἄρα κλαῖον· ἔχον δ' ἅμα χάρματι πένθος.
παννυχίη δ' ἀλεγεινὸν ἀνεστενάχιζε γοῶσα
Ἠώς· ἀμφὶ δέ οἱ κέχυτο ζόφος, οὐδέ τι θυμῷ
ἀντολίης ἀλέγιζε, μέγαν δ' ἤχθηρεν Ὄλυμπον.
ἄγχι δέ οἱ μάλα πολλὰ ποδώκεες ἔστενον ἵπποι
γαῖαν ἐπιστείβοντες ἀήθεα καὶ βασίλειαν
ἀχνυμένην ὁρόωντες, ἐελδόμενοι μέγα νόστου.
Ζεὺς δ' ἄμοτον βρόντησε χολούμενος, ἀμφὶ δὲ γαῖα
κινήθη περὶ πᾶσα· τρόμος δ' ἕλεν ἄμβροτον Ἠῶ.
τὸν δ' ἄρα καρπαλίμως μελανόχροες Αἰθιοπῆες
θάψαν ὀδυρόμενοι· τοὺς δ' Ἠριγένεια βοῶπις
πόλλ' ὀλοφυρομένους κρατεροῦ περὶ σήματι παιδὸς
οἰωνοὺς ποίησε καὶ ἠέρι δῶκε φέρεσθαι,
τοὺς καὶ νῦν καλέουσι βροτῶν ἀπερείσια φῦλα
Μέμνονας· οἵ ῥ' ἐπὶ τύμβον ἔτι σφετέρου βασιλῆος

628 *π. Μέμνονι θυμῷ v* et *ego* antehac, *π. Μ. θυμὸν sck*, *π. Μέμνονα θυμῷ lw* 634 *ἀνεστον. v*, correxi 635 *οὐδ' ἔτι v, οὐδέ τι Mk* 638 *ἀνανθέαν A, ἀνανθέα MPE¹rtlst²*, *ἀήθεα k* 639 lacunae signa post h. v. pos. *k* [velut *πολλὸν ἐς ἠθάδ' ἀεὶ δρόμον ἠπείγοντο νέεσθαι*] 646 *δὴ v, καὶ k* 647 *ἐπὶ τ. ἐπὶ AM, ἔτι τ. ἐπὶ rtl, ἐπὶ τ. ἔτι k*

ἑσσύμενοι γοόωσι· κόνιν καθύπερθε χέοντες
σώματος· ἀλλήλοις δὲ περικλονέουσι κυδοιμὸν
Μέμνονι ἦρα φέροντες· ὁ δ' εἰν Ἀίδαο δόμοισιν
ἠέ που ἐν μακάρεσσι κατ' Ἠλύσιον πέδον αἴης
καγχαλάᾳ, καὶ θυμὸν ἰαίνεται ἄμβροτος Ἠὼς
δερκομένη· τοῖσιν δὲ πέλει πόνος, ἄχρι καμόντες
εἷς ἕνα δῃώσωνται ἀνὰ κλόνον ἠὲ καὶ ἄμφω
πότμον ἀναπλήσωσι πονεύμενοι ἀμφὶς ἄνακτα.
καὶ τὰ μὲν ἐννεσίῃσι φαεσφόρου Ἠριγενείης
οἰωνοὶ τελέουσι θοοί· τότε δ' ἄμβροτος Ἠὼς
οὐρανὸν εἰσανόρουσεν ὁμῶς πολυαλδέσιν Ὥραις,
αἵ ῥά μιν (οὐκ ἐθέλουσαν) ἀνήγαγον ἐς Διὸς οὖδας
παρφάμεναι μύθοισιν, ὅσοις βαρὺ πένθος ὑπείκει,
(καί περ ἔτ' ἀχνυμένην)· ἡ δ' οὐ λάθεθ' οἷο δρόμοιο·
δείδιε γὰρ δὴ Ζηνὸς ἄδην ἄλληκτον ἐνιπήν,
ἐξ οὗ πάντα πέλονται, ὅσ' Ὠκεανοῖο ῥέεθρα
ἐντὸς ἔχει καὶ γαῖα καὶ αἰθομένων ἕδος ἄστρων.
τῆς δ' ἄρα Πληιάδες πρότεραι ἴσαν· ἡ δὲ καὶ αὐτὴ
αἰθερίας ὤιξε πύλας, ἐκέδασσε δ' ἄρ' ἀχλύν.

648 post *κόνιν* lacunae signa pos. *k* [velut *σαίροντες, ὕδωρ δὲ* | *Αἰσηποῦ* (sic!) *πτερύγεσσι χοὰς*] et *sp* [velut *δ' ὀνύχεσσι κραταιοῖς* | *σαίρουσιν πτερύγεσσι ῥόον*] 649 *σήματος v*, *σώμ. ego* 655 *-κτι v*, *-κτα* k^1 in praef. k^2 656 *τοὶ MP* 657 *τελέθ. AM*, em. (*r*)*p* 658 *-ειδέσιν A*, *-αλδ. Mhytlk* 662 *δὴ* omiss. add. *p* (*που r*) 665 *ῥὰ v*, *ῥά M*, *δ' ἂρ p*, *ἄρα* $k^1 l^2$ (*μὲν ἄρ' Ἡλιάδ.* l^1), *δ' ἄρα* k^2 666 *ἤιξε* l^1 *γὰρ AM*, *δὲ* VE^1, em. *r* *ἐπέτασσε Linsenbarth* *αἴγλην v*, *ἀχλύν ego*

ΚΟΙΝΤΟΥ

ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Αὐτὰρ ἐπεὶ φάος ἦλθεν ἐυθρόνου Ἠριγενείης,
δὴ τότ᾽ ἄρ᾽ Ἀντιλόχοιο νέκυν ποτὶ νῆας ἔνεικαν
αἰχμηταὶ Πύλιοι μεγάλα στενάχοντες ἄνακτα
καί μιν ταρχύσαντο παρ᾽ ἠόσιν Ἑλλησπόντου
πολλὰ μάλ᾽ ἀχνύμενοι. περὶ δ᾽ ἔστενον ὄβριμοι υἷες
Ἀργείων· πάντας γὰρ ἀμείλιχον ἄμφεχε πένθος
Νέστορι ἦρα φέροντας· ὁ δ᾽ οὐ μέγα δάμνατο θυμῷ·
ἀνδρὸς γὰρ πινυτοῖο περὶ φρεσὶ τλήμεναι ἄλγος
θαρσαλέως καὶ μή τι κατηφιόωντ᾽ ἀκάχησθαι.
Πηλείδης δ᾽ ἑτάροιο χολούμενος Ἀντιλόχοιο
σμερδνὸν ἐπὶ Τρώεσσι κορύσσετο· τοὶ δὲ καὶ αὐτοὶ
καί περ ὑποτρομέοντες ἐυμμελίην Ἀχιλῆα
τείχεος ἐξεχέοντο μεμαότες, οὕνεκ᾽ ἄρά σφι
Κῆρες ἐνὶ στέρνοισι θράσος βάλον· ἦ γὰρ ἔμελλον
πολλοὶ ἀνοστήτοιο κατελθέμεν Ἀιδονῆος
χερσὶν ὑπ᾽ Αἰακίδαο δαΐφρονος, ὅς ῥα καὶ αὐτὸς
φθεῖσθαι ὁμῶς ἤμελλε παρὰ Πριάμοιο πόληι.
αἶψα δ᾽ ἄρ᾽ ἀμφοτέρωθε συνήλυθον εἰς ἕνα χῶρον

3 *μέγα* *AMP*, em. *d* 14 *ἐπὶ* *v*, *ἐνὶ* *st²k* 15 *Αἴδων.* *rtspl*

Τρώων ἔθνεα πολλὰ μενεπτολέμων τ' Ἀργείων
μαιμώωντ' ἐς Ἄρηα διεγρομένου πολέμοιο.
  Πηλείδης δ' ἐν τοῖσι πολὺν περιδάμνατο λαὸν
δυσμενέων· πάντῃ δὲ φερέσβιος αἵματι γαῖα
δεύετο, καὶ νεκύεσσι περιστείνοντο ῥέεθρα
Ξάνθου καὶ Σιμόεντος· ὁ δ' ἑσπόμενος κεράιζε
μέχρις ἐπὶ πτολίεθρον, ἐπεὶ φόβος ἄμφεχε λαούς.
καί νύ κε πάντας ὄλεσσε, πύλας δ' εἰς οὖδας ἔρεισε
θαιρῶν ἐξερύσας, ἢ καὶ συνέαξεν ὀχῆας
δόχμιος ἐγχριμφθείς, Δαναοῖσι δὲ θῆκε κέλευθον
ἐς Πριάμοιο πόληα, διέπραθε δ' ὄλβιον ἄστυ,
εἰ μή οἱ μέγα Φοῖβος ἀνηλέι χώσατο θυμῷ
ὡς ἴδεν ἄσπετα φῦλα δαϊκταμένων ἡρώων.
αἶψα δ' ἀπ' Οὐλύμποιο κατήλυθε θηρὶ ἐοικὼς
ἰοδόκην ὤμοισιν ἔχων καὶ ἀναλθέας ἰούς·
ἔστη δ' Αἰακίδαο καταντίον· ἀμφὶ δ' ἄρ' αὐτῷ
γωρυτὸς καὶ τόξα μέγ' ἴαχεν, ἐκ δέ οἱ ὄσσων
πῦρ ἄμοτον μάρμαιρε, ποσὶν δ' ὑπεκίνυτο γαῖα.
σμερδαλέον δ' ἤυσε μέγας θεός, ὄφρ' Ἀχιλῆα
τρέψῃ ἀπὸ πτολέμοιο (θεοῦ ὄπα ταρβήσαντα
θεσπεσίην) καὶ Τρῶας ὑπὲκ θανάτοιο σαώσῃ·
  „χάζεο, Πηλείδη, Τρώων ἑκάς, οὐ γὰρ ἔοικεν
οὔ σ' ἔτι δυσμενέεσσι κακὰς ἐπὶ κῆρας ἰάλλειν,
μή σε καὶ ἀθανάτων τις ἀπ' Οὐλύμποιο χαλέψῃ."
  ὣς ἄρ' ἔφη· ὁ δ' ἄρ' οὔ τι θεοῦ τρέσεν ἄμβροτον αὐδήν·
ἤδη γάρ οἱ Κῆρες ἀμείλιχοι ἀμφεποτῶντο·
τοὔνεκ' ἄρ' οὐκ ἀλέγιζε θεοῦ, μέγα δ' ἴαχεν ἄντην·

20 -οντες *MP*, -οντ' ἐς *v*, -ωντ' ἐς *k* 28 δ' ἔθηκε *v*, δὲ θ. *hlk* 34 αὐτοῦ *v*, -ῷ k^1 in praef. k^2 36 ὑποκίν. *P* 41 οὔ σ' ἔτι *Ak*, ὀυσ' ἔτι *M*, ὀύσ' ἔτι *P*, εἰσέτι et κακάς σ' *k* ol. et omisso σ' *l* χεῖρας *v*, κῆρας *kl*

„Φοῖβε, τί ἤ με θεοῖσι καὶ οὐ μεμαῶτα μάχεσθαι
ὀτρύνεις Τρώεσσιν ὑπερφιάλοισιν ἀμύνων;
ἤδη γὰρ καὶ πρόσθέ μ' ἀποστρέψας ὀρυμαγδοῦ
ἤπαφες, ὁππότε πρῶτον ὑπεξεσάωσας ὀλέθρου
Ἕκτορα, τῷ μέγα Τρῶες ἀνὰ πτόλιν εὐχετόωντο.
ἀλλ' ἀναχάζεο τῆλε καὶ ἐς μακάρων ἕδος ἄλλων
ἔρχεο, μή σε βάλοιμι καὶ ἀθάνατόν περ ἐόντα."
ὣς εἰπὼν ἀπάτερθε θεὸν λίπε, βῆ δ' ἐπὶ Τρῶας,
οἵ ῥ' ἔτι που φεύγεσκον ἀεὶ προπάροιθε πόληος,
καὶ τοὺς μὲν σεύεσκεν· ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Φοῖβος ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
„ὢ πόποι, ὡς ὅ γε μαίνετ' ἀνὰ φρένας· ἀλλά οἵ οὔ τι
οὐδ' αὐτὸς Κρονίδης ἔτ' ἀλέξεται οὔτέ τις ἄλλος
οὕτω μαργαίνοντι καὶ ἀντιόωντι θεοῖσιν."
ὣς ἄρ' ἔφη καὶ ἄιστος ὁμοῦ νεφέεσσιν ἐτύχθη·
ἠέρα δ' ἑσσάμενος στυγερὸν προέηκε βέλεμνον
καί ἑ θοῶς οὔτησε κατὰ σφυρόν· αἶψα δ' ἀνῖαι
δῦσαν ὑπὸ κραδίην· ὁ δ' ἀνετράπετ' ἠύτε πύργος,
ὅν τε βίη τυφῶνος ὑποχθονίῃ στροφάλιγγι
ῥήξῃ ὑπὲρ δαπέδοιο κραδαινομένης βαθὺ γαίης·
ὣς ἐκλίθη δέμας ἠὺ κατ' οὔδεος Αἰακίδαο.
ἀμφὶ δὲ παπτήνας ὀλοὸν καὶ μακρὸν ὁμόκλα·
„τίς νύ μοι αἰνὸν ὀιστὸν ἐπιπροέηκε κρυφηδόν;
τλήτω μευ κατέναντα καὶ εἰς ἀναφανδὸν ἱκέσθαι,

49 ἤκαχ. *v*, ἤπαφ. *splk* 54 οἵδ' *A*, οἵ ῥ' (*r*)*Mtlk* ἅμα *v*, ἄδην vel ἑξῆς *sp*, ἀεὶ *kl* 57 ἀεὶ *v*, ἀνὰ *spk* οἵ *v*, ἕ *pt* lacunae signa post h. v. pos. *k* [velut πάντ' ὀίω τελέεσθαι ἃ μήδεται, ἀλλά μιν οὔτι] 58 ἀνέξ. *v*, ἀλέξ. *ego* 59 αὔτως? -οντα et -ωντα *v*, -οντι et -ωντι *ego* 65 ὑπὲκ *bl*[1] 67 ἄκρατον *v*, μακρὸν *sp*, ἔπος ἀκράαντον *hk*, ille omissis vocibus ὀλοὸν καὶ, hic eodem *h* auctore lacunae signis post καὶ positis [velut δεινὸν ἀπάντη | Τρωσὶν ἀπειλήσας] 69 στήτω *bl* ἱκέσθω *v*, -σθαι *rpst*[1]*k*

ὄφρά κέ οἱ μέλαν αἷμα καὶ ἔγκατα πάντα χυθείη
ἡμετέρῳ περὶ δουρὶ καὶ Ἄιδα λυγρὸν ἵκηται·
οἶδα γάρ, ὡς οὔ τίς με δυνήσεται ἐγγύθεν ἐλθὼν
ἐγχείῃ δαμάσασθαι ἐπιχθονίων ἡρώων,
οὐδ' εἴ περ στέρνοισι μάλ' ἄτρομον ἦτορ ἔχῃσιν,
ἄτρομον ἦτορ ἔχῃσι λίην καὶ χάλκεος εἴη·
κρύβδα δ' ἀνάλκιδες αἰὲν ἀγαυοτέρους λοχόωσι.
τῷ μεν ἴτω κατέναντα, καὶ εἰ θεὸς εὔχεται εἶναι
χωόμενος Δαναοῖς, ἐπεὶ ἦ νύ μοι ἦτορ ἔολπεν
ἔμμεναι Ἀπόλλωνα λυγρῇ κεκαλυμμένον ὄρφνῃ.
ὣς γάρ μοι τὸ πάροιθε φίλη διεπέφραδε μήτηρ
"κείνου ὑπαὶ βελέεσσιν ὀιζυρῶς ἀπολέσθαι
Σκαιῇς ἀμφὶ πύλῃσι"· τὸ δ' οὐκ ἀνεμώλιον ἦεν."
ἦ καὶ λυγρὸν ὀιστὸν ἀμειλίκτοισι χέρεσσιν
ἕλκεος ἐξείρυσσεν ἀναλθέος· ἐκ δέ οἱ αἷμα
ἔσσυτο τειρομένοιο, πότμος δέ οἱ ἦτορ ἐδάμνα.
ἀσχαλόων δ' ἔρριψε βέλος· τὸ δ' ἄρ' αἶψα κιοῦσαι
πνοιαὶ ἀνηρείψαντο, δόσαν δέ μιν Ἀπόλλωνι
ἐς Διὸς οἰχομένῳ ζάθεον πέδον· οὐ γὰρ ἐῴκει
ἄμβροτον ἰὸν ὀλέσθαι ἀπ' ἀθανάτοιο μολόντα.
δεξάμενος δ' ὅ γε κραιπνὸς ἀφίκετο μακρὸν Ὄλυμπον
ἄλλων ἀθανάτων ἐς ὁμήγυριν, ἧχι μάλιστα
πανσυδίῃ ἀγέροντο μάχην ἐσορώμενοι ἀνδρῶν·
οἳ μὲν γὰρ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
οἱ δ' ἄρα καὶ Δαναοῖς, διὰ δ' ἄνδιχα μητιόωντες
δέρκοντο κτείνοντας ἀνὰ μόθον ὀλλυμένους τε.

81 -οῖσιν *AMP*, -οῖς *rt*, -ῶς *dst*[1]*lk* 83 λοιγὸν *AM*, λυγρὸν (*P*?)*C*[1]*rtlk* 94 ἄρ' ἀχαιοῖς *A*, ἄρ' -οῖσι *MP*, ἄρ' -οῖσιν *gl*[2], οἳ δ' αὖτ' Ἀργείοις (vel οἳ δὲ καὶ Ἀ.) *k*[1], οἳ δ' ἄρα καὶ Δαναοῖς *k*[2] διάνδιχα *v*, τοὶ δ' αὖ δίχα *l*[2], διὰ δ' ἄνδιχα *gk*

τὸν δ' ὁπότ' εἰσενόησε Διὸς πινυτὴ παράκοιτις,
αὐτίκα μιν νείκεσσεν ἀνιηροῖς ἐπέεσσι·
„Φοῖβε, τί ἢ τόδ' ἔρεξας ἀτάσθαλον ἤματι τῷδε
λησάμενος κείνοιο, τὸν ἀθάνατοι γάμον αὐτοὶ
ἀντιθέῳ Πηλῆι συνήρσαμεν; ἐν δὲ σὺ μέσσοις
δαινυμένοις ἤειδες, ὅπως Θέτιν ἀργυρόπεζαν
Πηλεὺς ἤγετ' ἄκοιτιν ἁλὸς μέγα λαῖτμα λιποῦσαν,
καί σευ φορμίζοντος ἐπήιεν ἀθρόα φῦλα,
θῆρές τ' οἰωνοί τε βαθυσκόπελοί τε κολῶναι
καὶ ποταμοί, καὶ πᾶσα βαθύσκιος ἤιεν ὕλη.
ἀλλὰ τά γ' ἐξελάθου καὶ ἀμείλιχον ἔργον ἔρεξας
κτείνας ἀνέρα δῖον, ὃν ἀθανάτοισι σὺν ἄλλοις
νέκταρ ἀποσπένδων ἠρήσαο παῖδα γενέσθαι
ἐκ Θέτιδος Πηλῆι· τεῆς δ' ἐπελήσαο ἀρῆς
ἦρα φέρων λαοῖσι κραταιοῦ Λαομέδοντος,
ᾧ πάρα βουκολέεσκες· ὁ δ' ἀθάνατόν περ ἐόντα
θνητὸς ἐὼν ἀκάχιζε· σὺ δ' ἀφρονέων ἐνὶ θυμῷ
ἦρα φέρεις Τρώεσσι λελασμένος, ὅσσ' ἐμόγησας.
σχέτλιος, οὔ νύ τι οἶδας ἐνὶ φρεσὶ λευγαλέῃσιν,
οὔθ' ὅτις ἀργαλέος καὶ ἐπάξιος ἄλγεα πάσχειν,
οὔθ' ὅτις ἀθανάτοισι τετιμένος· ἦ γὰρ Ἀχιλλεὺς
ἤπιος ἄμμι τέτυκτο καὶ ἐξ ἡμέων γένος ἦεν.
ἀλλ' οὐ μὰν Τρώεσσιν ἐλαφρότερον πόνον οἴω
ἔσσεσθ' Αἰακίδαο δεδουπότος, οὕνεκ' ἄρ' αὐτοῦ
υἱὸς ἀπὸ Σκύροιο θοῶς ἐς ἀπηνέα δῆριν
Ἀργείοις ἐπαρωγὸς ἐλεύσεται εἴκελος ἀλκὴν
πατρὶ ἑῷ, πολέσιν δὲ κακὸν δηίοισι πελάσσει.
ἦ νυ σοὶ οὐ Τρώων ἐπιμέμβλεται, ἀλλ' Ἀχιλῆι

97 -σιν *v*, -σι *kP* 100 -άρσ. *v*, -ήρσ. *spk* σὺν (σὺ *MP*) δ' ἐνὶ *AMP*, em. *r* 114 σχέτλιε *v*, -ος *hlk*

ἀμφ' ἀρετῆς ἐμέγηρας, ἐπεὶ πέλε φέρτατος ἀνδρῶν;
νήπιε, πῶς ἔτι σοῖσιν ἐν ὄμμασι Νηρηίνην
ὄψει ἐν ἀθανάτοισι Διὸς ποτὶ δώματ' ἰοῦσαν,
ἥ σε πάρος κύδαινε καὶ ὡς φίλον ἔδρακεν υἷα;"
ἦ μέγα νεικείουσα πολυσθενέος Διὸς υἷα
Ἥρη ἀκηχεμένη· ὁ δ' ἄρ' οὐκ ἀπαμείβετο μύθῳ·
ἅζετο γὰρ παράκοιτιν ἑοῦ πατρὸς ἀκαμάτοιο·
οὐδέ οἱ ὀφθαλμοῖσι καταντίον εἰσοράασθαι
ἔσθενεν, ἀλλ' ἀπάνευθε θεῶν ἄλληκτον ἐόντων
ἧστο κατωπιόων· ἄμοτον δέ οἱ ἐσκύζοντο
ἀθάνατοι κατ' Ὄλυμπον, ὅσοι Δαναοῖσιν ἄμυνον·
ὅσσοι δ' αὖ Τρώεσσι μενοίνεον εὖχος ὀρέξαι,
κεῖνοί μιν κύδαινον ἐνὶ φρεσὶ καγχαλόωντες
κρύβδ' Ἥρης· πάντες γὰρ ἐναντίον Οὐρανίωνες
ἅζοντ' ἀσχαλόωσαν. ὁ δ' οὔ πω λήθετο θυμοῦ
Πηλείδης· ἔτι γάρ οἱ ἀμαιμακέτοις ἐνὶ γυίοις
ἔζεεν αἷμα κελαινὸν ἐελδομένοιο μάχεσθαι.
οὐδ' ἄρα οἱ Τρώων τις ἐτόλμα ἐγγὺς ἱκέσθαι
βλημένου, ἀλλ' ἀπάνευθεν ἀφέστασαν, εὖτε λέοντος
ἀγρόται ἐν ξυλόχοισι τεθηπότες, ὅν τε βάλῃσι
θηρητήρ, ὁ δ' ἄρ' οὔ τι πεπαρμένος ἦτορ ἄκοντι
λήθεται ἠνορέης, ἀλλὰ στρέφετ' ἄγριον ὄμμα
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα Πηλείδαο χόλος καὶ λοίγιον ἕλκος
θυμὸν ἅδην ὀρόθυνε· θεοῦ δέ μιν ἰὸς ἐδάμνα.
ἀλλὰ καὶ ὣς ἀνόρουσε καὶ ἔνθορε δυσμενέεσσι
πάλλων ὄβριμον ἔγχος· ἕλεν δ' Ὀρυθάονα δῖον,
Ἕκτορος ἐσθλὸν ἑταῖρον, ἔσω κροτάφοιο τυχήσας·

138 *λήγ. A* 147 *ἔγχος v, ἕλκος hykl* 151 *ἀνὰ AMScheindler, ἐπὶ ptl, ἄφαρ st² ol., ἄνω n, ἔσω ego*; lacunae

οὐ γάρ οἱ κόρυς ἔσχε μακρὸν δόρυ μαιμώωντος,
ἀλλὰ δι' αὐτῆς αἶψα καὶ ὀστέου ἔνδον ἵκανεν
ἶνας ἐς ἐγκεφάλοιο, κέδασσε δέ οἱ θαλερὸν κῆρ.
Ἱππόνοον δ' ἐδάμασσε κατ' ὀφρύος ἔγχος ἐρείσας
ἐς θέμεθλ' ὀφθαλμοῖο· χαμαὶ δέ οἱ ἔκπεσε γλήνη
ἐκ βλεφάρων· ψυχὴ δὲ κατ' Ἄιδος ἐξεποτήθη.
Ἀλκαθόου δ' ἄρ' ἔπειτα διὰ γναθμοῖο περήσας
γλῶσσαν ὅλην ἀπέκερσεν· ὁ δ' ἐς πέδον ἤριπε γαίης
ἐκπνείων, αἰχμὴ δὲ δι' οὔατος ἐξεφαάνθη.
καὶ τοὺς μὲν κατέπεφνε καταντίον ἀίσσοντας
δῖος ἀνήρ, πολλῶν δὲ καὶ ἄλλων θυμὸν ἔλυσε
φευγόντων· ἔτι γάρ οἱ ἐνὶ φρεσὶν ἔζεεν αἷμα.
ἀλλ' ὅτε οἱ ψύχοντο μέλη καὶ ἀπήιε θυμός,
ἔστη ἐρεισάμενος μελίῃ ἔπι· τοὶ δ' ἐπέτοντο
πανσυδίῃ τρομέοντες, ὁ δέ σφισι τοῖον ὁμόκλα·
„ἆ δειλοὶ Τρῶες καὶ Δάρδανοι, οὐδὲ θανόντος
ἔγχος ἐμὸν φεύξεσθε ἀμείλιχον, ἀλλ' ἅμα πάντες
αἰνὸν τίσετ' ὄλεθρον Ἐριννύσιν ἡμετέρῃσιν.“
ὣς φάτο· τοὶ δ' ἀίοντες ὑπέτρεσαν, εὖτ' ἐν ὄρεσσι
φθόγγον ἐριβρύχοιο νεβροὶ τρομέωσι λέοντος
δείλαιοι μέγα θῆρα πεφυζότες· ὣς ἄρα λαοὶ
Τρώων ἱπποπόλων ἠδ' ἀλλοδαπῶν ἐπικούρων

signa post *ἑταῖρον* pos. *k* [ʽcredibile est expositum fuisse de Orythaonis genere'] additis verbis *ἑτέροιο διὰ κρ. τ.*
152 *καὶ μεμαῶτος v* et sic *k* lacunae signis post h. v. positis [velut *ἀργαλέου θανάτοιο τέλος καὶ κῆρας ἀλύξαι*], *κεκμηῶτος h*, *μέγα φωτός st*², *ἐμμεμ. ego* antehac, *μαιμώωντος lw*
154 *κέασε AMP*, *-σσε C*¹*rtlk*, *κέδ. ego* 155 *ἔνδον v*, *ἔγχος k*
158 *Ἀλκιθ. v*, *Ἀλκαθ. k*¹ in nota *k*² 160 *ἀμπνείων AMt* (*βαιὸν* | *ἀ. st*¹), *ἀπνν. k* ol., *ἐκπν.* (*r*)*pspk* 165 *ἐφέβ. Vsctl*
166 hunc v. soli servaverunt *MP* 169 *τίσετε αἰνὸν AMP*, *τ. δεινὸν* ci. *t*, *τ. λυγρὸν* ci. *k*, *τίσετ' ἄρ' αἰνὸν l*¹*k*, *αἰνὸν τίσετ' gl*²

ὑστατίην Ἀχιλῆος ὑποτρομέεσκον ὁμοκλὴν
ἐλπόμενοί μιν ἔτ' ἔμμεν ἀνούτατον. ὃς δ' ὑπὸ πότμῳ
θυμὸν τολμήεντα καὶ ὄβριμα γυῖα βαρυνθεὶς
ἤριπεν ἀμφὶ νέκυσσιν, ἀλίγκιος οὔρεϊ μακρῷ·
γαῖα δ' ὑπεπλατάγησε, καὶ ἄσπετον ἔβραχε τεύχη
Πηλείδαο πεσόντος ἀμύμονος. οἳ δ' ἔτι θυμῷ
δήιοι εἰσορόωντες ἀπειρέσιον τρομέεσκον·
ὡς δ' ὅτε θῆρα δαφοινὸν ὑπ' αἰζηοῖσι δαμέντα
μῆλα περιτρομέουσι παρὰ σταθμὸν ἀθρήσαντα
βλήμενον, οὐδέ οἱ ἄγχι παρελθέμεναι μεμάασιν,
ἀλλά μιν ὡς ζώοντα νέκυν περιπεφρίκασιν·
ὣς Τρῶες φοβέοντο καὶ οὐκέτ' ἐόντ' Ἀχιλῆα.
ἀλλὰ καὶ ὧς ἐπέεσσι Πάρις μέγα θαρσύνεσκε
λαόν, ἐπεὶ φρεσὶν ᾗσιν ἐγήθεεν· ἦ γὰρ ἐώλπει
Ἀργείους παύσασθαι ἀμαιμακέτοιο κυδοιμοῦ
Πηλείδαο πεσόντος· ὁ γὰρ Δαναοῖς πέλεν ἀλκή·
„ὦ φίλοι, εἰ ἐτεόν μοι ἀρήγετε εὐμενέοντες,
σήμερον ἠὲ θάνωμεν ὑπ' Ἀργείοισι δαμέντες,
ἠὲ σαωθέντες ποτὶ Ἴλιον εἰρύσσωμεν
ἵπποις Ἑκτορέοισι δεδουπότα Πηλείωνα,
οἵ μ' ἐς δηιοτῆτα κασιγνήτοιο θανόντος
ἀχνύμενοι φορέουσιν ἐὸν ποθέοντες ἄνακτα·
τοῖς εἴ πως ἐρύσαιμεν Ἀχιλλέα δῃωθέντα,
ἵπποις μὲν μέγα κῦδος ὀρέξομεν ἠδὲ καὶ αὐτῷ
Ἕκτορι, εἴ γέ τίς ἐστι κατ' Ἄιδος ἀνθρώποισιν
ἢ νόος ἠὲ θέμιστες· ὁ γὰρ κακὰ μήσατο Τρῶας.

174 *-έοντες AMPk*, sed *k* cum *C*[1] lacunae signis positis [velut *οὔπω οἱ τλῆσαν καὶ βλημένου ἆσσον ἱκέσθαι*], *-έεσκον rptlst*[2] 177 *ἀλίγκιος v, -ον k* 180 *δήιον v, -οι k* 182 *περὶ v, παρὰ pk* 184 *ἓ v, οἱ hst*[1], *καὶ* (*k* ol.) *l*[2], *μιν k* 190 *-γοιτ' hl* 193 *-ησι MP* (in *M οι* alt. m. superscr.)

καί οἱ Τρωιάδες μεγάλα φρεσὶ καγχαλόωσαι
ἀμφιπεριστήσονται ἀνὰ πτόλιν, ἠύτε λυγραὶ
πορδάλιες τεκέων κεχολωμέναι ἠὲ λέαιναι
ἀνδρὶ πολυκμήτῳ μογερῆς ἐπιίστορι θήρης·
ὣς Τρῳαὶ περὶ νεκρὸν ἀποκταμένου Ἀχιλῆος
ἀθρόαι ἀίξουσιν ἀπειρέσιον κοτέουσαι,
αἱ μὲν ὑπὲρ τοκέων κεχολωμέναι, αἱ δὲ καὶ ἀνδρῶν,
αἱ δ' ἄρ' ὑπὲρ παίδων, αἱ δὲ γνωτῶν ἐριτίμων.
γηθήσει δὲ μάλιστα πατὴρ ἐμὸς ἠδὲ γέροντες,
ὅσσους οὐκ ἐθέλοντας ἐν ἄστεϊ γῆρας ἐρύκει,
τόνδ' ἡμεῖς εἴ πέρ γε ποτὶ πτόλιν εἰρύσσαντες
θήσομεν οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν."
ὣς φάτο· τοὶ δὲ νέκυν κρατερόφρονος Αἰακίδαο
ἀμφέβαν ἐσσυμένως, οἵ μιν φοβέοντο πάροιθε,
Γλαῦκός τ' Αἰνείας τε καὶ ὀβριμόθυμος Ἀγήνωρ
ἄλλοι τ' οὐλομένοιο δαήμονες ἰωχμοῖο
εἰρύσσαι μεμαῶτες ἐς Ἰλίου ἱερὸν ἄστυ.
ἀλλά οἱ οὐκ ἀμέλησε θεοῖς ἐναλίγκιος Αἴας,
ἀλλὰ θοῶς περίβη· πάντας δ' ὑπὸ δούρατι μακρῷ
ὦθει ἀπὸ νέκυος. τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά οἱ ἀμφεμάχοντο περισταδὸν ἀίσσοντες
αἰὲν ἐπασσύτεροι, τανυχειλέες εὖτε μέλισσαι,
αἵ ῥά θ' ἑὸν περὶ σίμβλον ἀπειρέσιαι ποτέωνται
ἄνδρ' ἀπαμυνόμεναι, ὁ δ' ἄρ' οὐκ ἀλέγων ἐπιούσας
κηροὺς ἐκτάμνησι μελίχροας, αἱ δ' ἀκάχονται

200 μιν v, οἱ ego 202 παρδ. v, πορδ. Mk ἠδὲ AM, ἠὲ ptlk 203 post h. v. lacunae signa pos. k [velut πάντῃ ἐπιβρίθουσιν, ὅτ' ἐν ξυλόχοισιν ἐφεῦρον] 205 ἀθρόον A, -αι Mtlk 210 τὸν δ' v, τόν δ' k τε Mtlk[1], om. A, γε rk[2] -υ(σ)σωμεν rl[1]st[2] 218 ἀπὸ v (vel ἂψ sp), ὑπὸ pst[2]k 222 αἵθ' A, αἵτε Mt, αἵπερ r, αἵ ῥά θ' hsplk -ωνται Ak, -ονται Mptl

καπνοῦ ὑπὸ ῥιπῆς ἠδ' ἀνέρος, ἀλλ' ἄρα καὶ ὣς
ἀντίαι ἀίσσουσιν, ὁ δ' οὐκ ὄθετ' οὐδ' ἄρα βαιόν·
ὣς Αἴας τῶν οὔ τι μάλ' ἐσσυμένων ἀλέγιζεν,
ἀλλ' ἄρα πρῶτον ἐνήραθ' ὑπὲρ μαζοῖο τυχήσας
Μαιονίδην Ἀγέλαον, ἔπειτα δὲ Θέστορα δῖον.
εἷλε δ' ἄρ' Ὠκύθοον καὶ Ἀγέστρατον ἠδ' Ἀγάνιππον
Ζωρόν τε Νίσσον τε περικλειτόν τ' Ἐρύμαντα,
(ὃς Λυκίηθεν ἵκανεν ὑπὸ μεγαλήτορι Γλαύκῳ,
ναῖε δ' ὅ γ' αἰπεινὸν Μελανίππιον ἱρὸν Ἀθήνης
ἀντία Μασσικύτοιο Χελιδονίης σχεδὸν ἄκρης,
τὴν μέγ' ὑποτρομέουσι τεθηπότες εἰν ἁλὶ ναῦται,
εὖτε περιγνάμπτωσι μάλα στυφελὰς περὶ πέτρας.)
τοῦ δ' ἄρ' ἀποφθιμένοιο κλυτὸς πάις Ἱππολόχοιο
παχνώθη κατὰ θυμόν, ἐπεί ῥά οἱ ἔσκεν ἑταῖρος·
καί ῥα θοῶς Αἴαντα κατ' ἀσπίδα πουλυβόειον
οὔτασεν, ἀλλά οἱ οὔ τι διήλασεν ἐς χρόα καλόν·
ῥινοὶ γάρ μιν ἔρυντο βοῶν καὶ ὑπ' ἀσπίδι θώρηξ,
ὅς ῥά οἱ ἀκαμάτοισι περὶ μελέεσσιν ἀρήρει.
Γλαῦκος δ' οὐκ ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ
Αἰακίδην Αἴαντα δαμασσέμεναι μενεαίνων,
καί οἱ ἐπευχόμενος μέγ' ἀπείλεεν ἄφρονι θυμῷ·
„Αἶαν, ἐπεί νύ σέ φασι μέγ' ἔξοχον ἔμμεναι ἄλλων
Ἀργείων, σοὶ δ' αἰὲν ἐπιφρονέουσι μάλιστα
ἄσπετον ὡς Ἀχιλῆι δαΐφρονι, τῷ σε θανόντι
οἴω συνθανέεσθαι ἐπ' ἤματι τῷδε καὶ αὐτόν."

225 ὑπαὶ *v*, ὑπὸ *Mlk* 230 Ἀρκύθ. *v*, Ὠκύθ. *MPk* 231 Νῖσόν *Dindorf* 232 ὑπαὶ *v*, ὑπὸ *k* 236 supra στυφ. in *M* ἀγκύρας scriptum 239 πολυβόειαν *AM*, πουλ. *rtlk*, πουλυβόειον (vel ἑπταβόειον) *n* 247 ἔπι φρ. *phytlst*[2] 249 πηῷ *A*, ποιῶ *Mptl*, οἴω *rspk* post h. v. auctore *sp* lacunae signa pos. *k*[2] [velut Ἄρεος ἐν ξυνοχῇσιν ἐμῷ ὑπὸ δουρὶ δαμέντα]

ὣς ἔφατ' ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδη,
ὅσσον ἀμείνονος ἀνδρὸς ἐναντίον ἔγχος ἐνώμα.
τὸν δ' ὑποδερκόμενος προσέφη μενεδήιος Αἴας·
„ἆ δείλ', οὔ νύ τι οἶδας, ὅσον σέο φέρτερος Ἕκτωρ
ἔπλετ' ἐνὶ πτολέμοισι; μένος δ' ἀλέεινε καὶ ἔγχος
ἡμέτερον· πινυτὸν γὰρ ὁμῶς ἔχε κάρτεϊ θυμόν.
σοὶ δ' ἤτοι νόος ἐστὶ ποτὶ ζόφον, ὅς ῥά μοι ἔτλης
ἐς μόθον ἐλθέμεναι μέγ' ἀμείνονί περ γεγαῶτι·
οὐ γάρ μευ ξεῖνος πατρώιος εὔχεαι εἶναι,
οὐδέ με δωτίνῃσι παραιφάμενος πολέμοιο
νόσφιν ἀποστρέψεις ὡς Τυδέος ὄβριμον υἷα·
ἀλλὰ καὶ εἰ κείνοιο φύγες μένος, οὔ σ' ἔτ' ἔγωγε
ζωὸν ἀπὸ πτολέμοιο μεθήσομαι ἀπονέεσθαι.
ἦ ἄλλοισι πέποιθας ἀνὰ κλόνον, οἳ μετὰ σεῖο
μυίαις οὐτιδανῇσιν ἐοικότες ἀίσσουσιν
ἀμφὶ νέκυν Ἀχιλῆος ἀμύμονος; ἀλλ' ἄρα καὶ τοῖς
δώσω ἐπεσσύμενος θάνατον καὶ κῆρας ἐρεμνάς."
ὣς εἰπὼν Τρώεσσιν ἐνεστρωφᾶτο, λέων ὣς
ἐν κυσὶν ἀγρευτῇσι κατ' ἄγκεα μακρὰ καὶ ὕλην.
πολλοὺς δ' αἶψ' ἐδάμασσε μεμαότας εὖχος ἀρέσθαι,
Τρῶας ὁμῶς Λυκίοισι· περιτρομέοντο δὲ λαοί,
ἰχθύες ὣς ἀνὰ πόντον ἐπερχομένου ἀλεγεινοῦ
κήτεος ἢ δελφῖνος ἁλιτρεφέος μεγάλοιο·
ὣς Τρῶες φοβέοντο βίην Τελαμωνιάδαο
αἰὲν ἐπεσσυμένοιο κατὰ κλόνον· ἀλλ' ἄρα καὶ ὣς
μάρναντ', ἀμφὶ δὲ νεκρὸν Ἀχιλλέος ἄλλοθεν ἄλλοι
μυρίοι ἐν κονίῃσιν, ὅπως σύες ἀμφὶ λέοντα,

250 ᾔδει *MP* 253 ὦ *MP* (sed in *P* ἆ ead. m. superscr.). οὔτι *AMP*, οὔτοι *C*[1]*tl*, οὔ νύ τι *spk* 254 'fortasse καὶ αὐτός' *k*[1] in praef. 266 -μένοις *v*, -μενος *k* 267 ἐπεστρ. *v*, ἐνεστρ. *kl*[2]

κτείνοντ᾽· οὐλομένη δὲ περὶ σφίσι δῆρις ὀρώρει.
ἔνθα καὶ Ἱππολόχοιο δαΐφρονα δάμνατο παῖδα
Αἴας ὀβριμόθυμος· ὁ δ᾽ ὕπτιος ἀμφ᾽ Ἀχιλῆα
κάππεσεν, εὖτ᾽ ἐν ὄρεσσι περὶ στερεὴν δρύα θάμνος·
ὣς ὅ γε δουρὶ δαμεὶς περικάππεσε Πηλείωνι
βλήμενος. ἀμφὶ δέ οἱ κρατερὸς πάις Ἀγχίσαο
πολλὰ πονησάμενος σὺν ἀρηιφίλοις ἑτάροισιν
εἴρυσεν ἐς Τρῶας καὶ ἐς Ἰλίου ἱερὸν ἄστυ
δῶκε φέρειν ἑτάροισι μέγ᾽ ἀχνυμένοις περὶ θυμῷ.
αὐτὸς δ᾽ ἀμφ᾽ Ἀχιλῆι μαχέσκετο· τὸν δ᾽ ἄρα δουρὶ
μυῶνος καθύπερθεν ἀρήιος οὔτασεν Αἴας
χειρὸς δεξιτερῆς· ὁ δ᾽ ἄρ᾽ ἐσσυμένως ἀπόρουσεν
ἐξ ὀλοοῦ πολέμοιο, κίεν δ᾽ ἄφαρ ἄστεος εἴσω·
ἀμφὶ δέ οἱ πονέοντο περίφρονες ἰητῆρες,
οἵ ῥά οἱ αἷμα κάθηραν ἀφ᾽ ἕλκεος· ἄλλά τε πάντα
τεῦχον, ὅσ᾽ οὐταμένων ὀλοὰς ἀκέονται ἀνίας.
Αἴας δ᾽ αἰὲν ἐμάρνατ᾽ ἀλίγκιος ἀστεροπῇσι
κτείνων ἄλλοθεν ἄλλον, ἐπεὶ μέγα τείρετο θυμῷ
ἀχνύμενος κέαρ ἔνδον ἀνεψιοῖο δαμέντος.
ἄγχι δὲ Λαέρταο δαΐφρονος υἱὸς ἀμύμων
μάρνατο δυσμενέεσσι· φέβοντο δέ μιν μέγα λαοί.
κτεῖνε δὲ Πεισάνδροιο θοὸν καὶ ἀρήιον υἷα
Μαίναλον, ὃς ναίεσκε περικλυτὸν οὖδας Ἀβύδου·
τῷ δ᾽ ἐπὶ δῖον ἔπεφνεν Ἀτύμνιον, ὅν ποτε Νύμφη
Πηγασὶς ἠύκομος σθεναρῷ τέκεν Ἠμαθίωνι
Γρηνίκου ποταμοῖο παρὰ ῥόον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ

284 εἰς bis *AMP*, posterius corr. *r*, prius *k*   293 -κιος *v*, -κιον k^1 in praef. k^2 295 δὴ αἰὲν *v*, δὴν αἰὲν *MP*, δῆτ᾽ et δή ῥ᾽ αἰὲν *sp*, κῆρ αἰὲν (*k* ol.) *l*, κέαρ ἔνδον *k*, δηίοισιν *h*, δηναιὸν *k* non probat   297 φοβέοντο *AMP*, -οῦντο *ptl*, -εῦντο *sp*, φέβ. *k*   298 Πείσανδρόν τε *v*, -οιο (*h*)*k*   Ἀρ. *rtl*   299 -λον *AVk*, -άλον *Mrtl*   301 Ἠμαλ. *v*, Ἠμαθ. *plb k*

Πρωτέος υἷα δάιξεν Ὀρέσβιον, ὅς τε μακεδνῆς
Ἴδης ναιετάασκεν ὑπὸ πτύχας, οὐδέ ἑ μήτηρ
δέξατο νοστήσαντα περικλειτὴ Πανάκεια,
ἀλλ' ἐδάμη παλάμῃσιν Ὀδυσσέος, ὅς τε καὶ ἄλλων
πολλῶν θυμὸν ἔλυσεν ὑπ' ἔγχεϊ μαιμώωντι
κτείνων, ὅν κε κίχησι περὶ νέκυν. ἀλλά μιν Ἄλκων
υἱὸς ἀρηιθόοιο Μεγακλέος ἔγχεϊ τύψε
πὰρ γόνυ δεξιτερόν· περὶ δὲ κνημῖδα φαεινὴν
ἔβλυσεν αἷμα κελαινόν. ὁ δ' ἕλκεος οὐκ ἀλέγιζεν,
ἀλλ' ἄφαρ οὐτήσαντι κακὸν γένεθ', οὕνεκ' ἄρ' αὐτὸν
ἱέμενον πολέμοιο δι' ἀσπίδος οὔτασε δουρί·
ὦσε δέ μιν μεγάλῃ τε βίῃ καὶ κάρτεϊ χειρὸς
ὕπτιον ἐς γαῖαν· κανάχησε δέ οἱ πέρι τεύχη
βλημένου ἐν κονίῃσι, περὶ μελέεσσι δὲ θώρηξ
δεύετο φοινήεντι λύθρῳ· ὁ δὲ λοίγιον ἔγχος
ἐκ χροὸς ἐξείρυσσε καὶ ἀσπίδος, ἕσπετο δ' αἰχμῇ
θυμὸς ἀπὸ μελέων, ἔλιπεν δέ μιν ἄμβροτος αἰών.
τοῦ δ' ἑτάροις ἐπόρουσε καὶ οὐτάμενός περ Ὀδυσσεύς,
οὐδ' ἀπέληγε μόθοιο δυσηχέος. ὣς δὲ καὶ ἄλλοι
πάντες ὁμῶς ἐπιμὶξ Δαναοὶ μέγαν ἀμφ' Ἀχιλῆα
προφρονέως ἐμάχοντο, πολὺν δ' ὑπὸ χείρεσι λαὸν
ἐσσυμένως ἐδάιζον ἐυξέστῃς μελίῃσιν.
εὖτ' ἄνεμοι θοὰ φύλλα κατὰ χθονὸς ἀμφιχέωνται
λάβρον ἐπιβρίσαντες ἀν' ἄλσεα ὑλήεντα
ἀρχομένου λυκάβαντος, ὅτε φθινύθουσιν ὀπῶραι·
ὣς τοὺς ἐγχείῃσι βάλον Δαναοὶ μενεχάρμαι·
μέμβλετο γὰρ πάντεσσιν Ἀχιλλέος ἀμφὶ θανόντος,
ἐκπάγλως δ' Αἴαντι δαΐφρονι· τοὔνεκ' ἄρ' ἔμπης

309 -ψεν AM, -ε tlk 319 ἀπαὶ v, ἀπὸ MPhlk
326 ἐπ' v, ἀν' spk

Τρῶας ἄδην ἐδάιζε κακῇ ἐναλίγκιος Αἴσῃ.
τῷ δ' ἐπὶ τόξ' ἐτίταινε Πάρις· τὸν δ' αἶψα νοήσας
κάββαλε χερμαδίῳ κατὰ κράατος· ἐν δ' ἄρ' ἔθλασσεν
ἀμφίφαλον κυνέην ὀλοὸς λίθος· ἀμφὶ δέ μιν νὺξ
μάρψεν. ὁ δ' ἐν κονίῃσι κατήριπεν, οὐδέ οἱ ἰοὶ
ἤρκεσαν ἱεμένῳ· ἐκέχυντο δ' ἄρ' ἄλλυδις ἄλλοι
ἐν κονίῃ, κενεὴ δὲ παρεκτετάνυστο φαρέτρη·
τόξον δ' ἔκφυγε χεῖρε. φίλοι δέ μιν ἁρπάξαντες
ἵπποις Ἑκτορέοισι φέρον ποτὶ Τρώιον ἄστυ
βαιὸν ἔτ' ἀμπνείοντα καὶ ἀργαλέον στενάχοντα·
οὐδὲ μὲν ἔντε' ἄνακτος ἑκὰς λίπον, ἀλλὰ καὶ αὐτὰ
ἐκ πεδίοιο κόμισσαν ἑῷ βασιλῆι φέροντες.
τῷ δ' Αἴας ἐπὶ μακρὸν ἀύτεεν ἀσχαλόων κῆρ·
„ὦ κύον, ὡς θανάτοιο βαρὺ σθένος ἐξϋπάλυξας
σήμερον· ἀλλὰ σοὶ εἶθαρ ἐλεύσεται ὕστατον ἦμαρ
ἤ τινος Ἀργείων ὑπὸ χείρεσιν ἢ ἐμεῦ αὐτοῦ.
νῦν δ' ἐμοὶ ἄλλα μέμηλε περὶ φρεσίν, ὡς Ἀχιλῆος
ἐκ φόνου ἀργαλέοιο νέκυν Δαναοῖσι σαώσω."
ὣς εἰπὼν δηίοισι κακὰς ἐπὶ κῆρας ἴαλλεν,
οἵ ῥ' ἔτι δηριόωντο νέκυν πέρι Πηλείωνος.
οἱ δέ οἱ ὡς ἄθρησαν ὑπὸ σθεναρῇσι χέρεσσι
πολλοὺς ἐκπνείοντας, ὑπέτρεσαν οὐδ' ἔτ' ἔμιμνον,
οὐτιδανοῖς γύπεσσιν ἐοικότες, οὕς τε φοβήσῃ
αἰετὸς οἰωνῶν προφερέστατος, εὖτ' ἐν ὄρεσσι
πώεα δαρδάπτωσι λύκοις ὕπο δηωθέντα·

333 ἄρα θλ. *v*, ἄρ' ἔθλ. *k* 336 γὰρ *v*, δ' ἄρ' kl^2
340 ἐμπν. *v*, ἀμπν. st^1lk 343 -ωντι *v*, -ων κῆρ kl^2
349 χεῖρας *A* 350 δ' *A*, τ' *tl*, ῥ' *MPVk* 351 -σσιν *MP*
ἐσάθρησαν? οἳ δ' ὡς εἰσάθρ. C^1, qui add. versum Αἴαντος
Τελαμωνιάδαο καὶ ἔγχεϊ μακρῷ. 352 οὐδέ τι μ. *AM*, οὐδ'
ἔτι μ. C^1rtl, οὐδ' ἔτ' ἔμ. *k* 355 -ουσι *AMP*, -ωσι *rtlk*
ὑποδ. *AMP*, ὕπο δ. *spk*

ὣς τοὺς ἄλλυδις ἄλλον ἀπεσκέδασε θρασὺς Αἴας
χερμαδίοισι θοοῖσι καὶ ἄορι καὶ μένεϊ ᾧ.
οἵ δὲ μέγα τρομέοντες ἀπὸ πτολέμοιο φέβοντο
πανσυδίῃ, ψήρεσσιν ἐοικότες, οὕς τε δαΐζων
κίρκος ἐπισσεύει, τοὶ δ' ἰλαδὸν ἄλλος ἐπ' ἄλλῳ
ταρφέες αἴσσουσιν ἀλευόμενοι μέγα πῆμα·
ὣς οἵ γ' ἐκ πολέμοιο ποτὶ Πριάμοιο πόληα
φεῦγον ὀιζυρῶς ἐπιειμένοι ἀκλέα φύζαν,
Αἴαντος μεγάλοιο περιτρομέοντες ὁμοκλήν,
ὅς ῥ' ἕπετ' ἀνδρομέῳ πεπαλαγμένος αἵματι χεῖρας.
καί νύ κε δὴ μάλα πάντας ἐπασσυτέρους ἀπόλεσσεν,
εἰ μὴ πεπταμένῃσι πύλῃς ἐσέχυντο πόληα
βαιὸν ἀναπνείοντες, ἐπεὶ φόβος ἦτορ ἵκανε·
τοὺς δ' ἔλσας ἀνὰ ἄστυ, νομεὺς ὣς αἰόλα μῆλα,
ἤιεν ἐς πεδίον, χθόνα δ' οὐ ποσὶ μάρπτεν ἑοῖσιν
ἐμβαίνων τεύχεσσι καὶ αἵματι καὶ κταμένοισι·
κεῖτο γὰρ εὐρὺς ὅμιλος ἀπειρεσίῃ ἐπὶ γαίῃ
ἄχρις ἐφ' Ἑλλήσποντον ἀπ' εὐρυχόροιο πόληος
αἰζηῶν κταμένων, ὁπόσους λάχε δαίμονος Αἶσα.
ὡς δ' ὅτε λήιον αὖον ὑπ' ἀμητῆρσι πέσῃσι
πυκνὸν ἐόν, τὰ δὲ πολλὰ καταυτόθι δράγματα κεῖται
βριθόμενα σταχύεσσι, γέγηθε δὲ θυμὸς ἐπ' ἔργῳ
ἀνέρος εἰσορόωντος, ὅτις κλυτὸν οὖδας ἔχῃσιν·
ὣς οἵ γ' ἀμφοτέρωθε κακῷ δμηθέντες ὀλέθρῳ
κεῖντο πολυκλαύτοιο λελασμένοι ἰωχμοῖο
πρηνέες· οὐδέ τι Τρῶας Ἀχαιῶν φέρτατοι υἷες
σύλεον ἐν κονίῃσι καὶ αἵματι δῃωθέντας,
πρὶν Πηλήιον υἷα πυρῇ δόμεν, ὅς σφιν ὄνειαρ

367 ἐπέχ. v (πόληος $p\,l^1$), ἐσέχ. $MPkl^2$ 368 -νεν v, -νε k 379 οἷ v, οἵ M, οἵγ' splk

ἔπλετ' ἐνὶ πτολέμοισιν· ἐῷ μέγα κάρτεϊ θύων.
τοὔνεκά μιν βασιλῆες ἀπὸ πτολέμου ἐρύσαντες
ἀμφὶ νέκυν πονέοντο ἀπείριτον, εὖ δὲ φέροντες
κάτθεσαν ἐν κλισίῃσι νεῶν προπάροιθε θοάων.
ἀμφὶ δέ μιν μάλα πάντες ἀγειρόμενοι στενάχοντο
ἀχνύμενοι κατὰ θυμόν· ὃ γὰρ πέλε κάρτος Ἀχαιῶν,
δὴ τότ' ἐνὶ κλισίῃσι λελασμένος ἐγχειάων
κεῖτο βαρυγδούποιο παρ' ἠόσιν Ἑλλησπόντου,
οἷος ὑπερφίαλος Τιτυὸς πέσεν, ὁππότε Λητὼ
ἐρχομένην Πυθώδε βιάζετο, καί ἑ χολωθεὶς
ἀκάματόν περ ἐόντα θοῶς ὑπεδάμνατ' Ἀπόλλων
λαιψηροῖς βελέεσσιν· ὁ δ' ἀργαλέῳ ἐνὶ λύθρῳ
πουλυπέλεθρος ἔκειτο κατὰ χθονὸς εὐρυπέδοιο,
μητρὸς ἑῆς· ἡ δ' υἷα περιστονάχησε πεσόντα
ἐχθόμενον μακάρεσσι, γέλασσε δὲ πότνια Λητώ·
τοῖος ἄρ' Αἰακίδης δηίων ἐπικάππεσε γαίῃ,
χάρμα φέρων Τρώεσσι, γόον δ' ἀλίαστον Ἀχαιῶν
λαῷ μυρομένων· περὶ δ' ἔβρεμε βένθεα πόντου.
θυμὸς δ' αὐτίκα πᾶσι κατεκλάσθη φίλος ἔνδον
ἐλπομένων κατὰ δῆριν ὑπὸ Τρώεσσιν ὀλέσθαι·
μνησάμενοι δ' ἄρα τοί γε φίλων παρὰ νηυσὶ τοκήων,
τοὺς λίπον ἐν μεγάροισι, νεοδμήτων τε γυναικῶν,
αἵ που ὀδυρόμεναι μίνυθον κενεοῖς λεχέεσσι
νηπιάχοις σὺν παισὶ φίλους ποτιδέγμεναι ἄνδρας,
μᾶλλον ἀνεστενάχοντο· γόου δ' ἔρος ἔμπεσε θυμῷ·

386 *εὖτε v, ἔστε scl*[1], *ἔκ τε h, εἶτα sp, εὖ τε* (*k* ol.) *l*[2], *εὖ δὲ k* 388 *-άμενοι v, -όμενοι ego* 389 post *Ἀχαιῶν* graviorem interpunctionem sustuli 390 *δὴ v, καὶ k* 400 *Ἀχαιοῖς v* et sic *k* lacunae signis post h. v. pos. [velut *ἀμφὶ δ' ἄρ' ἠόνες αἰνὰ περίαχον Ἑλλησπόντου*], *Ἀχαιῶν ego* 401 *λαῶν v, λαῷ ego ἔβρεχε P* 406 *-σιν v, -σι MPk*

κλαῖον δ' αὖτ' ἀλίαστον ἐπὶ ψαμάϑοισι βαϑείαις
πρηνέες ἐκχύμενοι μεγάλῳ περὶ Πηλείωνι,
χαίτας ἐκ κεφαλῆς προϑελύμνους δηιόωντες,
χευάμενοι δ' ᾔσχυναν ἅδην ψαμάϑοισι κάρηνα.
οἵη δ' ἐκ πολέμοιο βροτῶν ἐς τεῖχος ἀλέντων
οἰμωγὴ πέλεται, ὅτε δήιοι ἐμμεμαῶτες
καίωσιν μέγα ἄστυ, κατακτείνωσι δὲ λαοὺς
πανσυδίῃ, πάντῃ δὲ διὰ κτῆσιν φορέωνται·
τοίη καὶ παρὰ νηυσὶν Ἀχαιῶν ἔπλετ' ἀυτή,
οὕνεκ' ἀοσσητὴρ Δαναῶν, πάις Αἰακίδαο,
κεῖτο μέγας παρὰ νηυσὶ ϑεοκμήτοισι βελέμνοις,
οἷος Ἄρης, ὅτε μιν δεινὴ ϑεὸς ὀβριμοπάτρη
Τρώων ἐν πεδίῳ πολυαχϑέι κάββαλε πέτρῃ.
Μυρμιδόνες δ' ἄλληκτον ἀνεστενάχοντ' Ἀχιλῆα
εἰλόμενοι περὶ νεκρὸν ἀμύμονος οἷο ἄνακτος,
ἠπίου, ὃς πάντεσσιν ἴσος πάρος ἦεν ἑταῖρος·
οὐ γὰρ ὑπερφίαλος πέλεν ἀνδράσιν οὐδ' ὀλοόφρων,
ἀλλὰ σαοφροσύνῃ καὶ κάρτεϊ πάντα κέκαστο.
Αἴας δ' ἐν πρώτοισι μέγα στενάχων ἐγεγώνει
πατροκασιγνήτοιο φίλον ποϑέων ἅμα παῖδα
βλήμενον ἐκ ϑεόφιν· ϑνητῶν γε μὲν οὔ τινι βλητὸς
ἦεν, ὅσοι ναίουσιν ἐπὶ χϑονὸς εὐρυπέδοιο.
τὸν τότε κῆρ ἀχέων ὀλοφύρετο φαίδιμος Αἴας,
ἄλλοτε μὲν κλισίας Πηληιάδαο δαμέντος
ἐσφοιτῶν, ὁτὲ δ' αὖτε παρὰ ψαμάϑοισι ϑαλάσσης
ἐκχύμενος μάλα πουλύς, ἔπος δ' ὀλοφύρατο τοῖον·
„*ὦ Ἀχιλεῦ, μέγα ἕρκος ἐυσϑενέων Ἀργείων,*

409 *τ' v, δ' k* 410 *παρὰ v, περὶ k* 411 *-νας A, -νως MP,* *-νους* em. *sc* 417 *τοίη τοι v, τοίη τις hlk*[1]*st*[2], *τοίη καὶ k* ol., *τοιαύτη k*[2] 419 *κ. δαμεὶς st*[2] 435 *κάρτος A, ἕρκος MPtlk*

κάτθανες ἐν Τροίῃ Φθίης ἑκὰς εὐρυπέδοιο
ἔκποθεν ἀπροφάτοιο λυγρῷ βεβλημένος ἰῷ,
τόν ῥα ποτὶ κλόνον ἄνδρες ἀνάλκιδες ἰθύνουσιν·
οὐ γάρ τις πίσυνός γε σάκος μέγα νωμήσασθαι
ἠδὲ περὶ κροτάφοισιν ἐπισταμένως ἐς Ἄρηα
εὖ θέσθαι πήληκα καὶ ἐν παλάμῃ δόρυ πῆλαι
καὶ χαλκὸν δηίοισι περὶ στέρνοισι δαΐξαι
ἰοῖσιν γ' ἀπάνευθεν ἀπεσσύμενος πολεμίζει·
εἰ γάρ σευ κατέναντα τότ' ἤλυθεν, ὅς σ' ἔβαλέν περ,
οὐκ ἂν ἀνουτητί γε τεοῦ φύγεν ἔγχεος ὁρμήν.
ἀλλὰ Ζεὺς τάχα που τάδε μήδετο πάντ' ἀπολέσσαι,
ἡμέων δ' ἐν καμάτοισιν ἐτώσια ἔργα τίθησιν·
ἤδη γὰρ Τρώεσσι κατ' Ἀργείων τάχα νίκην
νεύσει, ἐπεὶ τόσσον περ Ἀχαιῶν ἕρκος ἀπηύρα.
ὢ πόποι, ὡς ἄρα πάγχυ γέρων ἐν δώμασι Πηλεὺς
ὀχθήσει μέγα πένθος ἀτερπέι γήραϊ κύρσας·
αὐτὴ μὲν φήμη μιν ἀπορραίσει τάχα θυμόν·
ὧδε δέ οἱ καὶ ἄμεινον ὀιζύος αἶψα λαθέσθαι·
εἰ δέ κεν οὐ φθίσῃ ἓ κακὴ περὶ υἱέος ὄσσα,
ἆ δειλὸς χαλεποῖς ἐνὶ πένθεσι γῆρας ἰάψει
αἰὲν ἐπ' ἐσχαρόφιν βίοτον κατέδων ὀδύνῃσι,
Πηλεύς, ὃς μακάρεσσι φίλος περιώσιον ἦεν·
ἀλλ' οὐ πάντα τελοῦσι θεοὶ μογεροῖσι βροτοῖσιν."

443 ἐπεσσυμένως *Art*, -σύμενος *MPVp*, -συμένοις *Glasewald b l*[1], -μένῳ *bhst*[2], ἀφιστάμενος (*k* ol.) *l*[2], ἀπεσσύμενος *ego*. πολεμίζειν *AM*, -ει *Prtlst*[2] ἐπεσσυμένους et lacunae maioris signis positis ἐσσύμενος πολεμίζειν *k* 444 δ' ἄρ' *ego* ol. 450 δώματι *AMP*, -σι *ptlk* 451 ἀτερπέι *v*, ὅπερ τ' ἐν *ego* antehac κύρσας *v*, -σαν (*p*)*ego* antehac post h. v. lacunae signa pos. *k* ['acerbissima Pelei senis decrepiti conditio . . . exposita fuit'] 452 αὐτή κεν φήμη *bl*[1], αὐτῇ ὁ σὺν φήμῃ *hl*[2], αὐτίκα μὲν φ. *ego* ol., αὐτὴ μὲν φ. nunc scripsi μέγα *AMP*, τάχα *bsplk* 454 φθίσει *v*, -ῃ *spk* αἶσα *v*, ὄσσα *MP*, ὄ. *hlk* 457 -σιος *v*, -σιον *splk*

ὣς ὁ μὲν ἀσχαλόων ὀλοφύρετο Πηλείωνα.
Φοῖνιξ δ' αὖθ' ὁ γεραιὸς ἀάσπετα κωκύεσκεν
ἀμφιχυθεὶς δέμας ἠὺ θρασύφρονος Αἰακίδαο·
καί ῥ' ὀλοφυδνὸν ἄυσε μέγ' ἀχνύμενος πινυτὸν κῆρ·
„ὤλεό μοι, φίλε τέκνον, ἐμοὶ δ' ἄχος αἰὲν ἄφυκτον
κάλλιπες· ὡς ὄφελόν με χυτὴ κατὰ γαῖα κεκεύθει,
πρὶν σέο πότμον ἰδέσθαι ἀμείλιχον· οὐ γὰρ ἔμοιγε
ἄλλο χερειότερόν ποτ' ἐσήλυθεν ἐς φρένα πῆμα,
οὐδ' ὅτε πατρίδ' ἐμὴν λιπόμην ἀγανούς τε τοκῆας
φεύγων ἐς Πηλῆα δι' Ἑλλάδος, ὅς μ' ὑπέδεκτο
καί μοι δῶρα πόρεν, Δολόπεσσι δὲ θῆκεν ἀνάσσειν·
καὶ σέγ' ἐν ἀγκοίνῃσι φορεύμενος ἀμφὶ μέλαθρον
κόλπῳ ἐμῷ κατέθηκε καὶ ἐνδυκέως ἐπέτελλε
"νηπίαχον κομέειν, ὡς εἰ φίλον υἷα γεγῶτα"·
τῷ πιθόμην· σὺ δ' ἐμοῖσι περὶ στέρνοισι γεγηθὼς
πολλάκι παππάζεσκες ἔτ' ἄκριτα χείλεσι βάζων,
καί μευ νηπιέῃσιν ἄδην ἐνὶ σῇσι δίηνας
στήθεά τ' ἠδὲ χιτῶνας· ἔχον δέ σε χερσὶν ἐμῇσι
πολλὸν καγχαλόων, ἐπεὶ ἦ νύ μοι ἦτορ ἐώλπει
θρέψειν κηδεμονῆα βίου καὶ γήραος ἄλκαρ.
καὶ τὰ μὲν ἐλπομένῳ βαιὸν χρόνον ἔπλετο πάντα·
νῦν δὲ σύγ' οἴχῃ ἄιστος ὑπὸ ζόφον· ἀμφὶ δ' ἐμὸν κῆρ
ἄχνυτ' ὀιζυρῶς, ἐπεὶ ἦ νύ με κῆδος ἰάπτει

464 *ὄφελέν v, -όν hlk* 466 *γ' A, τ' MPV, ποτ'* em. *r* *ἐπήλ. A* 467 *γεραρούς spl* 469 *δ' ἔθ. v, δὲ θ. hlk* 471 *-λεν v, -λε Pk* 475 *ἀπεννεσίῃσι A, -ῃσι MP, ὑπ' ἐνν.* tl^1, *ὑπ' ἀλγεινῇσι* (*k* ol.) l^2, *ἄδην ἐνὶ σ. k* 480 *νῦν οἴ. A, ν. δὴ οἴ. MP, νῦν δ' οἴ. μὲν sctl, ν. δὲ σύγ' οἴ. k* 481 sq. *θυμὸς AMP, πένθος rt, κῆδος ego* (vel in seq. versu *πῆμ' ὀλοὸν* loco *λευγ.*), *θυμὸν k* lacunae signis post h. v. positis ['facile calamitatis notio pluribus exornari poterat'], *θυμὸν l.* | *πένθος λευγ., τὸ καταφθ. hl* sed *τό με εἶθε κ. AMP, τὸ καὶ εἴ. k, τό ῥά μ' εἴ.* (*k*)*ego* (an *τό τέ μ' εἶθε?*)

λευγαλέον· τό ῥά μ' εἴθε καταφθίσειε γοῶντα,
πρὶν Πηλῆα πυθέσθαι ἀμύμονα, τόν περ ὀίω
κωκύσειν ἀλίαστον, ὅτ' ἀμφί ἑ φῆμις ἵκηται·
οἴκτιστον γὰρ νῶιν ὑπὲρ σέθεν ἔσσεται ἄλγος,
πατρί τε σῷ καὶ ἐμοί, τοί περ μέγα σεῖο θανόντος
ἀχνύμενοι τάχα γαῖαν ὑπὲρ Διὸς ἄσχετον Αἶσαν
δυσόμεθ' ἐσσυμένως· καί κεν πολὺ λώιον εἴη
ἢ ζώειν ἀπάνευθεν ἀοσσητῆρος ἑοῖο."

ἦ ῥ' ὁ γέρων ἀλίαστον ἐνὶ φρεσὶ πένθος ἀέξων.
πὰρ δέ οἱ Ἀτρείδης ὀλοφύρετο δάκρυα χεύων·
ᾤμωξεν δ' ὀδύνῃσι μέγ' αἰθόμενος κέαρ ἔνδον·
„ὤλεο, Πηλείδη, Δαναῶν μέγα φέρτατε πάντων,
ὤλεο καὶ στρατὸν εὐρὺν ~~ἀνερκέα~~ θῆκας Ἀχαιῶν·
ῥηίτεροι δ' ἄρα σεῖο καταφθιμένου πελόμεσθα
δυσμενέσιν· σὺ δὲ χάρμα πεσὼν μέγα Τρωσὶν ἔθηκας,
οἵ σε πάρος φοβέοντο, λέονθ' ὣς αἰόλα μῆλα·
νῦν δ' ἐπὶ νηυσὶ θοῇσι λιλαιόμενοι μαχέονται.
Ζεῦ πάτερ, ἦ ῥά τι καὶ σὺ βροτοὺς ψευδέσσι λόγοισι
θέλγεις, ὃς κατένευσας ἐμοὶ Πριάμοιο ἄνακτος
ἄστυ διαπραθέειν, νῦν δ' οὐ τελέεις, ὅσ' ὑπέστης,
ἀλλὰ λίην ἀπάφησας ἐμὰς φρένας· οὐ γὰρ ὀίω
εὑρέμεναι πολέμοιο τέκμωρ φθιμένου Ἀχιλῆος."

ὣς ἔφατ' ἀχνύμενος κέαρ ἔνδοθεν· ἀμφὶ δὲ λαοὶ
κώκυον ἐκ θυμοῖο θρασὺν περὶ Πηλείωνα·
τοῖς δ' ἄρ' ἐπεβρόμεον νῆες περιμυρομένοισιν,
ἠχὴ δ' ἄσπετος ὦρτο δι' αἰθέρος ἀκαμάτοιο.

487 ὑπαὶ *AMP*, em. *br* ἄσπετον *AMP*, ἄσχ. *spk*
495 -οιο π. *AMP* (-σθαι *M*), -ου π. *C¹rtl*, -οιο πέλονται *k*
496 π. Τρώεσσιν *v*, π. μέγα Τρώεσσιν *MP*, μ. Τρωσὶν *k*
499 τι om. *A*, νυ *rsctl*, τοι *M*, τι *k* -οισιν *P*, -σι *M*
502 ἀκάχησας *v*, ἀπάφ. *blk* 506 παραμυρ. *A*, παρὰ μυρ. *MPtl*, περιμυρ. *spk*

ὡς δ' ὅτε κύματα μακρὰ βίῃ μεγάλου ἀνέμοιο
ὀρνύμεν' ἐκ πόντοιο πρὸς ἠιόνας φορέονται
σμερδαλέον, πάντῃ δὲ προσαγνυμένης ἁλὸς αἰεὶ
ἀκταὶ ὁμῶς ῥηγμῖσιν ἀπειρέσιαι βοόωσι·
τοῖος ἄρ' ἀμφὶ νέκυν Δαναῶν στόνος αἰνὸς ὀρώρει
μυρομένων ἄληκτον ἀταρβέα Πηλείωνα.
καί σφιν ὀδυρομένοισι τάχ' ἤλυθε κυανέη νύξ,
εἰ μὴ ἄρ' Ἀτρείδην προσεφώνεε Νηλέος υἱὸς
Νέστωρ, ὅς ῥά τ' ἔχεσκεν ἐνὶ φρεσὶ μυρίον ἄλγος
μνησάμενος σφοῦ παιδὸς ἐύφρονος Ἀντιλόχοιο·
„Ἀργείων σκηπτοῦχε, μέγα κρατέων Ἀγάμεμνον,
νῦν μὲν ἀποσχώμεσθα δυσηχέος αἶψα γόοιο
σήμερον· οὐ γάρ ἔτ' αὖθις ἐρωήσει τις Ἀχαιοὺς
κλαυθμοῦ ἄδην κορέσασθαι ἐπ' ἤματα πολλὰ γοῶντας.
ἀλλ' ἄγε δὴ βρότον αἰνὸν ἀταρβέος Αἰακίδαο
λούσαντες λεχέεσσ' ἐνιθείομεν· οὐ γὰρ ἔοικεν
αἰσχύνειν ἐπὶ δηρὸν ἀκηδείῃσι θανόντας."
καὶ τὰ μὲν ὣς ἐπέτελλε περίφρων Νηλέος υἱός·
αὐτὰρ ὅ γ' οἷς ἑτάροισιν ἐπισπέρχων ἐκέλευεν
ὕδατος ἐν πυρὶ θέντας ἄφαρ κρυεροῖο λέβητας
θερμῆναι λοῦσαί τε νέκυν περί θ' εἵματα ἕσσαι
καλά, τά οἱ πόρε παιδὶ φίλῳ ἁλιπόρφυρα μήτηρ
ἐς Τροίην ἀνιόντι. θοῶς δ' ἐπίθησαν ἄνακτι·
ἐνδυκέως δ' ἄρα πάντα πονησάμενοι κατὰ κόσμον
κάτθεσαν ἐν κλισίῃσι δεδουπότα Πηλείωνα.
τὸν δ' ἐσιδοῦσ' ἐλέησε περίφρων Τριτογένεια·
στάξε δ' ἄρ' ἀμβροσίην κατὰ κράατος, ἥν ῥά τέ φασι
δηρὸν ἐρυκακέειν νεαρὸν χρόα κηρὶ δαμέντων·
θῆκε δ' ἄρ' ἑρσήεντα καὶ εἴκελον ἀμπνείοντι·

523 ἐνὶ ϑ. *Atl*, ἐνὶ ϑ. *P*, ἐνιϑ. *Mgk*   526 ὃ *v*, ὅγ' *splk*

σμερδαλέον δ' ἄρα τεῦξεν ἐπισκύνιον περὶ νεκρῷ,
οἷόν τ' ἀμφ' ἑτάροιο δαϊκταμένου Πατρόκλοιο
χωομένῳ ἐπέκειτο, κατὰ βλοσυροῖο προσώπου·
βριθύτερον δ' ἄρα θῆκε δέμας καὶ ἄρειον ἰδέσθαι.
Ἀργείους δ' ἕλε θάμβος ὁμιλαδὸν ἀθρήσαντας
Πηλείδην ζώοντι πανείκελον, ὅς ῥ' ἐπὶ λέκτροις
ἐκχύμενος μάλα πουλὺς ἅδην εὕδοντι ἐῴκει.
  ἀμφὶ δέ μιν μογεραὶ ληίτιδες, ἅς ῥά ποτ' αὐτὸς
Λῆμνόν τε ζαθέην Κιλίκων τ' αἰπὺ πτολίεθρον
Θήβην Ἠετίωνος ἑλὼν ληίσσατο κούρας,
ἱστάμεναι γοάασκον ἀμύσσουσαι χρόα καλόν,
στήθεά τ' ἀμφοτέρῃσι πεπληγυῖαι παλάμῃσιν
ἐκ θυμοῦ στενάχεσκον ἐύφρονα Πηλείωνα·
τὰς γὰρ δὴ τίεσκε καὶ ἐκ δηίων περ ἐούσας.
πασάων δ' ἔκπαγλον ἀκηχεμένη κέαρ ἔνδον
Βρισηὶς παράκοιτις ἐυπτολέμου Ἀχιλῆος
ἀμφὶ νέκυν στρωφᾶτο καὶ ἀμφοτέρῃς παλάμῃσι
δρυπτομένη χρόα καλὸν ἀύτεεν· ἐκ δ' ἁπαλοῖο
στήθεος αἱματόεσσαι ἀνὰ σμώδιγγες ἄερθεν
θεινομένης· φαίης κεν ἐπὶ γλάγος αἷμα χέασθαι
φοίνιον· ἀγλαΐῃ δὲ καὶ ἀχνυμένης ἀλεγεινῶς
ἱμερόεν μάρμαιρε, χάρις δέ οἱ ἄμφεχεν εἶδος.
τοῖον δ' ἔκφατο μῦθον ὀιζυρὸν γοόωσα·
  „ὤ μοι ἐγὼ πάντων περιώσιον αἰνὰ παθοῦσα·
οὐ γάρ μοι τόσσον περ ἐπήλυθεν ἄλλό τι πῆμα,
οὔτε κασιγνήτων οὔτ' εὐρυχόρου περὶ πάτρης,

537 δ' ἄρ' ἄτυξεν ἐ. πέρι πάντας *h*, δ' ἄρ' ἐπισκ. νεκρῷ περ ἔτευξεν *k* 538 οἷον ὅτ' *v*, οἷόν τ' *blk* 539 -μένου *v*, -ῳ *pblk* 540 ἄρ' ἔθ. *k* 553 -σιν *MP* 556 verba φαίης — φοίνιον in solis *MP* leguntur 561 ἄλλοτε *v*, ἄλλο τι *k*

ὅσσον σεῖο θανόντος, ἐπεὶ σύ μοι ἱερὸν ἦμαρ
καὶ φάος ἠελίοιο πέλες καὶ μείλιχος αἰὼν
ἐλπωρή τ' ἀγαθοῖο καὶ ἄσπετον ἄλκαρ ἀνίης
πάσης τ' ἀγλαΐης πολὺ φέρτερος ἠδὲ τοκήων
ἔπλεο· πάντα γὰρ οἶος ἔης δμωῇ περ ἐούσῃ,
καί ῥά μ' ἔθηκας ἄκοιτιν ἑλὼν ἄπο δούλια ἔργα.
νῦν δέ τις ἐν νήεσσιν Ἀχαιῶν ἄξεται ἄλλος
Σπάρτην εἰς ἐρίβωλον ἢ ἐς πολυδίψιον Ἄργος,
καί νύ κεν ἀμφιπολεῦσα κακὰς ὑποτλήσομ' ἀνίας
σεῦ ἀπονοσφισθεῖσα δυσάμμορος· ὡς ὄφελόν με
γαῖα χυτὴ ἐκάλυψε, πάρος σέο πότμον ἰδέσθαι.“
ὣς ἡ μὲν δμηθέντ' ὀλοφύρετο Πηλείωνα
δμωῇς σὺν μογερῇσι καὶ ἀχνυμένοισιν Ἀχαιοῖς
μυρομένη καὶ ἄνακτα καὶ ἀνέρα· τῆς δ' ἀλεγεινὸν
οὔ ποτ' ἐτέρσετο δάκρυ, κατείβετο δ' ἄχρις ἐπ' οὖδας
ἐκ βλεφάρων, ὡς εἴ τε μέλαν κατὰ πίδακος ὕδωρ
πετραίης, ἧς πουλὺς ὕπερ παγετός τε χιών τε
ἐκκέχυται στυφελοῖο κατ' οὔδεος, ἀμφὶ δὲ πάχνη
τήκεθ' ὁμῶς Εὔρῳ τε καὶ ἠελίοιο βολῇσι.
καὶ τότε δή ῥ' ἐσάκουσαν ὀρινομένοιο γόοιο
θυγατέρες Νηρῆος, ὅσαι μέγα βένθος ἔχουσι·
πάσῃσιν δ' ἀλεγεινὸν ὑπὸ κραδίην πέσεν ἄλγος·
οἰκτρὸν δ' ἐστονάχησαν, ἐπίαχε δ' Ἑλλήσποντος.
ἀμφὶ δὲ κυανέοισι καλυψάμεναι χρόα πέπλοις
ἐσσυμένως οἴμησαν, ὅπῃ στόλος ἔπλετ' Ἀχαιῶν,
πανσυδίῃ πολιοῖο δι' οἴδματος· ἀμφὶ δ' ἄρά σφι
νισσομένῃσι θάλασσα διίστατο· ταὶ δ' ἐφέροντο
κλαγγηδόν, κραιπνῇσιν ἐειδόμεναι γεράνοισιν
ὀσσομένης μέγα χεῖμα· περιστενάχοντο δὲ λυγρὸν

588 σφιν v, σφι k

κήτεα μυρομένῃσιν· ἔσαν δ' ἄφαρ, ἧχι νέοντο,
παῖδα κασιγνήτης κρατερόφρονα κωκύουσαι
ἐκπάγλως. Μοῦσαι δὲ θοῶς Ἑλικῶνα λιποῦσαι
ἤλυθον ἄλγος ἄλαστον ἐνὶ στέρνοισιν ἔχουσαι,
ἀρνύμεναι τιμὴν ἑλικώπιδι Νηρηίνῃ.
Ζεὺς δὲ μέγ' Ἀργείοισι καὶ ἄτρομον ἔμβαλε θάρσος,
ὄφρα μὴ ἐσθλὸν ὅμιλον ὑποδδείσωσι θεάων
ἀμφαδὸν ἀθρήσαντες ἀνὰ στρατόν· αἳ δ' Ἀχιλῆος
ἀμφὶ νέκυν στενάχοντο καὶ ἀθάνατοί περ ἐοῦσαι
πᾶσαι ὁμῶς· ἀκταὶ δὲ περίαχον Ἑλλησπόντου·
δεύετο δὲ χθὼν πᾶσα περὶ νέκυν Αἰακίδαο
δάκρυσ', ἐπεὶ μέγα πένθος ἀνέστενον· ἀμφὶ δὲ λαῶν
μυρομένων δακρύοισι φορύνετο τεύχεα πάντα
καὶ κλισίαι καὶ νῆες, ἐπεὶ μέγα πένθος ὀρώρει.
μήτηρ δ' ἀμφιχυθεῖσα κύσε στόμα Πηλείωνος
παιδὸς ἑοῦ καὶ τοῖον ἔπος φάτο δακρυχέουσα·
„γηθείτω ῥοδόπεπλος ἀν' οὐρανὸν Ἠριγένεια,
γηθείτω φρεσὶν ᾗσι μεθεὶς χόλον Ἀστεροπαίου
Ἀξιὸς εὐρυρέεθρος ἰδὲ Πριάμοιο γενέθλη·
αὐτὰρ ἐγὼ πρὸς Ὄλυμπον ἀφίξομαι, ἀμφὶ δὲ ποσσὶ
κείσομαι ἀθανάτοιο Διὸς μεγάλα στενάχουσα,
οὕνεκά μ' οὐκ ἐθέλουσαν ὑπ' ἀνέρι δῶκε δαμῆναι,
ἀνέρι, τὸν τάχα γῆρας ἀμείλιχον ἀμφιμέμαρπε,
Κῆρές τ' ἐγγὺς ἔασι τέλος θανάτοιο φέρουσαι.
ἀλλά μοι οὐ κείνοιο μέλει τόσον ὡς Ἀχιλῆος,
ὅν μοι Ζεὺς κατένευσεν ἐν Αἰακίδαο δόμοισιν

592 ἔβαν *v*, ἔσαν *pk*   603 δάκρυσι· καὶ *v*, δάκρυσιν· ὣς *k*; δάκρυσ', ἐπεὶ *ego*   βένθος *rtl* (*P*?)   ἐνέστενεν *A*, ἀνέστενον *MPk*, ἀνέστενεν *tl*   604 δάκρυσι *AP*, δακρυσίσι *M*, δάκρυσσι *tl*, -ύοισι *k*   610 Ἄξιος *v*, Ἀξιὸς *k*² p. 318   614 ὃν *v*, τὸν *hsplk*   -μαρφε *v*, -πε *rspk*

ἴφθιμον θήσειν, ἐπεὶ οὔ τί μοι ἥνδανεν εὐνή·
ἀλλ' ὁτὲ μὲν ζαῆς ἄνεμος πέλον, ἄλλοτε δ' ὕδωρ,
ἄλλοτε δ' οἰωνῷ ἐναλίγκιος ἢ πυρὸς ὁρμῇ,
οὐδέ με θνητὸς ἀνὴρ δύνατ' ἐν λεχέεσσι δαμάσσαι
φαινομένην, ὅσα γαῖα καὶ οὐρανὸς ἐντὸς ἐέργει,
μέσφ' ὅτε μοι κατένευσεν Ὀλύμπιος υἱέα δῖον
ἔκπαγλον θήσειν καὶ ἀρήιον. ἀλλὰ τὸ μέν που
ἀτρεκέως ἐτέλεσσεν· ὁ γὰρ πέλε φέρτατος ἀνδρῶν·
ἀλλά μιν ὠκύμορον ποιήσατο καί μ' ἀκάχησε.
τοὔνεκ' ἐς οὐρανὸν εἶμι· Διὸς δ' ἐς δώματ' ἰοῦσα
κωκύσω φίλον υἷα, καὶ ὁππόσα πρόσθε μόγησα
ἀμφ' αὐτῷ καὶ παισὶν ἀεικέα τειρομένοισι,
μνήσω ἀκηχεμένη, ἵνα οἱ σὺν θυμὸν ὀρίνω.“
ὣς ἔφατ' αἰνὰ γοῶσ' ἁλίη Θέτις· ἡ δέ οἱ αὐτὴ
Καλλιόπη φάτο μῦθον ἀρηρεμένη φρεσὶ θυμόν·
„ἴσχεο κωκυτοῖο, θεὰ Θέτι, μηδ' ἀλύουσα
εἵνεκα παιδὸς ἑοῖο θεῶν μεδέοντι καὶ ἀνδρῶν
σκύζεο· καὶ γὰρ Ζηνὸς ἐριβρεμέταο ἄνακτος
υἷες ὁμῶς ἀπόλοντο κακῇ περὶ κηρὶ δαμέντες·
κάτθανε δ' υἱὸς ἐμεῖο καὶ αὐτῆς ἀθανάτοιο
Ὀρφεύς, οὗ μολπῇσιν ἐφέσπετο πᾶσα μὲν ὕλη,
πᾶσα δ' ἄρ' ὀκριόεσσα πέτρη ποταμῶν τε ῥέεθρα
πνοιαί τε λιγέων ἀνέμων ἀμέγαρτον ἀέντων
οἰωνοί τε θοῇσι διεσσύμενοι πτερύγεσσιν·
ἀλλ' ἔτλην μέγα πένθος, ἐπεὶ θεὸν οὔ τι ἔοικε
πένθεσι λευγαλέοισι καὶ ἄλγεϊ θυμὸν ἀχεύειν.

621 *οὐδέ μοι AMP*, *οὔ μοι tl*, *οὐδέ με* C^1*rk* *δύνατ' ἐν λ. v*, *δύνατο λ. MP* *μιγῆναι v*, om. *MP* (sed in *M* ab alt. m. adscr.), *δαμάζειν r*, *δαμάσσαι k* 622 *γιγνομένη v* (*-ην r*), *γινομένην P*, *φερομένην M*, *φαιν. k* 624 *τὰ v*, *τὸ* k^1 in praef. k^2 626 *-σεν v*, *-σε MPk* 629 *-σιν v*, *-σι MPk* 639 *ὀκρυ. tl* 642 *οὔτιν' ἔοικεν v*, *οὔτι -κε k*

τῷ σε καὶ ἀχνυμένην μεθέτω γόος υἱέος ἐσθλοῦ·
καὶ γάρ οἱ κλέος αἰὲν ἐπιχθονίοισιν ἀοιδοὶ
καὶ μένος ἀείσουσιν ἐμῇ τ' ἰότητι καὶ ἄλλων
Πιερίδων. σὺ δὲ μή τι κελαινῷ πένθεϊ θυμὸν
δάμνασο θηλυτέρῃσιν ἴσον γοόωσα γυναιξίν·
ἦ οὐκ ἀίεις, ὅτι πάντας, ὅσοι χθονὶ ναιετάουσιν,
ἀνθρώπους ὀλοὴ περιπέπταται ἄσχετος Αἶσα
οὐδὲ θεῶν ἀλέγουσα; τόσον σθένος ἔλλαχε μούνη·
ἣ καὶ νῦν Πριάμοιο πολυχρύσοιο πόληα
ἐκπέρσει Τρώων τε καὶ Ἀργείων ὀλέσασα
ἀνέρας, ὅν κ' ἐθέλῃσι· θεῶν δ' οὔ τίς μιν ἐρύξει."
ὣς φάτο Καλλιόπη πινυτὰ φρεσὶ μητιόωσα.
ἠέλιος δ' ἀπόρουσεν ἐς Ὠκεανοῖο ῥέεθρα,
ὦρτο δὲ νὺξ μεγάλοιο κατ' ἠέρος ὀρφνήεσσα,
ἥ τε καὶ ἀχνυμένοισι πέλει θνητοῖσιν ὄνειαρ.
αὐτοῦ δ' ἐν ψαμάθοισιν Ἀχαιῶν ἔδραθον υἷες
ἰλαδὸν ἀμφὶ νέκυν μεγάλῃ βεβαρηότες ἄτῃ.
ἀλλ' οὐχ ὕπνος ἔμαρπτε θεὴν Θέτιν· ἄγχι δὲ παιδὸς
ἧστο σὺν ἀθανάτῃς Νηρηίσιν· ἀμφὶ δὲ Μοῦσαι
ἀχνυμένην ἀνὰ θυμὸν ἀμοιβαδὶς ἄλλοθεν ἄλλη
πολλὰ παρηγορέεσκον, ὅπως λελάθοιτο γόοιο.
ἀλλ' ὅτε καγχαλόωσα δι' αἰθέρος ἤλυθεν Ἠὼς
λαμπρότατον πᾶσίν τε φάος Τρώεσσι φέρουσα
καὶ Πριάμῳ — Δαναοὶ δὲ μέγ' ἀχνύμενοι Ἀχιλῆα
κλαῖον ἐπ' ἤματα πολλά, περιστενάχοντο δὲ μακραὶ
ἠιόνες πόντοιο, μέγας δ' ὀλοφύρετο Νηρεὺς
ἦρα φέρων κούρῃ Νηρηίδι, σὺν δέ οἱ ἄλλοι

644 χόλος A 649 ἦ v, ἤ spk 654 ὅττε θέλῃσι v, ὅν κ' ἐθέλ. gspk 661 θοὴν v, θεὴν bk, θεὰν l 666 λ. τ. φάος πᾶσιν A (-σι tl[1]), λ. τ. πᾶσι φ. MP, λ. πάντεσσι φ. schl[2], λ. πᾶσίν τε φ. k

εἰνάλιοι μύροντο θεοὶ φθιμένου Ἀχιλῆος —,
καὶ τότε δὴ μεγάλοιο νέκυν Πηληιάδαο
Ἀργεῖοι πυρὶ δῶκαν ἀάσπετα νηήσαντες
δοῦρα, τά οἱ φορέοντες ἀπ' οὔρεος Ἰδαίοιο
πάντες ὁμῶς ἐμόγησαν, ἐπεί σφεας ὀτρύνοντες
Ἀτρεΐδαι προέηκαν ἀπείριτον οἰσέμεν ὕλην,
ὄφρα θοῶς καίοιτο νέκυς κταμένου Ἀχιλῆος.
ἀμφὶ δὲ τεύχεα πολλὰ πυρῇ περινηήσαντο
αἰζηῶν κταμένων, πολλοὺς δ' ἐφύπερθε βάλοντο
Τρώων δηώσαντες ὁμῶς περικαλλέας υἷας
ἵππους τε χρεμέθοντας ἐυσθενέας θ' ἅμα ταύρους,
σὺν δ' ὄιάς τε σύας τ' ἔβαλον βρίθοντας ἀλοιφῇ·
φάρεα δ' ἐκ χηλῶν φέρον ἄσπετα κωκύουσαι
δμωιάδες, καὶ πάντα πυρῆς καθύπερθε βάλοντο,
χρυσόν τ' ἤλεκτρόν τ' ἐπενήνεον. ἀμφὶ δὲ χαίτας
Μυρμιδόνες κείραντο, νέκυν δ' ἐκάλυψαν ἄνακτος·
καὶ δ' αὐτὴ Βρισηὶς ἀκηχεμένη περὶ νεκρῷ
κειραμένη πλοκάμους πύματον πόρε δῶρον ἄνακτι.
πολλοὺς δ' ἀμφιφορῆας ἀλείφατος ἀμφεχέοντο,
ἄλλους δ' ἀμφὶ πυρῇ μέλιτος θέσαν ἠδὲ καὶ οἴνου
ἡδέος, οὗ μέθυ λαρὸν ὀδώδεε νέκταρι ἶσον·
ἄλλα δὲ πολλὰ βάλοντο θυώδεα θαῦμα βροτοῖσιν,
ὅσσα χθὼν φέρει ἐσθλὰ καὶ ὁππόσα δῖα θάλασσα.
ἀλλ' ὅτε δὴ περὶ πάγχυ πυρὴν διεκοσμήσαντο,
πεζοὶ ἅμ' ἱππήεσσι σὺν ἔντεσιν ἐρρώσαντο
ἀμφὶ πυρὴν πολύδακρυν. ὁ δ' ἔκποθεν Οὐλύμποιο

676 ἀργεῖοι *AMP*, Ἀτρ. em. *r*   681 hunc v. soli serv. *MP*   685 ἐπενήν. *v*, -νήεον *MPk*   689 ἀμφιχ. *v*, ἀμφεχ. *MPspk*   692 -οντο εὐώδ. *AMP*, -οντ' εὐ. *rtl*^{1}, -οντο θυώδ. *kl*^{2} 693 ὅ. φέρει χθὼν *n*   696 ἔκτοσθεν *A*, ἔκτοθ. *MPV*, ἔκπ. *splk*

Ζεὺς ψεκάδας κατέχευεν ὑπὲρ νέκυν Αἰακίδαο
ἀμβροσίας, δίῃ δὲ φέρων Νηρηίδι τιμήν·
Ἑρμείην προέηκεν ἐς Αἴολον, ὄφρα καλέσσῃ
λαιψηρῶν ἀνέμων ἱερὸν μένος· ἦ γὰρ ἔμελλε
καίεσθ' Αἰακίδαο νέκυς. τοῦ δ' αἶψα μολόντος
Αἴολος οὐκ ἀπίθησε· καλεσσάμενος δ' ἀλεγεινὸν
καρπαλίμως Βορέην Ζεφύροιό τε λάβρον ἀήτην
ἐς Τροίην προέηκε θοῇ θύοντας ἀέλλῃ·
οἳ δὲ θοῶς οἴμησαν ὑπὲρ πόντοιο φέρεσθαι
ῥιπῇ ἀπειρεσίῃ· περὶ δ' ἴαχεν ἐσσυμένοισι
πόντος ὁμοῦ καὶ γαῖα, περικλονέοντο δ' ὕπερθε
πάντα νέφη μεγάλοιο δι' ἠέρος ἀίσσοντα.
οἳ δὲ Διὸς βουλῇσι δαϊκταμένου Ἀχιλῆος
αἶψα πυρῇ ἐνόρουσαν ἀολλέες, ὦρτο δ' αὐτμὴ
Ἡφαίστου μαλεροῖο· γόος δ' ἀλίαστος ὀρώρει
Μυρμιδόνων· ἄνεμοι δὲ καὶ ἐσσύμενοί περ ἀέλλῃ
πᾶν ἦμαρ καὶ νύκτα νέκυν περιποιπνύοντες
καῖον ἐϋπνείοντες ὁμῶς· ἀνὰ δ' ἔγρετο πουλὺς
καπνὸς ἐς ἠέρα δῖαν, ἐπέστενε δ' ἄσπετος ὕλη
δαμναμένη πυρὶ πᾶσα, μέλαινα δὲ γίνετο τέφρη.
οἳ δὲ μέγ' ἐκτελέσαντες ἀτειρέες ἔργον ἀῆται
εἰς ἑὸν ἄντρον ἕκαστος ὁμοῦ νεφέεσσι φέροντο.
  Μυρμιδόνες δ', ὅτ' ἄνακτα πελώριον ὕστατον ἄλλων
ἤνυσε πῦρ αἴδηλον ἀποκταμένων περὶ νεκρῷ
ἵππων τ' αἰζηῶν τε, καὶ ἄλλ' ὅσα δακρυχέοντες
ὄβριμον ἀμφὶ νέκυν κειμήλια θῆκαν Ἀχαιοί,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν. ὀστέα δ' αὐτοῦ

698 τε *v*, δὲ *k*   700 -λεν *v*, -λε *MPk*   708 ἠέρος *Ak*, αἰθ. *MPtl*   711 μελάθροιο *AMP*, em. *r*   715 δῖον *v* (in *M* ο in ras.), δῖαν *Pk*   716 δ' ἐγίγν. *v*, δὲ γίγν. *hl*, δὲ γίν. *MPk*

φαίνετ᾽ ἀριφραδέως, ἐπεὶ οὐχ ἑτέροισιν ὁμοῖα
ἦν, ἀλλ᾽ οἷα Γίγαντος ἀτειρέος, οὐδὲ μὲν ἄλλα
σὺν κείνοις ἐμέμικτ᾽, ἐπεὶ ἢ βόες ἠδὲ καὶ ἵπποι
καὶ παῖδες Τρώων μίγδα κταμένοισι καὶ ἄλλοις
βαιὸν ἄπωθε κέοντο περὶ νέκυν, ὃς δ᾽ ἐνὶ μέσσοις
ῥιπῇ ὑφ᾽ Ἡφαίστου δεδμημένος οἶος ἔκειτο.
τοῦ δὲ καὶ ὀστέα πάντα περιστενάχοντες ἑταῖροι
ἄλλεγον ἐς χηλὸν πολυχανδέα τε βριαρήν τε,
ἀργυρέην, χρυσῷ δὲ διαυγέι πᾶσα κέκαστο·
καὶ τὰ μὲν ἀμβροσίῃ καὶ ἀλείφασι πάγχυ δίηναν
κοῦραι Νηρῆος μέγ᾽ Ἀχιλλέα κυδαίνουσαι,
ἐς δὲ βοῶν δημὸν θέσαν ἀθρόα ταρχύσασαι
σὺν μέλιτι λιαρῷ· μήτηρ δέ οἱ ἀμφιφορῆα
ὤπασε, τόν ῥα πάροιθε Διώνυσος πόρε δῶρον,
Ἡφαίστου κλυτὸν ἔργον ἐύφρονος· ᾧ ἔνι θῆκαν
ὀστέ᾽ Ἀχιλλῆος μεγαλήτορος· ἀμφὶ δὲ τύμβον
Ἀργεῖοι καὶ σῆμα πελώριον ἀμφεβάλοντο
ἀκτῇ ἐπ᾽ ἀκροτάτῃ παρὰ βένθεσιν Ἑλλησπόντου
Μυρμιδόνων βασιλῆα θρασὺν περικωκύοντες.
οὐδὲ μὲν ἄμβροτοι ἵπποι ἀταρβέος Αἰακίδαο
μίμνον ἀδάκρυτοι παρὰ νήεσιν, ἀλλὰ καὶ αὐτοὶ
μύροντο σφετέροιο δαϊκταμένου βασιλῆος,
οὐδ᾽ ἔθελον μογεροῖσιν ἔτ᾽ ἀνδράσιν οὐδὲ μὲν ἵπποις
μίσγεσθ᾽ Ἀργείων ὀλοὸν περὶ πένθος ἔχοντες,
ἀλλ᾽ ὑπὲρ Ὠκεανοῖο ῥοὰς καὶ Τηθύος ἄντρα

727 *μίγδην* (olim *κταμένοισιν μίγδα*) ci. *hg* 728 *ἄπωθ᾽ ἐκαίοντο MP* *ἄπωθεν ἔκειντο?* *μέσσω P* 729 *Ἡφαίστοιο v*, *-ου lw* 730 *τοῦ δὲ κεν A*, *τ. δ. κε MP*, em. *r* (*οἳ δέ οἱ* et *τοῦ δ᾽ ὦκ᾽* et *τοὔνεκεν* ol. temptavit *k*) 732 *πᾶσ᾽ ἐκέκ. v*, *πᾶσα κέκ.* k^1 in praef. k^2 733 *-τι v*, *-σι MPk* 735 *ἀθρόον ἐγχρίσασαι* (*k* ol.) l^2, *ἀθρόα πάγχυ* (vel *πάντα*) *χέασαι k*

ἀνθρώπων ἀπάτερθεν ὀιζυρῶν φορέεσθαι,
ἧχί σφεας τὸ πάροιθεν ἐγείνατο δῖα Ποδάργη
ἄμφω ἀελλόποδας Ζεφύρῳ κελάδοντι μιγεῖσα.
καί νύ κεν αἶψ' ἐτέλεσσαν, ὅσά σφισι μήδετο θυμός,
εἰ μή σφεας κατέρυξε θεῶν νόος, ὄφρ' Ἀχιλῆος
ἔλθῃ ἀπὸ Σκύροιο θοὸς πάις, ὅν ῥα καὶ αὐτοὶ
δέχνυνθ', ὁππόθ' ἵκοιτο ποτὶ στρατόν, οὕνεκ' ἄρά σφι
θέσφατα γεινομένοισι Χάους ἱεροῖο θύγατρες
Μοῖραι ἐπεκλώσαντο καὶ ἀθανάτοις περ ἐοῦσι·
πρῶτα Ποσειδάωνι δαμήμεναι, αὐτὰρ ἔπειτα
θαρσαλέῳ Πηλῆι καὶ ἀκαμάτῳ Ἀχιλῆι,
τέτρατον αὖτ' ἐπὶ τοῖσι Νεοπτολέμῳ μεγαθύμῳ,
τὸν καὶ ἐς Ἠλύσιον πεδίον μετόπισθεν ἔμελλον
Ζηνὸς ὑπ' ἐννεσίῃσι φέρειν μακάρων ἐπὶ γαῖαν.
τοὔνεκα καὶ στυγερῇ βεβολημένοι ἦτορ ἀνίῃ
μίμνον πὰρ νήεσσιν ἑὸν κατὰ θυμὸν ἄνακτα
τὸν μὲν ἀκηχέμενοι, τὸν δ' αὖ ποθέοντες ἰδέσθαι.
  καὶ τότ' ἐριγδούποιο λιπὼν ἁλὸς ὄβριμον οἶδμα
ἤλυθεν Ἐννοσίγαιος ἐπ' ἠόνας· οὐδέ μιν ἄνδρες
ἔδρακον, ἀλλὰ θεῇσι παρίστατο Νηρηΐνῃς·
καί ῥα Θέτιν προσέειπεν ἔτ' ἀχνυμένην Ἀχιλῆος·
  „ἴσχεο νῦν περὶ παιδὸς ἀπειρέσιον γοόωσα·
οὐ γὰρ ὅ γε φθιμένοισι μετέσσεται, ἀλλὰ θεοῖσιν
ὡς ἠὺς Διόνυσος ἰδὲ σθένος Ἡρακλῆος·
οὐ γάρ μιν μόρος αἰνὸς ὑπὸ ζόφον αἰὲν ἐρύξει
οὐδ' Ἀίδης, ἀλλ' αἶψα καὶ ἐς Διὸς ἵξεται αὐγάς·
καί οἱ δῶρον ἔγωγε θεουδέα νῆσον ὀπάσσω
Εὔξεινον κατὰ πόντον, ὅπῃ θεὸς ἔσσεται αἰεὶ

754 ἔλθοι *v*, -ῃ k^1 in praef. k^2 755 σφιν *v*, σφι *k*
756 γιγν. *A*, γιν. *MP*, γειν. *spk* 776 αἰὲν *v*, αἰεὶ *k*

σὸς πάις· ἀμφὶ δὲ φῦλα περικτιόνων μέγα λαῶν
κεῖνον κυδαίνοντα θυηπολίης ἐρατεινῆς
ἶσον ἐμοὶ τίσουσι· σὺ δ' ἴσχεο κωκύουσα
ἐσσυμένως καὶ μή τι χαλέπτεο πένθεϊ θυμόν.“
ὣς εἰπὼν ἐπὶ πόντον ἀπήιεν εἴκελος αὔρῃ
παρφάμενος μύθοισι Θέτιν· τῆς δ' ἐν φρεσὶ θυμὸς
βαιὸν ἀνέπνευσεν· τὰ δέ οἱ θεὸς ἐξετέλεσσεν.
Ἀργεῖοι δὲ γοῶντες ἀπήιον, ἧχι ἑκάστῳ
νῆες ἔσαν, τὰς ἦγον ἀφ' Ἑλλάδος· αἱ δ' Ἑλικῶνα
Πιερίδες νίσσοντο, καὶ εἰς ἅλα Νηρηΐναι
δῦσαν ἀναστενάχουσαι ἐύφρονα Πηλείωνα.

783 δέ om. *AMP*, add. $C^{1}rl^{2}k$, τέ spl^{1} 787 ἐὸν στενάχ. *v*, ἀναστ. *spk*

ΚΟΙΝΤΟΥ

ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Οὐδὲ μὲν Ἱππολόχοιο δαΐφρονος ὄβριμον υἷα
Τρῶες ἀδάκρυτον δειλοὶ λίπον, ἀλλὰ καὶ αὐτοὶ
Δαρδανίης προπάροιθε πύλης ἐρικυδέα φῶτα
πυρκαϊῆς καθύπερθε βάλον. τὸν δ' αὐτὸς Ἀπόλλων
ἐκ πυρὸς αἰθομένοιο μάλ' ἐσσυμένως ἀναείρας
δῶκε θοοῖς Ἀνέμοισι φέρειν Λυκίης σχεδὸν αἴης·
οἵ δέ μιν αἶψ' ἀπένεικαν ὑπ' ἄγκεα Τηλάνδροιο
χῶρον ἐς ἱμερόεντα, πέτρην δ' ἐφύπερθε βάλοντο
ἄρρηκτον· Νύμφαι δὲ περίβλυσαν ἱερὸν ὕδωρ
ἀενάου ποταμοῖο, τὸν εἰσέτι φῦλ' ἀνθρώπων
Γλαῦκον ἐπικλείουσιν ἐύρροον· ἀλλὰ τὰ μέν που
ἀθάνατοι τεύξαντο γέρας Λυκίων βασιλῆι.
Ἀργεῖοι δ' ἐρίθυμον ἀνεστενάχοντ' Ἀχιλῆα
νηυσὶ παρ' ὠκυπόροισιν· ἔτειρε δὲ πάντας ἀνίη
λευγαλέη καὶ πένθος, ἐπεί ῥά μιν ὡς ἑὸν υἷα
δίζοντ', οὐδέ τις ἦεν ἀνὰ στρατὸν εὐρὺν ἄδακρυς.
Τρῶες δ' αὖτ' ἀλίαστον ἐγήθεον εἰσορόωντες

1 *υἱὸν v*, *υἷα k* 6 *πέδον Gruebenau st*[1] *l*[1] 10 'hoc versu prima pars *M* finitur' *k* 17 *αὖ v*, *αὖτ' lslk*

τοὺς μὲν ἀκηχεμένους, τὸν δ' ἐν πυρὶ δῃωθέντα·
καί τις ἐπευχόμενος τοῖον ποτὶ μῦθον ἔειπε·
„νῦν πάντεσσιν ἄελπτον ἀπ' Οὐλύμποιο Κρονίων
ἡμῖν ὤπασε χάρμα λιλαιομένοισιν ἰδέσθαι
ἐν Τροίῃ Ἀχιλῆα δεδουπότα· τοῦ γὰρ ὀίω
βλημένου ἀμπνεύσειν Τρώων ἐρικυδέα φῦλα
αἵματος ἐξ ὀλοοῖο καὶ ἀνδροφόνου ὑσμίνης·
αἰεὶ γάρ οἱ χερσὶν ἐμαίνετο λοίγιον ἔγχος
λύθρῳ ὑπ' ἀργαλέῳ πεπαλαγμένον, οὐδέ τις ἡμέων
κείνῳ ἔναντα κιὼν ἔτ' ἐσέδρακεν Ἠριγένειαν·
νῦν δ' ὀίω φεύξεσθαι Ἀχαιῶν ὄβριμα τέκνα
νηυσὶν ἐυπρώροισι δαϊκταμένου Ἀχιλῆος·
ὡς ὄφελον μένος ἦεν ἔθ' Ἕκτορος, ὄφρ' ἅμα πάντας
Ἀργείους σφετέρῃσιν ἐνὶ κλισίῃσιν ὄλεσσεν.“
ὣς ἄρ' ἔφη Τρώων τις ἐνὶ φρεσὶ πάγχυ γεγηθώς·
ἄλλος δ' αὖθ' ἑτέρωθι πύκα φρονέων φάτο μῦθον·
„φῆσθα σὺ μὲν Δαναῶν ὀλοὸν στρατὸν ἔνδοθι νηῶν
πόντον ἐπ' ἠερόεντα πεφυζότας αἶψα νέεσθαι·
ἀλλ' οὐ μὰν δείσουσι λιλαιόμενοι μέγα χάρμης·
εἰσέτι γὰρ κρατεροί τε καὶ ὄβριμοι ἀνέρες ἄλλοι,
Τυδείδης Αἴας τε καὶ Ἀτρέος ὄβριμοι υἷες·
τοὺς ἔτ' ἐγὼ δείδοικα κατακταμένου Ἀχιλῆος·
τοὺς εἴθ' ἀργυρότοξος ἀναιρήσειεν Ἀπόλλων,

19 *μ. π. τ. v, τ. π. μ.* ex *P ego* *-πεν v, -πε* Pk^2 22 *ἤ v, τοῦ Jacobs sp l k* 25 *αἰεὶ γάρ* (sic PE^1, *δέ A*) *οἱ φρεσὶν ἦσιν ἐμ. libri, αἰεὶ γὰρ φρ. ἤ. . . . πεπαλαγμένος h, αἰεὶ γάρ οἱ χερσὶν ἐμ. tl*, duplicem versum hoc modo constituit *k*: *αἰεὶ γὰρ φρεσὶν ἦσιν ἐμήδετο [Τρωσὶν ὄλεθρον·] | αἰεὶ δ' ἐν χερσίν οἱ ἐμαίνετο λ. ἔ.* 27 *ἐς ἄντα ἰδὼν* AE^1, *ἔναντα ἰδ. Pr, ἔ. ἰὼν p, ἔναντ' ἐλθὼν t, ἔναντα κιὼν (t)kl* *ἐπέδραμεν A, ἐμέδρακεν* E^1, *ἐπέδρ. rtk, ἐσέδρ.* st^1lP 31 *ὀλέσσῃ hytl* 33 *αὖ v, αὖθ' lslkP* *-θεν AP, -θε tl, -θι spk* 37 *εἰσὶ γὰρ AP, εἰσὶν γ.* C^1ptl, *εἰσὶ γ. ἤ* k^1, *εἰσέτι γ.* k^2

καί κεν ἀνάπνευσις πολέμου καὶ ἀεικέος οἴτου
ἡμῖν εὐχομένοισιν ἐλεύσεται ἤματι κείνῳ."
ὣς ἔφατ'· ἀθάνατοι δὲ κατ' οὐρανὸν ἐστενάχοντο,
ὅσσοι ἔσαν Δαναοῖσιν ἐυσθενέεσσιν ἀρωγοί,
ἀμφὶ δὲ κρᾶτ' ἐκάλυψαν ἀπειρεσίοις νεφέεσσι
θυμὸν ἀκηχέμενοι· ἑτέρωθι δὲ γήθεον ἄλλοι,
εὐχόμενοι Τρώεσσι πέρας θυμηδὲς ὀρέξαι.
καὶ τότε δὴ Κρονίωνα κλυτὴ προσεφώνεεν Ἥρη·
„Ζεῦ πάτερ ἀργικέραυνε, τί ἢ Τρώεσσιν ἀρήγεις
κούρης ἠυκόμοιο λελασμένος, ἥν ῥα πάροιθεν
ἀντιθέῳ Πηλῆι πόρες θυμήρε' ἄκοιτιν
Πηλίου ἐν βήσσῃσι; γάμον δέ οἱ αὐτὸς ἔτευξας
ἄμβροτον, οἱ δέ νυ πάντες ἐδαινύμεθ' ἤματι κείνῳ
ἀθάνατοι καὶ πολλὰ δόμεν περικαλλέα δῶρα·
ἀλλὰ τά γ' ἐξελάθου, μέγα δ' Ἑλλάδι μήσαο πένθος."
ὣς ἄρ' ἔφη· τὴν δ' οὔ τι προσέννεπεν ἀκάματος Ζεύς·
ἧστο γὰρ ἀχνύμενος κραδίην καὶ πολλὰ μενοινῶν,
οὕνεκεν ἤμελλον Πριάμου πόλιν ἐξαλαπάξειν
Ἀργεῖοι, τοῖς αἰνὸν ἐμήδετο λοιγὸν ὀπάσσαι
ἐν πολέμῳ στονόεντι καὶ ἐν βαρυηχέι πόντῳ·
καὶ τὰ μὲν ὣς ὥρμαινε, τὰ δὴ μετόπισθε τέλεσσεν·
Ἠὼς δ' Ὠκεανοῖο βαθὺν ῥόον εἰσαφίκανε,
κυανέην δ' ἄρα γαῖαν ἐπήιεν ἄσπετος ὄρφνη,
ἦμος ἀναπνείουσι βροτοὶ βαιὸν καμάτοιο.
Ἀργεῖοι δ' ἐπὶ νηυσὶν ἐδόρπεον ἀχνύμενοί περ·
οὐ γὰρ νηδύος ἔστιν ἀπωσέμεναι μεμανίης
λιμὸν ἀταρτηρήν, ὁπόταν στέρνοισιν ἵκηται·
ἀλλ' εἶθαρ θοὰ γυῖα βαρύνεται, οὐδέ τι μῆχος

46 ἑτάροι δ' ἐγήθεον *PE*, ἑ. δέ τ' ἐγ. *A*, ἑτέρωθε δ' ἐγ. *p Sylburg t*, ἑ. δὲ γ. *hl*, ἑτέρωθι δὲ γ. *spk* 59 ἐκήδ. *A* 67 ἀταρτηρόν *v*, -ήν ex *Pego*

γίνεται, ἣν μή τις κορέσῃ θυμαλγέα νηδύν·
τοὔνεκα δαῖτ' ἐπάσαντο καὶ ἀχνύμενοι Ἀχιλῆος·
αἰνὴ γὰρ μάλα πάντας ἐποτρύνεσκεν ἀνάγκη.
τοῖσι δὲ πασσαμένοισιν ἐπήλυθε νήδυμος ὕπνος,
λῦσε δ' ἀπὸ μελέων ὀδύνας, ἐπὶ δὲ σθένος ὦρσεν.
ἀλλ' ὅτε δὴ κεφαλὰς μὲν ἐπ' ἀντολίην ἔχον ἄρκτοι,
δέγμεναι ἠελίοιο θοὸν φάος, ἔγρετο δ' Ἠώς,
δὴ τότ' ἀνέγρετο λαὸς ἐυσθενέων Ἀργείων
πορφύρων Τρώεσσι φόνον καὶ κῆρ' ἀίδηλον.
κίνυτο δ' ἠύτε πόντος ἀπείριτος Ἰκαρίοιο
ἠὲ καὶ αὐαλέον βαθὺ λήιον, ὁππόθ' ἵκηται
ῥιπὴ ἀπειρεσίη νεφεληγερέος Ζεφύροιο·
ὣς ἄρα κίνυτο λαὸς ἐπ' ἠόσιν Ἑλλησπόντου.
καὶ τότε Τυδέος υἱὸς ἐελδομένοισιν ἔειπεν·
„ὦ φίλοι, εἰ ἐτεόν γε μενεπτόλεμοι πελόμεσθα,
νῦν μᾶλλον στυγεροῖσι μαχώμεθα δυσμενέεσσι,
μή πως θαρσήσωσιν Ἀχιλλέος οὐκέτ' ἐόντος·
ἀλλ' ἄγε, σὺν τεύχεσσι καὶ ἅρμασιν ἠδὲ καὶ ἵπποις
ἴομεν ἀμφὶ πόληα· πόνος δ' ἄρα κῦδος ὀρέξει."
ὣς ἔφατ' ἐν Δαναοῖσιν· ἀμείβετο δ' ὄβριμος Αἴας·
„Τυδείδη, σὺ μὲν ἐσθλὰ καὶ οὐκ ἀνεμώλια βάζεις
ὀτρύνων Τρώεσσιν ἐυπτολέμοισι μάχεσθαι
ἀγχεμάχους Δαναούς, οἵ περ μεμάασι καὶ αὐτοί·
ἀλλὰ χρὴ ἐν νήεσσι μένειν, ἄχρις ἐξ ἁλὸς ἔλθῃ
δῖα Θέτις· μάλα γάρ οἱ ἐνὶ φρεσὶ μήδεται ἦτορ
υἱέος ἀμφὶ τάφῳ περικαλλέα θεῖναι ἄεθλα·

79 ἠδὲ *v*, ἠὲ *st*[1]*splk* 84 -σιν *A*, -σι *Ptlk* 85 post h. v. in *C*[1] legitur ἀντίον ἐλθέμεναι πολεμίζειν μαιμώοντες, quem versum omnes edd. omiserunt; *k* solus eius loco lacunae signa pos. [velut ἐς πεδίον προμολεῖν καὶ τείχεος ἔκτοθι μίμνειν] 93 φρεσὶν ἦδ. *AP*, φρ. ἔλδεται *spl*, φρεσὶ μήδ. *st*[1]*bk*

ὡς χθιζή μοι ἔειπεν, ὅτ' εἰς ἁλὸς ἤιε βένθος,
νόσφ' ἄλλων Δαναῶν, καί ἑ σχεδὸν ἔλπομαι εἶναι
ἐσσυμένην. Τρῶες δέ, καὶ εἰ θάνε Πηλέος υἱός,
οὐ μάλα θαρσήσουσιν ἔτι ζώοντος ἐμεῖο
καὶ σέθεν ἠδὲ καὶ αὐτοῦ ἀμύμονος Ἀτρείδαο."
ὣς ἄρ' ἔφη Τελαμῶνος ἐὺς πάις, οὐδέ τι ᾔδη,
ὅττι ῥά οἱ μετ' ἄεθλα κακὸν μόρον ἔντυε δαίμων,
ἀργαλέον· τὸν δ' αὖθις ἀμείβετο Τυδέος υἱός·
„ὦ φίλος, εἰ ἐτεὸν Θέτις ἔρχεται ἤματι τῷδε
υἱέος ἀμφὶ τάφῳ περικαλλέα θεῖναι ἄεθλα,
πὰρ νήεσσι μένωμεν ἐρυκανόωντε καὶ ἄλλους·
καὶ γὰρ δὴ μακάρεσσι θεοῖς πείθεσθαι ἔοικε·
καὶ δ' ἄλλως Ἀχιλῆι καὶ ἀθανάτων ἀέκητι
αὐτοὶ φραζώμεσθα δόμεν θυμηδέα τιμήν."
ὣς φάτο Τυδείδαο δαΐφρονος ὄβριμον ἦτορ.
καὶ τότ' ἄρ' ἐκ πόντοιο κίεν Πηλῆος ἄκοιτις,
αὔρῃ ὑπηοίῃ ἐναλίγκιος· αἶψα δ' ἵκανεν
Ἀργείων ἐς ὅμιλον, ὅπῃ μεμαῶτες ἔμιμνον,
οἱ μὲν ἀεθλεύσοντες ἀπειρεσίῳ ἐν ἀγῶνι,
οἱ δὲ φρένας καὶ θυμὸν ἀεθλητῆρσιν ἰῆναι.
τοῖσι δ' ἅμ' ἀγρομένοισι Θέτις κυανοκρήδεμνος
θῆκεν ἄεθλα φέρουσα καὶ ὀτρύνεσκεν Ἀχαιοὺς
αὐτίκ' ἀεθλεύειν· τοὶ δ' ἀθανάτῃ πεπίθοντο.
πρῶτος δ' ἐν μέσσοισιν ἀνίστατο Νηλέος υἱός,
οὐ μὲν πυγμαχίῃσι λιλαιόμενος πονέεσθαι

99 σοῖο *A*, σευ *rtl*[1], σέθεν *Pkl*[2] ἠδὲ in plerisque libris omissum servavit *P* post h. v. in *PV* al. haec verba leguntur ἠδὲ Τελαμωνιάδαο μέγα (μέτα *P*) σθένος ἔκτοσθι (ἔκτοθι *P*) μίμνειν, quae verba iure neglexerunt *tl* lacunae signa pos. *k* velut [ἐς πεδίον προμολεῖν καὶ τείχεος] ἔκτοθι μίμνειν 100 ᾔδει *P* 101 κακὸς *hytl*[1] 102 -λέος *rsp*, -λέως *p* 111 -κιον *k*

οὔτε παλαισμοσύνῃ πολυτειρέι· τοῦ γὰρ ὕπερθε
γυῖα καὶ ἅψεα πάντα λυγρὸν κατεδάμνατο γῆρας·
ἀλλά οἱ ἐν στέρνοισιν ἔτ' ἔμπεδος ἔπλετο θυμὸς
καὶ νόος, οὐδέ τις ἄλλος ἐριδμαίνεσκεν Ἀχαιῶν
κείνῳ, ὅτ' εἰν ἀγορῇ ἐπέων πέρι δῆρις ἐτύχθη·
τῷ καὶ Λαέρταο κλυτὸς πάις εἵνεκα μύθων
εἰν ἀγορῇ ὑπόεικε, καὶ ὃς βασιλεύτατος ἦεν
πάντων Ἀργείων, μέγ' ἐυμμελίης Ἀγαμέμνων.
τοὔνεκ' ἐνὶ μέσσοισιν ἐύφρονα Νηρηίνην
ὕμνεεν, ὡς πάσῃσι μετέπρεπεν εἰναλίῃσιν
εἵνεκ' ἐυφροσύνης τε καὶ εἴδεος· ἡ δ' ἀίουσα
τέρπεθ'. ὁ δ' ἱμερόεντα γάμον Πηλῆος ἔνισπε,
τόν ῥά οἱ ἀθάνατοι μάκαρες συνετεκτήναντο
Πηλίου ἀμφὶ κάρηνα, καὶ ἄμβροτον ὡς ἐπάσαντο
δαῖτα παρ' εἰλαπίνῃσιν, ὅτ' εἴδατα θεῖα φέρουσαι
χερσὶν ὑπ' ἀμβροσίῃσι θοαὶ παρενήνεον Ὧραι
χρυσείοις κανέοισι, Θέμις δ' ἄρα καγχαλόωσα
ἀργυρέας ἐτίταινεν ἐπισπέρχουσα τραπέζας,
πῦρ δ' Ἥφαιστος ἔκαιεν ἀκήρατον, ἀμφὶ δὲ Νύμφαι
ἀμβροσίην ἐκέραιον ἐνὶ χρυσέοισι κυπέλλοις,
αἱ δ' ἄρ' ἐς ὀρχηθμὸν Χάριτες τράπεν ἱμερόεντα,
Μοῦσαι δ' ἐς μολπήν, ἐπετέρπετο δ' οὔρεα πάντα
καὶ ποταμοὶ καὶ θῆρες, ἰαίνετο δ' ἄφθιτος αἰθὴρ
ἄντρά τε Χείρωνος περικαλλέα καὶ θεοὶ αὐτοί.
  καὶ τὰ μὲν ἂρ Νηλῆος ἐὺς πάις Ἀργείοισι
πάντα μάλ' ἱεμένοις κατελέξατο· τοὶ δ' ἀίοντες

120 -θεν *P* 128 τοὔνεκ' ἐν *A*, τοὔνεκεν ἐν *scP*, τοὔνεκ' ἐνὶ *rtlk* 130 τε omiss. add. *sc*st^1*spk* 135 θεαὶ *v*, θοαὶ ex *Pego* -νήεον k^1 in praef. k^2 139 ἐκέρεον *AP*, -αον E^1, -αιρον *rtl*, -αιον *spk* -οις κυπέλλοισιν *P*E^1 (-έλοισιν *A*), em. *r* 140 τράπον *AP*, -εν *sctlk*

τέρπονθ᾽· ὃς δ᾽ Ἀχιλῆος ἀμύμονος ἄφθιτα ἔργα
μέλπε μέσῳ ἐν ἀγῶνι· πολὺς δ᾽ ἀμφίαχε λαὸς
ἀσπασίως. ὁ δ᾽ ἄρ᾽ ἔνθεν ἑλὼν ἐρικυδέα φῶτα
ἐκπάγλως κύδαινεν ἀρηρεμένοις ἐπέεσσι,
δώδεχ᾽ ὅπως διέπερσε κατὰ πλόον ἄστεα φωτῶν,
ἕνδεκα δ᾽ αὖ κατὰ γαῖαν ἀπείριτον, ὡς δ᾽ ἐδάιξε
Τήλεφον ἠδὲ βίην ἐρικυδέος Ἠετίωνος
Θήβης ἐν δαπέδοισι, καὶ ὡς Κύκνον ἔκτανε δουρί,
υἷα Ποσειδάωνος, ἰδ᾽ ἀντίθεον Πολύδωρον
καὶ Τρωίλον θηητὸν ἀμύμονά τ᾽ Ἀστεροπαῖον,
αἵματι δ᾽ ὡς ἐρύθηνεν ἅδην ποταμοῖο ῥέεθρα
Ξάνθου καὶ νεκύεσσιν ἀπειρεσίοισι κάλυψε
πάντα ῥόον κελάδοντα, Λυκάονος ὁππότε θυμὸν
νοσφίσατ᾽ ἐκ μελέων ποταμοῦ σχεδὸν ἠχήεντος,
Ἕκτορά θ᾽ ὡς ἐδάμασσε, καὶ ὡς ἕλε Πενθεσίλειαν
ἠδὲ καὶ υἱέα δῖον ἐυθρόνου Ἠριγενείης.
καὶ τὰ μὲν Ἀργείοισιν ἐπισταμένοισι καὶ αὐτοῖς
μέλπε, καὶ ὡς ἐτέτυκτο πελώριος, ὥς τέ οἱ οὔ τις
ἔσθενε δηριάασθαι ἐναντίον, οὔτ᾽ ἐν ἀέθλοις
αἰζηῶν, ὅτε ποσσὶ νέοι περιδηριόωνται,
οὐδὲ μὲν ἱππασίῃ, οὐδὲ σταδίῃ ἐνὶ χάρμῃ,
κάλλεΐ θ᾽ ὡς Δαναοὺς μέγ᾽ ὑπείρεχεν, ὥς τέ οἱ ἀλκὴ
ἔπλετ᾽ ἀπειρεσίη, ὁπότ᾽ Ἄρεος ἔσσυτο δῆρις.
εὔχετο δ᾽ ἀθανάτοισι καὶ υἱέα τοῖον ἰδέσθαι
κείνου ἀπὸ Σκύροιο πολυκλύστοιο μολόντα.
Ἀργεῖοι δ᾽ ἄρα πᾶσιν ἐπευφήμησαν ἔπεσσιν
αὐτή τ᾽ ἀργυρόπεζα Θέτις, καί οἱ πόρεν ἵππους

146 ὅσσ᾽ *Atsp*, ὅσ᾽ *P*, ὃς *E*¹, ὡς δ᾽ *bl*¹, ὃς δ᾽ *rkl*² 148 ἔχων *AP*, ἑλὼν em. *r* 149 -σιν *v*, -σι *kP* 151 ὡς ἐδ. *v*, ὡς δ᾽ ἐδ. *kl*² (τ᾽ *pl*¹) -ξεν *v*, -ξε *kP* 157 -ψεν *v*, -ψε *kP* 171 πάντες *lb*

ὠκύποδας, τοὺς πρόσθεν ἐυμμελίῃ Ἀχιλῆι
Τήλεφος ὤπασε δῶρον ἐπὶ προχοῇσι Καΐκου,
εὖτέ ἑ μοχθίζοντα κακῷ περὶ ἕλκεϊ θυμὸν
ἠκέσατ᾽ ἐγχείῃ, τῇ μιν βάλε δηριόωντα
αὐτὸς ἔσω μηροῖο, διήλασε δ᾽ ὄβριμον αἰχμήν.
καὶ τοὺς μὲν Νέστωρ Νηλήιος οἷς ἑτάροισιν
ὤπασεν· οἱ δ᾽ ἐς νῆας ἄγον μέγα κυδαίνοντες
ἀντίθεον βασιλῆα. Θέτις δ᾽ ἐς μέσσον ἀγῶνα
θῆκεν ἄρ᾽ ἀμφὶ δρόμοιο βόας δέκα· τῇσι δὲ πάσαις
καλαὶ πόρτιες ἦσαν ὑπὸ μαζοῖσιν ἰοῦσαι·
τάς ποτε Πηλείδαο θρασὺ σθένος ἀκαμάτοιο
ἤλασεν ἐξ Ἴδης μεγάλῳ περὶ δουρὶ πεποιθώς.
τῶν πέρι δοιοὶ ἀνέσταν ἐελδόμενοι μέγα νίκης·
Τεῦκρος μὲν πρῶτος Τελαμώνιος ἠδὲ καὶ Αἴας,
Αἴας, ὅς τε Λοκροῖσι μετέπρεπεν ἰοβόλοισιν.
ἀμφὶ δ᾽ ἄρα ζώσαντο θοῶς περὶ μήδεα χερσὶ
φάρεα, πάντα δ᾽ ἔνερθεν, ἅ περ θέμις, ἐκρύψαντο
αἰδόμενοι Πηλῆος ἐυσθενέος παράκοιτιν
ἄλλας τ᾽ εἰναλίας Νηρηίδας, ὅσσαι ἅμ᾽ αὐτῇ
ἤλυθον Ἀργείων κρατεροὺς ἐσιδέσθαι ἀέθλους.
τοῖσι δὲ σημαίνεσκε δρόμου τέλος ὠκυτάτοιο
Ἀτρείδης, ὃς πᾶσι μετ᾽ Ἀργείοισιν ἄνασσε.
τοὺς δ᾽ Ἔρις ὀτρύνεσκεν ἐπήρατος· οἱ δ᾽ ἀπὸ νύσσης
καρπαλίμως οἴμησαν ἐοικότες ἰρήκεσσι·
τῶν δὲ καὶ ἀμφήριστος ἔην δρόμος· οἱ δ᾽ ἑκάτερθεν
Ἀργεῖοι λεύσσοντες ἐπίαχον ἄλλυδις ἄλλος.

181 -σῃς *v*, -σαις *C*[1]*k* 184 περὶ *v* (πέρι *st*[2]), ἐπὶ *k* 185 οἵδε *v*, οἵδ᾽ ἐπανέστ. *g*, δοιοὶ *st*[1]*lk* 186 ἠδὲ *v*, ἂν δὲ *k* 188 -σὶν *v*, -σὶ *kP* 195 ὠτρ. *v*, ὀτρ. *kP* ἀκήρατος *v*, ἀπείριτος *st*[1], ἀκήριος (*k*)*hw*, ἐπήρατος *k* 196 -σιν *v*, -σι *kP* 197 τῶν δὲ μέγ᾽ vel μάλ᾽ vel τῷ ῥα καὶ ol. tentavit *k*

ἀλλ' ὅτε τέρματ' ἔμελλον ἱκανέμεναι μεμαῶτες,
δὴ τότε που Τεύκροιο μένος καὶ γυῖα πέδησαν
ἀθάνατοι· τὸν γάρ ῥα θεὸς βάλεν ἠέ τις ἄτη
ὄζον ἐς ἀλγινόεντα βαθυρρίζοιο μυρίκης·
τῷ δ' ἄρ' ἐνιχριμφθεὶς χαμάδις πέσε· τοῦ δ' ἀλεγεινῶς
ἄκρον ἀνεγνάμφθη λαιοῦ ποδός, αἱ δ' ὑπανέσταν
οἰδαλέαι ἑκάτερθε περὶ φλέβες. οἱ δ' ἰάχησαν
Ἀργεῖοι κατ' ἀγῶνα· παρήιξεν δέ μιν Αἴας
γηθόσυνος· λαοὶ δὲ συνέδραμον, οἵ οἱ ἕποντο,
Λοκροί· αἶψα δὲ χάρμα περὶ φρένας ἤλυθε πάντων,
ἐκ δ' ἔλασαν μετ' ἀγῶνα νεῶν βόας, ὄφρα νέμωνται.
Τεῦκρον δ' ἐσσυμένως ἕταροι περιποιπνύοντες
ἦγον ἐπισκάζοντα· θοῶς δέ οἱ ἰητῆρες
ἐκ ποδὸς αἷμ' ἀφέλοντο, θέσαν δ' ἐφύπερθε μοτάων
εἴρι' ἄδην δεύσαντες ἀλείφασιν· ἀμφὶ δὲ μίτρην
δήσαντ' ἐνδυκέως, ὀλοὰς δ' ἐκέδασσαν ἀνίας.
  ἄλλοι δ' αὖθ' ἑτέρωθι **παλαισμοσύνης** ὑπερόπλου
καρπαλίμως μνώοντο δύω κρατερόφρονε φῶτε,
Τυδέος ἱπποδάμοιο πάις καὶ ὑπέρβιος Αἴας,
οἵ ῥ' ἴσαν ἐς μέσσον· θάμβος δ' ἔχεν ἀθρήσαντας
Ἀργείους· ἄμφω γὰρ ἔσαν μακάρεσσιν ὁμοῖοι.
σὺν δ' ἔβαλον θήρεσσιν ἐοικότες, οἵ τ' ἐν ὄρεσσιν
ἀμφ' ἐλάφοιο μάχονται ἐδητύος ἰσχανόωντες,
ἶσον δ' ἀμφοτέροισι πέλει σθένος, οὐδέ τις αὐτῶν
λείπεται οὐδ' ἠβαιὸν ἀταρτηρῶν μάλ' ἐόντων·
ὣς οἵ γ' ἶσον ἔχον κρατερὸν μένος. ὀψὲ δ' ἄρ' Αἴας

209 ἔλασαν *v*, -σεν *st*², ἔλαβον *ego* antehac μετὰ *v*, κατὰ *k* νῆας ἄγειν *v*, *v.* ἀγοῦ *k*, *v.* ἄγων *st*², κατ' ἀγῶνα νεῶν *Linsenbarth* 211 ἔτι σκ. *st*¹ 213 εἴρια συνδεύσ. *v*, εἴρι' ἄδην δ. *Jacobs k* 215 ἄλλω *v*, -οι ex *PVego* -θεν *A*, -θε *rtlP*, -θι *spk*

Τυδείδην συνέμαρψεν ὑπὸ στιβαρῇσι χέρεσσιν
ἆξαι ἐπειγόμενος· ὁ δ' ἄρ' ἰδρείῃ τε καὶ ἀλκῇ
πλευρὸν ὑποκλίνας Τελαμώνιον ὄβριμον υἷα
ἐσσυμένως ἀνάειρεν ὑπὸ μυῶνος ἐρείσας
ὦμον, καὶ ποδὶ μηρὸν ὑποπλίξας ἑτέρωσε
κάββαλεν ὄβριμον ἄνδρα κατὰ χθονός· ἀμφὶ δ' ἄρ' αὐτῷ
ἕζετο· τοὶ δ' ὁμάδησαν. ὁ δ' ἀσχαλόων ἐνὶ θυμῷ
Αἴας ὀβριμόθυμος ἀνίστατο δεύτερον αὖθις
ὁρμαίνων ἐς δῆριν ἀμείλιχον· αἶψα δὲ χερσὶ
σμερδαλέῃσι κόνιν κατεχεύατο καὶ μέγα θύων
Τυδείδην ἐς μέσσον ἀύτεεν· ὃς δέ μιν οὔ τι
ταρβήσας οἴμησε καταντίον· ἀμφὶ δὲ πολλὴ
ποσσὶν ὑπ' ἀμφοτέρων κόνις ὤρνυτο· τοὶ δ' ἑκάτερθε
ταῦροι ὅπως συνόρουσαν ἀταρβέες, οἵ τ' ἐν ὄρεσσι
θαρσαλέου μένεος πειρώμενοι εἰς ἓν ἵκωνται
ποσσὶ κονιόμενοι, περὶ δὲ βρομέουσι κολῶναι
βρυχῇ ὑπ' ἀμφοτέρων, τοὶ δ' ἄσχετα μαιμώωντες
κράατα συμφορέουσιν ἀτειρέα καὶ μέγα κάρτος
δηρὸν ἐπ' ἀλλήλοισι πονεύμενοι, ἐκ δὲ μόγοιο
λάβρον ἀνασθμαίνοντες· ἀμείλιχα δηριόωνται,
πουλὺς δ' ἐκ στομάτων χαμάδις καταχεύεται ἀφρός·
ὣς οἵ γε στιβαρῇσιν ἄδην πονέοντο χέρεσσιν.
ἀμφοτέρων δ' ἄρα νῶτα καὶ αὐχένες ἀλκήεντες
χερσὶ περικτυπέοντο τετριγότες, εὖτ' ἐν ὄρεσσι

225 *ἐπὶ AP*, *ἐνὶ hytl*, *ὑπὸ (t)spk* 226 *ἄγξαι ptl* 228 *ὑπὲρ v*, *ὑπὸ k* 229 *-πλήξας v*, *-πλίξας lbhk* 230 *καὶ βάλεν* E^1P 232 *-τις v*, *-θις k* 237 *-θεν v*, *-θε k* 240 *βρεμέουσι A*, *βρεμέθουσι P*, *βρομέουσι* C^1r 241 *βρυχμῇ v*, *βρυχῇ Schneider* k^1 in praef. k^2 *-αῶτες A*, *-ώοντες* E^1rtl, *-ώωντες kP* 243 *θυμὸν A* (in *P* omissum a Parrhasio additum), *-ῷ ptl*, *δεινὸν k* ol., *δηρὸν* k^1k^2 244 *δηιόωντ. v*, *δηρ. spk* 245 *-εχεύατο v*, *-χεύεται* kl^2

δένδρε' ἐπ' ἀλλήλοισι βαλόντ' ἐριθηλέας ὄζους.
πολλάκι δ' Αἴαντος μεγάλου στιβαροὺς ὑπὸ μηροὺς
κάββαλε Τυδείδης κρατερὰς χέρας, ἀλλά μιν οὔ τι
ἂψ ὦσαι δύνατο στιβαροῖς ποσὶν ἐμβεβαῶτα·
τὸν δ' Αἴας καθύπερθεν ἐπεσσύμενος ποτὶ γαῖαν
ἐξ ὤμων ἐτίνασσε κατὰ χθονὸς οὖδας ἐρείδων·
ἄλλοτε δ' ἀλλοίως ὑπὸ χείρεσι δηριόωντο.
λαοὶ δ' ἔνθα καὶ ἔνθα μέγ' ἴαχον εἰσορόωντες,
οἱ μὲν Τυδείδην ἐρικυδέα θαρσύνοντες,
οἱ δὲ βίην Αἴαντος. ὁ δ' ἄλκιμον ἄνδρα τινάξας
ἐξ ὤμων ἑκάτερθε, βαλὼν δ' ὑπὸ νηδύα χεῖρας,
ἐσσυμένως ἐφέηκε κατὰ χθονὸς ἠύτε πέτρην
ἀλκῇ ὕπο σθεναρῇ· μέγα δ' ἴαχε Τρώιον οὖδας
Τυδείδαο πεσόντος· ἐπηΰτησε δὲ λαός.
ἀλλὰ καὶ ὣς ἀνόρουσεν ἐελδόμενος πονέεσθαι
τὸ τρίτον ἀμφ' Αἴαντα πελώριον· ἀλλ' ἄρα Νέστωρ
ἔστη ἐνὶ μέσσοισι καὶ ἀμφοτέροισι μετηύδα·
„ἴσχεσθ', ἀγλαὰ τέκνα, παλαισμοσύνης ὑπερόπλου·
ἴδμεν γὰρ δὴ πάντες, ὅσον προφερέστατοί ἐστε
'Αργείων μεγάλοιο καταφθιμένου 'Αχιλῆος."
ὣς φάτο· τοὶ δ' ἴσχοντο πονεύμενοι· ἐκ δὲ μετώπων
χερσὶν ἄδην μόρξαντο κατεσσύμενόν περ ἱδρῶτα·
κύσσαν δ' ἀλλήλους, φιλότητι δὲ δῆριν ἔθεντο.
τοῖς δ' ἄρα ληιάδας πίσυρας πόρε πότνα θεάων,
δῖα Θέτις· τὰς δ' αὐτοὶ ἐθηήσαντο ἰδόντες
ἥρωες κρατεροὶ καὶ ἀταρβέες, οὕνεκα πασέων

249 *βάλοντ' AP, βάλωντ' rtl, βαλόντ' pspk* 253 *-μενον APrsp, -μενος ptlk* 255 *δηϊόωνται A, δηόωντο P, δηριό. tsplk* 259 *χεῖρα v, -ας* ex *Pego* 265 *ἐν v, ἐνὶ st¹splk* 267 *-τεροί v, προφεροί* (sed a m. rec. add. *προφερέστεροι*) *P, -τατοί ego* 269 *ἔσχ. v, ἴσχ. kP*

ληιάδων προφέρεσκον ἐυφροσύνῃ τε καὶ ἔργοις
νόσφιν ἐυπλοκάμου Βρισηίδος, ἅς ποτ' Ἀχιλλεὺς
ληίσατ' ἐκ Λέσβοιο, νόον δ' ἐπετέρπετο τῇσι·
καί ῥ' ἡ μὲν δόρποιο πέλεν ταμίη καὶ ἐδωδῆς,
ἡ δ' ἄρα δαινυμένοισι παροινοχόει μέθυ λαρόν,
ἄλλη δ' αὖ μετὰ δόρπον ὕδωρ ἐπέχευε χέρεσσιν,
ἡ δ' ἑτέρη ἀπὸ δαιτὸς ἀεὶ φορέεσκε τραπέζας.
τὰς δ' ἄρα Τυδείδαο μένος καὶ ὑπέρβιος Αἴας
δασσάμενοι προέηκαν ἐυπρώρους ἐπὶ νῆας.

ἀμφὶ δὲ πυγμαχίης πρῶτον σθένος Ἰδομενῆος
ὤρνυτ', ἐπεί οἱ θυμὸς ἴδρις πέλε παντὸς ἀέθλου.
τῷ δ' οὔ τις κατέναντα κίεν· μάλα γάρ μιν ἅπαντες
αἰδόμενοι ὑπόειξαν, ἐπεί ῥα γεραίτερος ἦεν.
τῷ δ' ἄρ' ἐνὶ μέσσοισι Θέτις πόρεν ἅρμα καὶ ἵππους
ὠκύποδας, τοὺς πρόσθε βίῃ μεγάλου Πατρόκλοιο
ἤλασεν ἐκ Τρώων Σαρπηδόνα δῖον ὀλέσσας·
καὶ τοὺς μὲν θεράποντι πόρεν ποτὶ νῆας ἄγεσθαι
Ἰδομενεύς· αὐτὸς δὲ κλυτῷ ἐν ἀγῶνι μένεσκε. —
Φοῖνιξ δ' Ἀργείοισιν ἐυσθενέεσσι μετηύδα·

„νῦν μὲν ἄρ' Ἰδομενῆι θεοὶ δόσαν ἐσθλὸν ἄεθλον
αὔτως, οὔ τι καμόντι βίῃ καὶ χερσὶ καὶ ὤμοις,
ἀλλ' ἄρ' ἀναιμωτὶ προγενέστερον ἄνδρα τίοντες·
ἀλλ' ἄλλον, νέοι ἄνδρες, ἐπευτύνεσθαι ἄεθλον
χεῖρας ἐπ' ἀλλήλοισι δαήμονας ἰθύνοντες
πυγμαχίης, καὶ θυμὸν ἰήνατε Πηλείωνος.“

277 *νόος APsp* (vel *νόῳ sp*), *νόον rthlk* *δέγ' ἐτέρπ. A* (*δέ γ' rt*), *δ' ἐτέρπ. P*, *δέ τε τέρπ.* hl^1, *δ' ἐπετ.* C^1spl^2k 280 *-σι v*, *-σιν kP* 281 *τράπεζαν v*, *τραπέζας* ex *Pego* 284 *ὦρτο* AE^1P, *πρῶτον ptlk* 287 *ἐπεὶ προγενέστερος* ci. *n* 295 *οὔπω κάμνοντι A*, *οὕτω κ. P*, *οὐ κ. rtl*, *οὔτι καμόντι* C^1k 297 *ἄλλοι v*, *ἄλλον hk* *-σθε AP*, *-σθον h*, *-σθαι* E^1k *ἀέθλων AP*, *ἄεθλον* E^1rtlk 298 *ὑπ' AP*, *ἐπ'* em. *r*

ὣς φάτο· τοὶ δ' αἰόντες ἐπέδρακον ἀλλήλοισιν·
ἦκα δὲ πάντες ἔμιμνον ἀναινόμενοι τὸν ἄεθλον,
εἰ μή σφεας ἐνένιπεν ἀγαυοῦ Νηλέος υἱός·
„ὦ φίλοι, οὔ τι ἔοικε δαήμονας ἄνδρας ἀυτῆς
πυγμαχίην ἀλέασθαι ἐπήρατον, ἥ τε νέοισι
τερπωλὴ πέλεται, καμάτῳ δ' ἐπὶ κῦδος ἀγινεῖ·
ὡς εἴθ' ἐν γυίοισιν ἐμοῖς ἔτι κάρτος ἔκειτο,
οἷον ὅτ' ἀντίθεον Πελίην κατεθάπτομεν ἡμεῖς,
αὐτὸς ἐγὼ καὶ Ἄκαστος, ἀνεψιοὶ εἰς ἓν ἰόντες,
ὁππότ' ἄρ' ἀμφήριστος ἐγὼ Πολυδεύκεϊ δίῳ
πυγμαχίῃ γενόμην, ἔλαβον δέ οἱ ἶσον ἄεθλον·
ἐν δὲ παλαισμοσύνῃ με καὶ ὁ κρατερώτατος ἄλλων
Ἀγκαῖος θάμβησε καὶ ἔτρεσεν, οὐδέ μοι ἔτλη
ἀντίον ἐλθέμεναι νίκης ὕπερ, οὕνεκ' ἄρ' αὐτὸν
ἤδη που τὸ πάροιθε παρ' ἀγχεμάχοισιν Ἐπειοῖς
νίκησ' ἠὺν ἐόντα, πεσὼν δ' ἐκονίσατο νῶτα
σῆμα πάρα φθιμένου Ἀμαρυγκέος, ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλοὶ θηήσαντο βίην καὶ κάρτος ἐμεῖο·
τῷ νύ μοι οὐκέτι κεῖνος ἐναντίον ἤρατο χεῖρας
καὶ κρατερός περ ἐών, ἔλαβον δ' ἀκόνιτος ἄεθλον.
νῦν δέ με γῆρας ἔπεισι καὶ ἄλγεα· τοὔνεκ' ἄνωγα
ὑμέας, οἷσιν ἔοικεν, ἀέθλια χερσὶν ἀρέσθαι·
κῦδος γὰρ νέῳ ἀνδρὶ φέρειν ἀπ' ἀγῶνος ἄεθλον."
ὣς φαμένοιο γέροντος ἀνίστατο θαρσαλέος φώς,
υἱὸς ὑπερθύμοιο καὶ ἀντιθέου Πανοπῆος,
ὅς τε καὶ ἵππον ἔτευξε κακὸν Πριάμοιο πόληι

300 ἐσέδρ. *A*, ἐπέδρ. *PC*¹*rtlk* 302 ἔνισπεν *AP*, ἐνένισπ. *rtl*, ἐνένιπεν *k* 306 ὣς *v*, ὡς *ego* 311 -τερος *PVt*, -τατος *Asplk* 316 παρὰ *v*, πάρα *lk*, περι *P* 317 πολλὴν *AP*, -οὶ *C*¹*r* 321 χερσὶ φέρεσθαι *v*, -ὶν ἀρ. *spk*

ὕστερον· ἀλλ' οὔ οἵ τις ἐτόλμα ἐγγὺς ἱκέσθαι
εἵνεκα πυγμαχίης· πολέμου δ' οὐ πάγχυ δαήμων
ἔπλετο λευγαλέου, ὁπότ' Ἄρεος ἔσσυτο δῆρις.
καί κεν ἀνιδρωτὶ περικαλλέα δῖος Ἐπειὸς
ἤμελλεν τότ' ἄεθλα φέρειν ποτὶ νῆας Ἀχαιῶν,
εἰ μή οἱ σχεδὸν ἦλθεν ἀγαυοῦ Θησέος υἱός,
αἰχμητὴς Ἀκάμας, μέγ' ἐνὶ φρεσὶ κάρτος ἀέξων,
ἀζαλέους ἱμάντας ἔχων περὶ χερσὶ θοῇσι,
τούς οἱ ἐπισταμένως Εὐηνορίδης Ἀγέλαος
ἀμφέβαλεν παλάμῃσιν ἐποτρύνων βασιλῆα.
ὣς δ' αὕτως ἕταροι Πανοπηιάδαο ἄνακτος
θαρσύνεσκον Ἐπειόν· ὁ δ' ἐν μέσσοισι λέων ὣς
εἱστήκει περὶ χερσὶν ἔχων βοὸς ἶφι δαμέντος
ῥινοὺς ἀζαλέας. μέγα δ' ἴαχον ἔνθα καὶ ἔνθα
λαοὶ ἐποτρύνοντες ἐυσθενέων μένος ἀνδρῶν
μῖξαι ἐν αἵματι χεῖρας ἀτειρέας· οἱ δὲ καὶ αὐτοὶ
ἔσταν μαιμώωντες ἐνὶ ξυνοχῇσιν ἀγῶνος,
ἄμφω χεῖρας ἑὰς πειρώμενοι, εἴ περ ἔασιν
ὡς πρὶν ἐυτρόχαλοι, μηδ' ἐκ πολέμου βαρύθοιεν.
αἶψα δ' ἄρ' ἀλλήλοισι καταντία χεῖρας ἄειραν
ταρφέα παπταίνοντες, ἐπ' ἀκροτάτοις δὲ πόδεσσι
βαίνοντες· κατὰ βαιὸν ἀεὶ γόνυ γουνὸς ἄμειβον
ἀλλήλων ἐπὶ δηρὸν ἀλευόμενοι μέγα κάρτος.
σὺν δ' ἔβαλον νεφέλῃσιν ἐοικότες αἰψηρῇσιν,
αἵ τ' ἀνέμων ῥιπῇσιν ἐπ' ἀλλήλῃσι θοροῦσαι
ἀστεροπὴν προϊᾶσι, μέγας δ' ὀροθύνεται αἰθὴρ

326 οὔ *APk*, οὔτι *E*[1], οὐθ' *tl*, οὐδ' *st*[1] ἐτόλμα ἔνεγγυς *v*, ἐτόλμαεν ἐγγὺς *P*, ἐτόλμα ἐγγὺς *hlbst*[1]*lk* 332 μέγα δ' ἐν φ. . . ἔχων *AP*, μ. δ' ἐν φ. . . ἔχεν *ptl* (ἕλεν *st*[1]), μέγ' ἐνὶ φ. . . ἔχων *k* 340 εὐρυσθ. *A*, ἐρισθ. *k* ol., ἐυσθ. *rtlspkP* 344 ὥς ποτ' *v*, ὥσπερ *V*, ὡς πρὶν (*k* ol.) ex *Pego* 347 ἑὸν *v*, ἀεὶ *k* 350 ἀνέμον *V*

θηγομένων νεφέων, βαρὺ δὲ κτυπέουσιν ἄελλαι·
ὣς τῶν ἀζαλέῃσι περικτυπέοντο γένεια
ῥινοῖς· αἷμα δὲ πουλὺ κατέρρεεν, ἐκ δὲ μετώπων
ἱδρὼς αἱματόεις θαλερὰς ἐρύθαινε παρειάς.
οἱ δ' ἄμοτον πονέοντο μεμαότες· οὐδ' ἄρ' Ἐπειὸς
λῆγεν, ἐπέσσυτο δ' αἰὲν ἑῷ περὶ κάρτεϊ θύων.
τὸν δ' ἄρα Θησέος υἱὸς ἐυφρονέων ἐν ἀέθλῳ
πολλάκις ἐς κενεὸν κρατερὰς χέρας ἰθύνασθαι
θῆκε, καὶ ἰδρείῃσι διατμήξας ἑκάτερθε
χεῖρας ἐς ὀφρύα τύψεν ἐπάλμενος, ἄχρις ἱκέσθαι
ὀστέον· ἐκ δέ οἱ αἷμα κατέρρεεν ὀφθαλμοῖο.
ἀλλὰ καὶ ὣς Ἀκάμαντα βαρείῃ χειρὶ τυχήσας
τύψε κατὰ κροτάφοιο, χαμαὶ δέ οἱ ἤλασε γυῖα·
αὐτὰρ ὅ γ' αἶψ' ἀνόρουσε καὶ ἔνθορε φωτὶ κραταιῷ
πλῆξε δέ οἱ κεφαλήν· ὁ δ' ἄρ' ἔμπαλιν ἀίσσοντος
βαιὸν ὑποκλίνας σκαιῇ χερὶ τύψε μέτωπον,
ἄλλῃ δ' ἤλασε ῥῖνας ἐπάλμενος· ὃς δὲ καὶ αὐτὸς
μήτι παντοίῃ χέρας ὤρεγε· τοὺς δ' ἄρ' Ἀχαιοὶ
ἀλλήλων ἀπέρυξαν ἐελδομένους πονέεσθαι
νίκης ἀμφ' ἐρατῆς. τῶν δ' ἐσσυμένως θεράποντες
ῥινοὺς αἱματόεντας ἄφαρ σθεναρῶν ἀπὸ χειρῶν
λῦσαν· τοὶ δ' ἄρα τυτθὸν ἀνέπνευσαν καμάτοιο
μορξάμενοι σπόγγοισι πολυτρήτοισι μέτωπα.
τοὺς δ' ἕταροί τε φίλοι τε παρηγορέοντες ἄγεσκον
ἄντικρυς ἀλλήλων, ὥς κεν χόλου ἀλγινόεντος
ἐσσυμένως λελάθωνται ἀρεσσάμενοι φιλότητι.

352 θεινομ. *ptl* 355 -θηνε *sp* 357 λῆσεν *A*, λῦσεν *P*, λῆγεν em. *r* περὶ *v* (πέρι *st*²), μέγα *k* 358 τῷ *A*, τὸν *hytlkP* 359 -εσθαι *v*, -ασθαι ex *Pego* 362 ὀστέου *PV* -μοῖιν *lb* 364 ὤκλασε *l* 368 ὣς *v*, ὡς *P*, ὃς *st*²*k* 371 ἐρατεινῆς *AP*, ἐρατῆς em. *r* -μένων *ptl* 376 ἄντικρυς *v*, ἀντικρὺς *k*¹ in praef. *k*² 377 -τητα *AP*, -τητι *tlk*

ἀλλ' οἱ μὲν πεπίθοντο παραιφασίῃσιν ἑταίρων·
ἀνδράσι γὰρ πινυτοῖσι πέλει νόος ἤπιος αἰεί·
κύσσαν δ' ἀλλήλους, ἔριδος δ' ἐπελήθετο θυμὸς
λευγαλέης. τοῖς δ' αἶψα Θέτις κυανοκρήδεμνος
ἀργυρέους κρητῆρας ἐελδομένοισιν ὄπασσε
δοιώ, τοὺς Εὔνηος, Ἰήσονος ὄβριμος υἱός,
ὦνον ὑπὲρ κρατεροῖο Λυκάονος ἐγγυάλιξεν
ἀντιθέῳ Ἀχιλῆι περικλύστῳ ἐνὶ Λήμνῳ·
τοὺς Ἥφαιστος ἔτευξεν ἀριπρεπέι Διονύσῳ
δῶρον, ὅτ' εἰς Οὔλυμπον ἀνήγαγε δῖαν ἄκοιτιν,
Μίνωος κούρην ἐρικυδέα, τήν ποτε Θησεὺς
κάλλιπεν οὐκ ἐθέλων γε περικλύστῳ ἐνὶ Δίῃ·
τοὺς δ' ἠὺς Διόνυσος ἑῷ πόρεν υἱέι δῶρον
νέκταρος ἐμπλήσας, ὁ δ' ἄρ' ὤπασεν Ὑψιπυλείῃ
πολλοῖς σὺν κτεάτεσσι Θόας, ἡ δ' υἱέι δίῳ
κάλλιπεν, ὃς δ' Ἀχιλῆι Λυκάονος εἵνεκα δῶκε.
τῶν δ' ἕτερον μὲν ἔλεσκεν ἀγαυοῦ Θησέος υἱός,
ἄλλον δ' ἠὺς Ἐπειὸς ἑὰς ἐπὶ νῆας ἴαλλε
γηθόσυνος. τάχα δέ σφι τετυμμένα τύμματα πάντα
ἠκέσατ' ἐνδυκέως Ποδαλείριος, οὕνεκ' ἄρ' αὐτὸς
πρῶτα μὲν ἐκμύζησεν, ἔπειτα δὲ χερσὶν ἑῇσι
ῥάψεν ἐπισταμένως, καθύπερθε δὲ φάρμακ' ἔθηκε
κεῖνα, τά οἱ τὸ πάροιθε πατὴρ ἑὸς ἐγγυάλιξε,
τοῖσι δ' ἄρ' ἐσσυμένως καὶ ἀναλθέα τύμματα φωτῶν
αὐτῆμαρ μορόεντος ὑπὲκ κακοῦ ἰαίνονται·

382 -σεν *A P*, -σε *k* 389 γε omiss. add. *r* 394 ἔχεσκεν *v*, ἕλ. *st²k* 395 -λεν *v*, -λε *E¹Pk* 396 τῷ *A*, τῶν *ptlk P*(?), τοῖς (*r*), τάχα *ego* δ' ἀμφιτετρυ(μ)μένα *A P*, -τρυγμ. *p*, -τυμμ. *sp Rost*, -δρυμμ. (*tst¹*)*k*, δ' αἶψα τεθρυμμ. *st¹l*, δ' αὖθι τεθρ. *ls*, δέ σφι τετυμμένα *ego* 398 -σιν *v*, -σι *k* 399 -ακ' ἔθηκε *AP* (-κεν *P*) *k*, -ακα θῆκε *E¹tl* 401 τοῖσί περ? 402 μογ. *AP*, μορ. em. *r*

τῶν δ' ἄφαρ ἀμφὶ πρόσωπα καὶ εὐκομόωντα κάρηνα
τύμματ' ἀπαλθαίνοντο, κατηπιόωντο δ' ἀνῖαι.
ἀμφὶ δὲ τοξοσύνης Τεῦκρος καὶ Ὀιλέος υἱὸς
ἔστασαν, οἳ καὶ πρόσθε δρόμου πέρι πειρήσαντο.
τῶν δ' ἄρα τηλόσε θῆκεν ἐυμμελίης Ἀγαμέμνων
ἱππόκομον τρυφάλειαν, ἔφη δέ τε· „πολλὸν ἀμείνων
ἔσσεται, ὃς κέρσειεν ἄπο τρίχας ὀξέι χαλκῷ."
Αἴας δ' αὐτίκα πρῶτος ἑὸν προέηκε βέλεμνον,
πλῆξε δ' ἄρα τρυφάλειαν, ἐπήΰτησε δὲ χαλκὸς
ὀξύτατον. Τεῦκρος δὲ μέγ' ἐγκονέων ἐνὶ θυμῷ
δεύτερος ἧκεν ὀιστόν, ἄφαρ δ' ἀπέκερσεν ἐθείρας
ὀξὺ βέλος· λαοὶ δὲ μέγ' ἴαχον ἀθρήσαντες
καί μιν κυδαίνεσκον ἀπείριτον, οὕνεκ' ἄρ' αὐτὸν
πληγὴ ἔτ' ἀλγύνεσκε θοοῦ ποδός, ἀλλά μιν οὔ τι
βλάψεν ὑπαὶ παλάμῃσι θοὸν βέλος ἰθύνοντα.
καί οἱ τεύχεα καλὰ πόρεν Πηλῆος ἄκοιτις
ἀντιθέου Τρωΐλοιο, τὸν ἠιθέων ὄχ' ἄριστον
Τροίῃ ἐν ἠγαθέῃ Ἑκάβη τέκεν, οὐδ' ἀπόνητο
ἀγλαΐης· δὴ γάρ μιν ἀταρτηροῦ Ἀχιλῆος
ἔγχος ὁμοῦ καὶ κάρτος ἀπήμερσαν βιότοιο·
ὡς δ' ὁπόθ' ἑρσήεντα καὶ εὐθαλέοντ' ἀνὰ κῆπον
ὑδρηλῆς καπέτοιο μάλ' ἀγχόθι τηλεθάοντα
ἢ στάχυν ἢ μήκωνα, πάρος καρποῖο τυχῆσαι,
κέρσῃ τις δρεπάνῳ νεοθηγέι, μηδ' ἄρ' ἐάσῃ

403 δ' ἄρ' *A*, δ' ἄφαρ *rtlkP* 406 στάσαν *A*, ἔστασαν *Prtl*, ἔ. *spk* 408 sq. δέ ἑ π. ἀμείνων | ἔσσεται *AP*, δέ ἑ π. ἀμείνω | ἔσσεσθ' *rpt*, δέ κε π. ἀ. ἔ. *bl*, δέ τε π. ἀ. ἔ. *sp*, δέ τε· π. ἀμείνων | ἔσσεται *k* 416 ἐπαλγύνεσκε *v*, -υνόεσκε *P*, ἔτ' ἀλγύνεσκε *st*[1]*lk* 419 μέγ' *v*, ὄχ' ex *Pego* 420 τέκετ' *v*, τέκεν ex *Pego* 421 ἀγλαόν· ἤδη *At*, ἀγλαοῦ· ἤδη *psp*, ἄχνοον ἤδη *b*, ἀγλαΐης· δὴ *hlkP* 423 θαλόεντ' *A*, corr. *r* 425 τυχήσας *AP*, corr. *r*

ἐς τέλος ἡδὺ μολεῖν μηδ' ἐς σπόρον ἄλλον ἱκέσθαι,
ἀμήσας κενεόν τε καὶ ἄσπορον ἐσσομένοισι
(μέλλονθ' ἐρσήεντος ὑπ' εἴαρος ἀλδαίνεσθαι·)
ὣς υἱὸν Πριάμοιο θεοῖς ἐναλίγκιον εἶδος
Πηλείδης κατέπεφνεν, ἔτ' ἄχνοον, εἰσέτι νύμφης
νῆϊδα, νηπιάχοισιν ὁμῶς ἔτι κουρίζοντα·
ἀλλά μιν ἐς πόλεμον φθισίμβροτον ἤγαγε Μοῖρα
ἥβης ἀρχόμενον πολυγηθέος, ὁππότε φῶτες
θαρσαλέοι τελέθουσιν, ὅτ' οὐκέτι δεύεται ἦτορ.
  αὐτίκα δ' αὖτε **σόλον** περιμήκεά τε βριαρόν τε
πολλοὶ πειρήσαντο θοῆς ἀπὸ χειρὸς ἰῆλαι·
τὸν δ' οὔ τις βαλέειν δύνατο στιβαρὸν μάλ' ἐόντα
Ἀργείων· οἶος δ' ἔβαλεν μενεδήιος Αἴας
χειρὸς ἄπο κρατερῆς, ὡς εἰ δρυὸς ἀγρονόμοιο
ὄζον ἀπαυανθέντα θέρευς εὐθαλπέος ὥρῃ,
ὁππότε λήια πάντα κατὰ χθονὸς αὐαίνηται.
θάμβησαν δ' ἄρα πάντες, ὅσον χερὸς ἐξεποτήθη
χαλκός, ὃν ἀνέρε χερσὶ δύω μογέοντες ἄειραν·
τόν ῥα μὲν Ἀνταίοιο βίη ῥίπτασκε πάροιθε
ῥηιδίως ἀπὸ χειρὸς ἑῆς πειρώμενος ἀλκῆς,
πρὶν κρατερῇσι χέρεσσι δαμήμεναι Ἡρακλῆος·
Ἡρακλέης δέ μιν ἠὺς ἑλὼν σὺν ληίδι πολλῇ
ἀκαμάτης ἔχε χειρὸς ἀέθλιον, ἀλλά μιν ἐσθλῷ
ὕστερον Αἰακίδῃ δῶρον πόρεν, ὁππότ' ἄρ' αὐτῷ
Ἰλίου εὐπύργοιο συνέπραθε κύδιμον ἄστυ·

427 εἰς *P* ἡδὲ *A*, ἠῢ *P*, em. *r* ἄλπνον *hw* 428 αἰθομένοισι *A*, -σιν *hk* lacunae signis positis [velut ἠελίου βελέεσσι καὶ εὐθέρμοις ἀνέμοισι], αἴθοπι χαλκῷ *rtl*, αἰδομένοισι *h* ol., εἰν ἀνέμοισι vel ἄνθεσιν οἷσι olim ci. *k*, αἶψ' ἀνέμοισι *st*², quod prob. *n*, ἐσσομένοισι ex *Pego* 431 ἄχρονον *A*, ἄχροιον *P*, em. *r* 433 εἰς *v*, ἐς *kP* 440 ἀκροκόμοιο *lb* 441 θέρους *v*, -ευς *splk* 444 δύο *P* 445 μιν *APl*, μὲν *rtk* -θεν *v*, -θε *kP*

κεῖνος δ' υἱέι δῶκεν, ὁ δ' ὠκυπόροις ἐνὶ νηυσὶν
ἐς Τροίην μιν ἔνεικεν, ἵνα σφετέροιο τοκῆος
μνωόμενος Τρώεσσιν ἐυσθενέεσσι μάχηται
προφρονέως, εἴη δὲ πόνος πειρωμένῳ ἀλκῆς·
τόν ῥ' Αἴας μάλα πολλὸν ἀπὸ στιβαρῆς βάλε χειρός.
καὶ τότε οἱ Νηρηὶς ἀγακλυτὰ τεύχεα δῶκε
Μέμνονος ἀντιθέοιο, τὰ καὶ μέγα θηήσαντο
Ἀργεῖοι· λίην γὰρ ἔσαν περιμήκεα πάντα·
καὶ τά γε καγχαλόων ὑπεδέξατο κύδιμος ἀνήρ·
οἴῳ γὰρ κείνῳ γε περὶ βριαροῖσι μέλεσσιν
ἥρμοσεν ἀπλήτοιο κατὰ χροὸς ἀμφιτεθέντα·
αὐτὸς δ' αὖτ' ἀνάειρε μέγαν σόλον, ὄφρά οἱ εἴη
τερπωλὴ μένος ἠὺ λιλαιομένῳ πονέεσθαι.
οἱ δ' ἄρα δηριόωντες ἐφ' **ἅλματι** *πολλοὶ ἀνέσταν.*
τῶν δ' ἄρ' ὑπέρθορε πολλὸν ἐυμμελίης Ἀγαπήνωρ
σήματα· τοὶ δ' ὁμάδησαν ἐπ' ἀνέρι μακρὰ θορόντι·
καί οἱ τεύχεα καλὰ πόρεν μεγάλοιο Κύκνοιο
δῖα Θέτις· τὸν γάρ ῥα φόνῳ ἔπι Πρωτεσιλάου
πολλῶν θυμὸν ἑλόντα κατέκτανε Πηλέος υἱὸς
πρῶτον ἀριστήων· Τρῶας δ' ἄχος ἀμφεκάλυψεν.
αἰγανέῃ *δ' ἄρα πολλὸν ὑπέρβαλε δηριόωντας*
Εὐρύαλος· λαοὶ δὲ μέγ' ἴαχον· οὐ γὰρ ἔφαντο
κεῖνον ὑπερβαλέειν οὐδὲ πτερόεντι βελέμνῳ.
τοὔνεκά οἱ φιάλην πολυχανδέα δῶκε φέρεσθαι
μήτηρ Αἰακίδαο δαΐφρονος, ἥν ποτ' Ἀχιλλεὺς
ἀργυρέην κτεάτισσε βαλὼν ὑπὸ δουρὶ Μύνητα,
ὁππότε Λυρνησσοῖο διέπραθεν ὄλβιον ἄστυ.

454 *-οιτο v, -ηται* k^1 in praef. k^2 457 *-κεν v, -κε kP* 464 *τερπωλῆς AP, -ῇ ptlk βέλος* ol. ci. *k* 465 *δηιό- AP,* em. *p* 467 *τῷ AP,* em. *r* 478 *διέπραθε Τρώιον v, -εν ὄλβιον* ex *Pego*

Αἴας δ' ὀβριμόθυμος ἐελδόμενος πονέεσθαι
χερσὶν ὁμῶς καὶ ποσσὶν ἀνιστάμενος καλέεσκεν
ἐς μέσον ἡρώων τὸν ὑπέρτατον. οἱ δ' ὁρόωντες
θάμβεον ὄβριμον ἄνδρα καὶ ἄλκιμον, οὐδέ τις ἔτλη
ἄντα μολεῖν· πάντων γὰρ ὑπέκλασε δεῖμ' ἀλεγεινὸν
ἠνορέην, φοβέοντο δ' ἀνὰ φρένα, μή τινα χερσὶ
τύψας ἀκαμάτῃσιν ὑπὸ πληγῇσι πρόσωπον
συγχέῃ ἐσσυμένως, μέγα δ' ἀνέρι πῆμα γένηται.
ὀψὲ δὲ πάντες ἔνευσαν ἐπ' Εὐρυάλῳ μενεχάρμῃ,
ἴδμονα πυγμαχίης εὖ εἰδότες· ὃς δ' ἐνὶ μέσσοις
τοῖον ἔπος προέηκεν ὑποτρομέων θρασὺν ἄνδρα·
„ὦ φίλοι, ἄλλον μέν τιν' Ἀχαιῶν, ὅν κ' ἐθέλητε,
τλήσομαι ἀντιόωντα, μέγαν δ' Αἴαντα τέθηπα·
πολλὸν γὰρ προβέβηκε· διαρραίσει δέ μοι ἦτορ,
ἤν μιν ἐπιβρίσαντα λάβῃ χόλος· οὐδ' ἄρ' ὀίω
ἀνδρὸς ἀπ' ἀκαμάτοιο σόος ποτὶ νῆας ἱκέσθαι.“
ὣς φαμένοιο γέλασσαν· ὁ δ' ἐν φρεσὶ πάμπαν ἰάνθη
Αἴας ὀβριμόθυμος· ἄειρε δὲ δοιὰ τάλαντα
ἀργύρου αἰγλήεντος, ἅ οἱ Θέτις εἵνεκ' ἀέθλου
δῶκεν ἄτερ καμάτοιο· φίλου δ' ἐμνήσατο παιδὸς
Αἴαντ' εἰσορόωσα, γόος δέ οἱ ἔμπεσε θυμῷ.
οἱ δ' αὖθ' ἱππασίῃ μεμελημένον ἦτορ ἔχοντες
ἐσσυμένως ἀνόρουσαν ἐποτρύνοντος ἀέθλου,
πρῶτος μὲν Μενέλαος ἰδ' Εὐρύπυλος θρασυχάρμης
Εὔμηλός τε Θόας τε καὶ ἰσόθεος Πολυποίτης.

487 ἔλευσαν $A P$, ἔλευσσον $(r)pt$, ἔνευσαν $psplk$ 488 παμμαχίης (k ol.) l ἴδμονι et εἰδότι v, εἴδεα vel ἤθεα .. εἰδότι r, τλήμονι .. εἰδότι st^2, ἴδμονι .. εἰδότες hkl^2, ἴδμονα .. εἰδότες $hlwP$ 490 τιν' om. A, add. $C^1 r$, κεν P κε θέλ. v, κ' ἐθ. $gspk$ 493 μιν v, μοι P οὐ γὰρ v, οὐδ' ἄρ' k^1 in praef. k^2 494 σόον A, σῶον P, σόος tlk 503 Εὔμηλος δὲ k

ἵπποις δ' ἀμφὶ λέπαδνα βάλον καὶ ὑφ' ἅρματ' ἔρυσσαν
πάντες ἐπειγόμενοι πολυγηθέος εἵνεκα νίκης·
αἶψα δ' ἄρ' ἐς πεδίον ξύνισαν βεβαῶτ' ἐνὶ δίφροις
χῶρον ἀν' ἠμαθόεντ'· ἐπὶ νύσσῃ δ' ἔσταν ἕκαστοι·
καρπαλίμως δ' εὔληρα λάβον κρατερῇς παλάμῃσιν.
ἵπποι δ' ἐγχριμφθέντες ἐν ἅρμασι ποιπνύεσκον,
ὅππως τις προάλοιτο, πόδας δ' ὑπεκίνεον αὔτως,
οὔατα δ' ὠρθώσαντο καὶ ἄμπυκας ἀφρῷ ἔδευσαν.
οἱ δ' ἄφαρ ἐγκονέοντες ἐλαφροπόδων μένος ἵππων
μάστιον· οἱ δὲ θοῇσιν ἐοικότες Ἁρπυίῃσι
καρπαλίμως ζεύγλῃσι μέγ' ἔκθορον ἀσχαλόωντες,
ἅρματα δ' ὦκα φέρεσκον ἀπὸ χθονὸς ἀίσσοντα·
οὐδ' ἁρματροχιὰς ἰδέειν ἦν οὐδὲ ποδοῖιν
ἐν χθονὶ σήματα, τόσσον ὑπεξέφερον δρόμον ἵπποι.
πουλὺς δ' αἰθέρ' ἵκανε κονίσαλος ἐκ πεδίοιο,
καπνῷ ἢ ὀμίχλῃ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσιν
ἀμφιχέῃ πρώνεσσι Νότου μένος ἢ Ζεφύροιο
χείματος ἐγρομένου, ὁπότ' οὔρεα δεύεται ὄμβρῳ.
ἵπποι δ' Εὐμήλοιο μέγ' ἔκθορον, οἱ δ' ἐφέποντο

506 εἰς *v*, ἐς ex C^1(*k*)*ego* χῶρον *A*, στάδιον *r*, δῆριν *ptl*, ἓν ἅμα *k*, ἕνα χῶρον ἴσαν (k^1)st^2, πεδίον ex *Pego* βεβαῶτ' ἐνὶ δίφροις *v*, δ. βεβαῶτες *k* 507 αἱματόεντ' *AP*, em. *r* νύσσης *v*, νύσση *P*, -ῃ *ego* 508 βάλε *A*, .βάλον *rP*, λάβον (*sc*)*ptlk* 509 ποιπνύοντες *APkst*², sed *k* lacunae signis post h. v. positis [velut ἐς δρόμον ἰσχανόωντες ἐφωπλίζοντο νέεσθαι], *st*² ἐγχρίμφθησαν scribens; contra ποιπνύεσκον *rtl* 510 -κίννον *v*, -κίνεον st^1lbk^2 αὐτῶν *AP*, αὔτως em. *r* (fortasse sic in *P*) 511 ὀρθ. *v*, ὠρθ. *spkP* ἄμπυκα δεύεσαν ἀφρῷ *v*, ἄ. δεῦσαν ἄρ' ἀ. *p*, ἄ. δεῦσαν ἀφλοισμῷ et alia ci. *k*, scripsit ἄμπυκας ἀφρῷ ἔδευσαν 513 -σιν *v*, -σι *kP* 514 ἔνθ. *AP*, ἔκθ. *tlk* 516 οὐδὲ θ' ἁρματροχίας *A*, οὐδέ θ' ἅματροχιάς *P*, οὐδ' ἁρματροχίας *rtl*, -ιὰς *k* ἦν omiss. add. *dtl*, σθένος vel πέλεν *r*, σθένον *k* 519 ἢ κ. ἢ k^2 ὀμ. *v*, ὁμ. *k* 521 ἐρχομ. st^1 522 ἔνθορον *v*, ἔκθ. *hylk* αἳ *v*, οἱ (*k*) ex *Pego*

ἀντιθέοιο Θόαντος· ἐπ' ἄλλῳ δ' ἄλλος ἀύτει
ἅρματι· τοὶ δ' ἐφέροντο δι' εὐρυχόρου πεδίοιο
— — — — — — —
Ἤλιδος ἐκ δίης, ἐπεὶ ἦ μέγα ἔργον ἔρεξε
παρφθάμενος θοὸν ἅρμα κακόφρονος Οἰνομάοιο,
ὅς ῥα τότ' ἠιθέοισιν ἀνηλέα τεῦχεν ὄλεθρον
κούρης ἀμφὶ γάμοιο, περίφρονος Ἱπποδαμείης·
ἀλλ' οὐ μὰν κεῖνός γε καὶ ἱππασίῃσι μεμηλὼς
ἵππους ὠκύποδας τοίους ἔχεν, ἀλλ' ἄρα πολλὸν
ποσσὶν ἀφαυροτέρους· οἵ γάρ τ' εἴδοντ' ἀνέμοισιν."
ἦ μέγα κυδαίνων ἵππων μένος ἠδὲ καὶ αὐτὸν
Ἀτρείδην· ὁ δ' ἄρ' ᾗσι περὶ φρεσὶ γήθεε θυμῷ.
τοὺς δὲ μέγ' ἀσθμαίνοντας ἄφαρ θεράποντες ἔλυσαν
ζεύγλης· οἵ δὲ καὶ αὐτοὶ ἀελλόποδας λύον ἵππους
πάντες, ὅσοις ἐν ἀγῶνι δρόμου πέρι δῆρις ἐτύχθη.
ἀντίθεον δὲ Θόαντα καὶ Εὐρύπυλον μενεχάρμην
ἠκέσατ' ἐσσυμένως Ποδαλείριος ἕλκεα πάντα,
ὅσσα περιδρύφθησαν ἀπὲκ δίφροιο πεσόντες.
Ἀτρείδης δ' ἀλίαστον ἐγήθεεν εἵνεκα νίκης·
καί οἱ ἐυπλόκαμος Θέτις ὤπασε καλὸν ἄλεισον
χρύσεον, ἀντιθέοιο μέγα κτέαρ Ἠετίωνος,
πρὶν Θήβης κλυτὸν ἄστυ διαπραθέειν Ἀχιλῆα.

524 'Magnus hic est defectus . . . sunt autem haec fragmenta orationis, qua quispiam Graecorum Menelai equos laudat. tota igitur narratio, qua cursum descripsit et Thoantis atque Eurypyli e curru lapsum, intercidit' *r*. sequitur in plerisque libris et in editionibus versus 525 *ὅντινα δήιοι ἄνδρες ὑποτρομέουσι μάλιστα* cum altera lacuna, sed in ***P*** versus 525—573 hoc loco omissi inter vv. V 158 et 159 interpositi leguntur, ubi illum versum IV 525 relinquendum esse docuit *Treu* 526 *-ξεν AP*, *-ξε k* 530 *μὴν A*, *μὲν ptl*, *μὰν kP* 532 *γάρ ῥ'* primo scripserat *k*[1], sed *γάρ τ'* restituit in praef. 534 *γὰρ v*, *δ' ἄρ' pl*[2] 536 *ὣς δὲ καὶ ἄλλοι* ol. ci. *k* 537 *δρόμου* om. *A*, add. *rP*

ἄλλοι δ' αὖθ' ἑτέρωθι μονάμπυκας ἔντυνον **ἵππους**
ἐς δρόμον ἰθύνοντες, ἕλοντο δὲ χερσὶ βοείας
μάστιγας καὶ πάντες ἀναΐξαντες ἐφ' ἵππων
ἕζονθ'· οἱ δὲ χαλινὰ γενειάσιν ἀφρίζοντες
δάπτον καὶ ποσὶ γαῖαν ἐπέκτυπον ἐγκονέοντες
ἐκθορέειν. τοῖς δ' αἶψα τάθη δρόμος· οἱ δ' ἀπὸ νύσσης
καρπαλίμως οἴμησαν ἐριδμαίνειν μεμαῶτες,
εἴκελοι ἢ Βορέαο μέγα πνείοντος ἀέλλαις
ἠὲ Νότου κελάδοντος, ὅτ' εὐρέα πόντον ὀρίνει
λαίλαπι καὶ ῥιπῇσι, θυτήριον εὖτ' ἀλεγεινὸν
ἀντέλλῃ ναύτῃσι φέρον πολύδακρυν ὀιζύν·
ὣς οἵ γ' ἐσσεύοντο κόνιν ποσὶ καρπαλίμοισιν
ἐν πεδίῳ κλονέοντες ἀπείριτον· οἱ δ' ἐλατῆρες
ἵπποις οἷσιν ἕκαστος ἐκέκλετο, τῇ μὲν ἱμάσθλην
ταρφέα πεπληγώς, ἑτέρῃ δ' ἐνὶ χειρὶ τινάσσων
νωλεμὲς ἀμφὶ γένυσσι μέγα κτυπέοντα χαλινόν.
ἵπποι δ' ἐρρώοντο· βοὴ δ' ἀνὰ λαὸν ὀρώρει
ἄσπετος· οἱ δ' ἐπέτοντο διὰ πλατέος πεδίοιο.
καί νύ κεν ἐσσυμένως ἐξ Ἄργεος αἰόλος ἵππος
νίκησεν μάλα πολλὸν ἐφεξομένου Σθενέλοιο,
εἰ μὴ ἄρ' ἐξήρπαξε δρόμου, πεδίον δ' ἀφίκανε
πολλάκις· οὐδέ μιν ἐσθλὸς ἐὼν Καπανήιος υἱὸς
κάμψαι ἐπέσθενε χερσίν, ἐπεί ῥ' ἔτι νῆις ἀέθλων
ἵππος ἔην· γενεῇ γε μὲν οὐ κακός, ἀλλὰ θοοῖο
θεσπέσιον γένος ἔσκεν Ἀρίονος, ὃν τέκεν ἵππων
Ἅρπυια Ζεφύρῳ πολυηχέι φέρτατον ἄλλων

545 -θε *v*, -θι *spk* 549 δάκνον ci. *t* 550 τάθη omiss. add. *rk*, δρ. τέταθ' (*r*)*tl* 552 -λης *hytl* 553 ὄρινεν *v*, ὀρίνει *k* 558 ἐκέκλ. om. *A*, add. *r Canter P* -σθλη *v*, -σθλην *pl*²*k* 559 ἐν *v*, ἐνὶ *wlk* 565 δρόμον *hytl* 566 μὲν *AP*, μιν *rtlk* ἐὼν om. *A*, add. *rP* 568 δὲ μάλ' *v*, δὲ μὲν *p*, γε μὲν *k*

πολλόν, ἐπεὶ ταχέεσσιν ἐριδμαίνεσκε πόδεσσι
πατρὸς ἑοῖο θοῇσι καταιγίσι, καί μιν Ἄδρηστος
ἐκ μακάρων ἔχε δῶρον, ὅθεν γένος ἔπλετο κείνου·
καί μιν Τυδέος υἱὸς ἑῷ πόρε δῶρον ἑταίρῳ
Τροίῃ ἔνι ζαθέῃ· ὁ δέ οἱ μέγα ποσσὶ πεποιθὼς
ὠκὺν ἐόντ' ἐς ἀγῶνα καὶ εἰς ἔριν ἤγαγεν ἵππων,
αὐτὸς ἐνὶ πρώτοισιν ὀιόμενος μέγα κῦδος
ἱππασίης ἀνελέσθαι· ὁ δ' οὔ τί οἱ ἦτορ ἴηνεν
ἀμφ' Ἀχιλῆος ἄεθλα πονεύμενος· ἦ γὰρ ἔμιμνε
δεύτερος, Ἀτρείδης δὲ παρήλασεν ὠκὺν ἐόντα
ἰδρείῃ. λαοὶ δ' Ἀγαμέμνονα κυδαίνεσκον,
ἵππον τε Σθενέλοιο θρασύφρονος ἠδὲ καὶ αὐτόν,
οὕνεκα δεύτερος ἦλθε, καὶ εἰ μάλα πολλάκι νύσσης
ἐξέθορεν μεγάλῳ περὶ κάρτεϊ οἷς ποσὶ θύων.
καὶ τότ' ἄρ' Ἀτρείδῃ Θέτις ὤπασε καγχαλόωντι
ἀργύρεον θώρηκα θεηγενέος Πολυδώρου·
δῶκε δ' ἄρα Σθενέλῳ βριαρὴν κόρυν Ἀστεροπαίου
χαλκείην καὶ δοῦρε δύω καὶ ἀτειρέα μίτρην.
ἄλλοις δ' ἱππήεσσι, καὶ ὁππόσοι ἤματι κείνῳ
ἦλθον ἀεθλεύσοντες Ἀχιλλῆος ποτὶ τύμβον,
δῶρα πόρεν πάντεσσιν. ἐπὶ σφίσι δ' ἄχνυτο θυμὸν
υἱὸς Λαέρταο δαΐφρονος, οὕνεκ' ἄρ' αὐτὸν
ἀλκῆς ἱέμενον κρατερῶν ἀπέρυξεν ἀέθλων
ἕλκος ἀνιηρόν, τό μιν οὔτασεν ὄβριμος Ἄλκων
ἀμφὶ νέκυν κρατεροῖο πονεύμενον Αἰακίδαο.

573 post h. v. et in codd. ex *H* profectis et in edd. lacuna indicata est [velut *τὸν δ' ἄρα Τυδέι δῶκεν· ὁ δ' αὖ μιν κάλλιπεν υἱῷ r*], plura deesse censet *k*; non concedo (*ὅθεν* = *ἐξ Ἀρίονος*) 579 *-μένου st*[1]*sp* *ἔμελλεν ἱκάνειν AP*, *ἵκανεν rptl*, *ἔκελλεν* ci. *p*, *ἔμελλεν* et sequente lacuna [velut *ἵππῳ πλαζομένῳ πεφορημένος ἐκτὸς*] *ἱκάνειν k*, *ἔμιμνε ego* 583 *μάλα* omiss. add. *rP* 584 *οἷς v*, *καὶ P* 589 *δ' v*, *θ' P* 590 *-ήσοντες v*, *-εύσοντες st*[1]*k* *τύμβῳ v*, *-ον spk*[1] in praef. *k*[2]

[1] ἀπ-ανύω ganz vollenden —
[4] mit langem Schnabel — [4] Flüsse, Strom, Flüsse —

ΚΟΙΝΤΟΥ

ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Ἀλλ' ὅτε δή ῥ' ἄλλοι μὲν ἀπηνύσθησαν ἄεθλοι,
δὴ τότ' **Ἀχιλλῆος** μεγαλήτορος ἄμβροτα **τεύχη**
θῆκεν ἐνὶ μέσσοισι θεὰ Θέτις· ἀμφὶ δὲ πάντῃ
δαίδαλα μαρμαίρεσκεν, ὅσα σθένος Ἡφαίστοιο
ἀμφὶ σάκος ποίησε θρασύφρονος Αἰακίδαο.
πρῶτα μὲν εὖ ἤσκητο θεοκμήτῳ ἐπὶ ἔργῳ
οὐρανὸς ἠδ' αἰθήρ, γαίῃ δ' ἅμα κεῖτο θάλασσα·
ἐν δ' ἄνεμοι νεφέλαι τε σελήνη τ' ἠέλιός τε
κεκριμέν' ἄλλυδις ἄλλα, τέτυκτο δὲ τείρεα πάντα,
ὁππόσα δινήεντα κατ' οὐρανὸν ἀμφιφέρονται.
τῶν δ' ἄρ' ὁμῶς ὑπένερθεν ἀπειρέσιος κέχυτ' ἀήρ·
ἐν τῷ δ' ὄρνιθες τανυχειλέες ἀμφεποτῶντο·
φαίης κε ζώοντας ἅμα πνοιῇσι φέρεσθαι.
Τηθὺς δ' ἀμφετέτυκτο καὶ Ὠκεανοῦ βαθὺ χεῦμα·
τῶν δ' ἄφαρ ἐξεχέοντο ῥοαὶ ποταμῶν κελαδεινῶν
κυκλόθεν ἄλλυδις ἄλλῃ ἑλισσομένων διὰ γαίης.

1 δὴ πολλοὶ *v*, δή ῥ' ἄλλοι *kl* 6 καὶ τὰ *v* interpunctione post ἔργῳ posita, πρῶτα ex *Pego* 11 τῶν *v*, τοῖς *sp*, τῷ *k* 13 κεν *v*, κε *spkP* 14 ἀμφιτετ. *v*, ἀμφετ. *splkP* 15 τῶν *v*, τῷ *tl*[1], τοῦ *k* ἀλεγεινῶν *AP*, κελαδ. em. *r* 16 ἄλλῃ ἑλισσομένων *v*, ἄ. ἑλισσόμεναι *st*[2]*n*, ἄλλου -μένων ci. *st*[2], ἄλλῃ -μένων *ego*

ἀμφὶ δ' ἄρ' εὖ ἤσκηντο κατ' οὔρεα μακρὰ λέοντες
σμερδαλέοι καὶ θῶες ἀναιδέες· ἐν δ' ἀλεγειναὶ
ἄρκτοι πορδάλιές τε, σύες θ' ἅμα τῇσι πέλοντο
ὄβριμοι ἀλγινόεντας ὑπὸ βλοσυρῇσι γένυσσι
θήγοντες καναχηδὸν ἐυκτυπέοντας ὀδόντας·
ἐν δ' ἀγρόται μετόπισθε κυνῶν μένος ἰθύνοντες,
ἄλλοι δ' αὖ λάεσσι καὶ αἰγανέῃσι θοῇσι
βάλλοντες πονέοντο καταντίον, ὡς ἐτεόν περ.
ἐν δ' ἄρα καὶ πόλεμοι φθισήνορες, ἐν δὲ κυδοιμοὶ
ἀργαλέοι ἐνέκειντο· περικτείνοντο δὲ λαοὶ
μίγδα θοοῖς ἵπποισι· πέδον δ' ἅπαν αἵματι πολλῷ
δευομένῳ ἤικτο κατ' ἀσπίδος ἀκαμάτοιο.
ἐν δὲ Φόβος καὶ Δεῖμος ἔσαν στονόεσσά τ' Ἐνυὼ
αἵματι λευγαλέῳ πεπαλαγμένοι ἅψεα πάντα,
ἐν δ' Ἔρις οὐλομένη καὶ Ἐριννύες ὀβριμόθυμοι,
ἡ μὲν ἐποτρύνουσα ποτὶ κλόνον ἄσχετον ἄνδρας
ἐλθέμεν, αἱ δ' ὀλοοῖο πυρὸς πνείουσαι ἀυτμήν.
ἀμφὶ δὲ Κῆρες ἔθυνον ἀμείλιχοι, ἐν δ' ἄρα τῇσι
φοίτα λευγαλέου Θανάτου μένος· ἀμφὶ δ' ἄρ' αὐτῷ
Ὑσμῖναι ἐνέκειντο δυσηχέες, ὧν περὶ πάντων
ἐκ μελέων εἰς οὖδας ἀπέρρεεν αἷμα καὶ ἱδρώς.
ἐν δ' ἄρα Γοργόνες ἔσκον ἀναιδέες· ἀμφὶ δ' ἄρά σφι
σμερδαλέοι πεπόνηντο περὶ πλοχμοῖσι δράκοντες
αἰνὸν λιχμώωντες· ἀπειρέσιον δ' ἄρα θαῦμα

19 παρδ. *v*, πορδ. *kP* θ' *APst²k*, δ' *rtl* τοῖσι *P*
21 ἐὺ κτ. *k*¹, fortasse ἐρικτ. 25 ἔνθ' *AP*, ἐν δ' *tlk*
27 μίγδα ἑοῖς *v*, μίγδην οἷς (*k*)*l*², μίγδα σὺν οἷς (*k*), μίγδ' ἅμ' ἑοῖς *k*, μίγδα θοοῖς ex *Pego* 30 -μένη *v*, -μένοι ex *Pego*
31 ἔνθ' *A*, ἐν δ' *tlkP* 35 αὐτὸν *V*, αὐτοῦ *P* 36 ἔκειντο *A*, ἐνέκ. *dP* πάντα *A*, πάντη *rtl*, -ῃ *k*, -πάντων ex *Pego*
38 σφιν *v*, σφι *k* 39 πεπότηντο ci. *Gruebenau*

δαίδαλα κεῖνα πέλοντο μέγ' ἀνδράσι δεῖμα φέροντα,
οὕνεκ' ἔσαν ζωοῖσιν ἐοικότα κινυμένοισι.
καὶ τὰ μὲν ἄρ πολέμοιο τεράατα πάντα τέτυκτο.
εἰρήνης δ' ἀπάνευθεν ἔσαν περικαλλέος ἔργα·
ἀμφὶ δὲ μυρία φῦλα πολυτλήτων ἀνθρώπων
ἄστεα καλὰ νέμοντο· Δίκη δ' ἐπεδέρκετο πάντα·
ἄλλοι δ' ἄλλ' ἐπὶ ἔργα χέρας φέρον· ἀμφὶ δ' ἀλωαὶ
καρποῖς ἐβρίθοντο· μέλαινα δὲ γαῖα τεθήλει.
αἰπύτατον δ' ἐτέτυκτο θεοκμήτῳ ἐπὶ ἔργῳ
καὶ τρηχὺ ζαθέης Ἀρετῆς ὄρος· ἐν δὲ καὶ αὐτὴ
εἱστήκει (φοίνικος ἐπεμβεβαυῖα κατ' ἄκρης)
ὑψηλή, ψαύουσα πρὸς οὐρανόν· ἀμφὶ δὲ πάντῃ
ἀτραπιτοὶ (θαμέεσσι διειργόμεναι σκοπέλοισιν)
ἀνθρώπων ἀπέρυκον ἑὸν πάτον, οὕνεκα πολλοὶ
εἰσοπίσω χάζοντο (τεθηπότες αἰπὰ κέλευθα)
παῦροι δ' ἱερὸν οἶμον ἀνήιον ἱδρώοντες.
ἐν δ' ἔσαν ἀμητῆρες ἀνὰ πλατὺν ὄγμον ἰόντες,
σπεύδοντες δρεπάνῃσι νεήκεσι, τῶν δ' ὑπὸ χερσὶν
ἤνυτο λήιον αὖον· ἐφεσπόμενοι δ' ἔσαν ἄλλοι 58a
πολλοὶ ἀμαλλοδετῆρες· ἀέξετο δ' ἐς μέγα ἔργον.
ἐν δὲ βόες ζεύγλῃσιν ὑπ' αὐχένας αἰὲν ἔχοντες,
οἱ μὲν ἀπήνας εἷλκον· ἐυσταχύεσσιν ἀμάλλαις

41 μετ' *A*, μέγ' *ptlkP* 46 δίκη *v*, Δ. *l* ἐπιίκετο *v*, ἐπεδέρκετο (*k*) ex *P ego* 48 -οῖσι βρίθ. *v*, -οῖς ἐβρ. *k* 49 δὲ τέτ. *v*, διετέτ. *P*, δ' ἐτέτ. *Vk* δμήτῳ *v*, -κμήτῳ (*t*)*st*[1]*kP* 50 τρηχύ τε τῆς ζ. *hg*, τρηχύτατόν τ' Ἀ. ζ. *ego* ci. 52 πάντες *v*, -η *Dorville k*[1]*lP*, -ῃ *k*[1] in praef. *k*[2] 53 σκοπέλοισι *v*, -σιν *k*, σκολόπεσσιν *P* 58 χερσὶ *v*, correxi 58[a] hunc versum, qualem deesse [velut δράγματα ταρφέα πῖπτε, τὰ δ' ἐλλεδανοῖσι δέοντο] *sp* demonstravit, *h* consensit, *k* signis indicavit, ex *P* addidi; sed αἰνυτολήϊον *P*, quod correxi. an χερσὶ | κείρετο scribendum? 59 δ' ἐς *v*, δὲ *hk*[1]*hw*

βριθομένας, οἳ δ' αὖθις ἀροτρεύεσκον ἀρούρας·
τῶν δὲ πέδον μετόπισθε μελαίνετο, τοὶ δ' ἐφέποντο
αἰζηοὶ μετὰ τοῖσι βοοσσόα κέντρα φέροντες
χερσὶν ἀμοιβαδίης· ἀνεφαίνετο δ' ἄσπετον ἔργον.
ἐν δ' αὐλοὶ κιθάραι τε παρ' εἰλαπίνῃσι πέλοντο·
ἐν δὲ νέων παρὰ ποσσὶ χοροὶ ἵσταντο γυναικῶν·
αἳ δ' ἄρ' ἔσαν ζωῇσιν ἀλίγκια ποιπνύουσαι.
ἄγχι δ' ἄρ' ὀρχηθμοῦ τε καὶ εὐφροσύνης ἐρατεινῆς
ἀφρὸν ἔτ' ἀμφὶ κόμῃσιν ἔχουσ' ἀνεδύετο πόντου
Κύπρις ἐυστέφανος, τὴν δ' Ἵμερος ἀμφεποτᾶτο
μειδιόων ἐρατεινὰ σὺν ἠυκόμοις Χαρίτεσσιν.
ἐν δ' ἄρ' ἔσαν Νηρῆος ὑπερθύμοιο θύγατρες
ἐξ ἁλὸς εὐρυπόροιο κασιγνήτην ἀνάγουσαι
ἐς γάμον Αἰακίδαο δαΐφρονος· ἀμφὶ δὲ πάντες
ἀθάνατοι δαίνυντο μακρὴν ἀνὰ Πηλίου ἄκρην·
ἀμφὶ δ' ἄρ' ὑδρηλοί τε καὶ εὐθαλέες λειμῶνες
ἔσκον ἀπειρεσίοισι κεκασμένοι ἄνθεσι ποίης
ἄλσεά τε κρῆναί τε διειδέες ὕδατι καλῷ.
νῆες δὲ στονόεσσαι ὑπὲρ πόντοιο φέροντο,
αἳ μὲν ἄρ' ἐσσύμεναι ἐπικάρσιαι, αἳ δὲ κατ' ἰθὺ
νισσόμεναι· περὶ δέ σφιν ἀέξετο κῦμ' ἀλεγεινὸν
ὀρνύμενον· ναῦται δὲ τεθηπότες ἄλλοθεν ἄλλος
ἐσσυμένας φοβέοντο καταιγίδας, ὡς ἐτεόν περ,
λαίφεα λεύκ' ἐρύοντες, ἵν' ἐκ θανάτοιο φύγωσιν·
οἳ δ' ἕζοντ' ἐπ' ἐρετμὰ πονεύμενοι· ἀμφὶ δὲ νηυσὶ
πυκνὸν ἐρεσσομένῃσι μέλας λευκαίνετο πόντος.

62 *αὖ διαροτρ.* *Gruebenau* 67 *ἐν δὲ χοροὶ ἵσταντο νέων παρὰ ποσσὶ γ. v*, *παρὰ τοῖσι h*, *μετὰ παισὶ* (audacius *ἵ. μετ' ἠιθέοισι*) *k* olim, in edd. post *νέων* maioris lacunae signa pos. *k*, verborum ordinem *ego* mutavi 72 *μειδιόωσ' v* et sic *k* lacunae signis ante h. v. positis, *-όων scplst*[2] 78 *-σίοιο A*, *-σίοισι Pierson tlkP*

τοῖς δ' ἐπὶ κυδιόων μετὰ κήτεσιν εἰναλίοισιν
ἧσκητ' Ἐννοσίγαιος· ἀελλόποδες δέ μιν ἵπποι
ὥς ἐτεὸν σπεύδοντες ὑπὲρ πόντοιο φέρεσκον
χρυσείῃ μάστιγι πεπληγότες· ἀμφὶ δὲ κῦμα
στόρνυτ' ἐπεσσυμένων, ὁμαλὴ δ' ἄρα πρόσθε γαλήνη
ἔπλετο· τοὶ δ' ἑκάτερθεν ἀολλέες ἀμφὶς ἄνακτα
ἀγρόμενοι δελφῖνες ἀπειρέσιον κεχάροντο
σαίνοντες βασιλῆα, κατ' ἠερόεν δ' ἁλὸς οἶδμα
νηχομένοις εἴδοντο καὶ ἀργύρεοί περ ἐόντες.
ἄλλα δὲ μυρία κεῖτο κατ' ἀσπίδα τεχνήεντα
χερσὶν ὑπ' ἀθανάτῃς πυκινόφρονος Ἡφαίστοιο·
πάντα δ' ἄρ' ἐστεφάνωτο βαθὺς ῥόος Ὠκεανοῖο,
οὕνεκ' ἔην ἔκτοσθε κατ' ἄντυγος, ᾗ ἔνι πᾶσα
ἀσπὶς ἐνεστήρικτο, δέδεντο δὲ δαίδαλα πάντα.
τῇ δ' ἄρα παρκατέκειτο κόρυς μέγα βεβριθυῖα·
Ζεὺς δέ οἱ ἀμφετέτυκτο μέγ' ἀσχαλόωντι ἐοικώς,
οὐρανῷ ἐμβεβαώς· περὶ δ' ἀθάνατοι πονέοντο
Τιτήνων ἐριδαινομένων Διὶ συμμογέοντες·
τοὺς δ' ἤδη κρατερὸν πῦρ ἄμφεχεν· ἐκ δὲ κεραυνοὶ
ἄλληκτοι νιφάδεσσιν ἐοικότες ἐξεχέοντο
οὐρανόθεν· Ζηνὸς γὰρ ἀάσπετον ὤρνυτο κάρτος·
οἱ δ' ἄρ' ἔτ' αἰθομένοισιν ἐοικότες ἀμπνείεσκον.
ἀμφὶ δὲ θώρηκος γύαλον παρεκέκλιτο καλὸν
ἄρρηκτον βριαρόν τε, τὸ χάνδανε Πηλείωνα.
κνημῖδες δ' ἤσκηντο πελώριαι· ἀμφὶ δ' ἐλαφραὶ
μούνῳ ἔσαν Ἀχιλῆι μάλα στιβαραί περ ἐοῦσαι.

88 ἔπι εἰδιόων καὶ *A*, ἐπιμειδιόων καὶ VV^3E^1, ἔπι μειδ. καὶ (potest esse κειδ.) *P*, ἔπι κυδιόων μετὰ *rtlk* 97 -έντως *v*, -εντα *k* 101 δέδυντο AVE^1, δέδεντο *rP* 102 πὰρ (παρ *P*) κατ. *v*, παρκατ. *k* 105 -μεμαῶτες *v*, -μογέοντες ex *Pego* 107 νεφέεσσιν *v*, νιφάδ. *Pierson tlk* 108 ὄρν. *v*, ὤρν. *splk* 110 ἄγχι (k^1 in pr.) k^2 καλὸν *v*, πολλὸν *P*

ἀγχόθι δ' ἄσχετον ἆορ ἅδην περιμαρμαίρεσκε
χρυσείῳ τελαμῶνι κεκασμένον ἀργυρέῳ τε
κουλεῷ, ᾧ ἔπι κώπη ἀρηρεμένη ἐλέφαντος
θεσπεσίοις τεύχεσσι μετέπρεπε παμφανόωσα.
τοῖς δὲ παρεκτετάνυστο κατὰ χθονὸς ὄβριμον ἔγχος,
Πηλιὰς ὑψικόμῃσιν ἐειδομένη ἐλάτῃσι,
λύθρου ἔτι πνείουσα καὶ αἵματος Ἑκτορέοιο.
καὶ τότ' ἐν Ἀργείοισι Θέτις κυανοκρήδεμνος
θεσπέσιον φάτο μῦθον ἀκηχεμένη Ἀχιλῆος·
„νῦν μὲν δὴ κατ' ἀγῶνος ἀέθλια πάντα τελέσθη,
ὅσσ' ἐπὶ παιδὶ θανόντι μέγ' ἀχνυμένη κατέθηκα·
ἀλλ' ἴτω ὅς τ' ἐσάωσε νέκυν καὶ ἄριστος Ἀχαιῶν,
καί νύ κέ οἱ θηητὰ καὶ ἄμβροτα τεύχε' ἕσασθαι
δώσω, ἃ καὶ μακάρεσσι μέγ' εὔαδεν ἀθανάτοισιν."
ὣς φάτο· τοὶ δ' ἀνόρουσαν ἐριδμαίνοντ' ἐπέεσσιν,
υἱὸς Λαέρταο καὶ ἀντιθέου Τελαμῶνος
Αἴας, ὃς μέγα πάντας ὑπείρεχεν ἐν Δαναοῖσιν,
ἀστὴρ ὣς ἀρίδηλος ἀν' οὐρανὸν αἰγλήεντα
Ἕσπερος, ὃς μέγα πᾶσι μετ' ἀστράσι παμφαίνῃσι·
τῷ εἰκὼς τεύχεσσι παρίστατο Πηλείδαο.
ᾔτεε δ' Ἰδομενῆα κριτὴν καὶ Νηλέος υἷα
ἠδ' ἄρα μητιόεντ' Ἀγαμέμνονα· τοὺς γὰρ ἐώλπει
ἴδμεναι ἀτρεκέως ἐρικυδέος ἔργα μόθοιο·
ὣς δ' αὔτως Ὀδυσεὺς κείνοις ἐπὶ πάγχυ πεποίθει·
οἱ γὰρ ἔσαν πινυτοὶ καὶ ἀμύμονες ἐν Δαναοῖσι.

116 παρηραμ. AE^1, ἀρηραμ. *v*, ἀρηρεμ. *ego* -αντα *P*, -αντι *t* ol. 120 ἐπιπν. *AP*, em. *r* 123 καὶ *A*, κατ' *rP* 125 κ' *v*, τ' st^1splk 126 νῦν οἱ st^1l 127 μετεύαδεν *v*, μέγ' εὔ. st^1lk -σι *v*, -σιν st^1lk 132 ἄστρασι *P* -ησι *v*, -ῃσι *tl* 134 αὐτὸν *v*, αὐτὸς *pk*, hic quidem lacunae signis post h. v. positis [velut τήνδ' ἔριν ἀμφοτέροις ἰθυνέμεν ἠδὲ δικάσσαι], κλυτὸν $(k)lst^2P$, κριτὴν (*k*)*ego* 135 -όωντ' *AP*, em. *r* 137 ἔπι *v*, ἐπὶ *spk*

Νέστωρ δ' Ἰδομενῆι καὶ Ἀτρέος υἱέι δίῳ
ἄμφω ἐελδομένοισιν ἔπος φάτο νόσφιν ἀπ' ἄλλων·
„ὦ φίλοι, ἦ μέγα πῆμα καὶ ἄσχετον ἤματι τῷδε
ἡμῖν συμφορέουσιν ἀκηδέες Οὐρανίωνες,
Αἴαντος μεγάλοιο περιφραδέος τ' Ὀδυσῆος
ἐσσυμένων ἐπὶ δῆριν ἀάσχετον ἀργαλέην τε·
τῶν γάρ ϑ' ὁπποτέρῳ δώῃ ϑεὸς εὖχος ἀρέσϑαι,
γηϑήσει κατὰ ϑυμόν, ὁ δ' αὖ μέγα πένϑος ἀέξει
πάντας ἀτεμβόμενος Δαναούς, περὶ δ' ἔξοχα πάντων
ἡμέας, οὐδ' ἔτι κεῖνος ἐν ἡμῖν ὡς τὸ πάροιϑε
στήσεται ἐν πολέμῳ· μέγα δ' ἔσσεται ἄλγος Ἀχαιοῖς,
κείνων ὅν τινα δεινὸς ἕλῃ χόλος, οὕνεκα πάντων
ἡρώων προφέρουσιν, ὁ μὲν πολέμῳ, ὁ δὲ βουλῇ.
ἀλλ' ἄγ' ἐμοὶ πείϑεσϑαι, ἐπεί ῥα γεραίτερός εἰμι
λίην, οὐκ ὀλίγον περ, ἔχω δ' ἐπὶ γήραϊ πολλῷ
καὶ νόον, οὕνεκεν ἐσϑλὰ καὶ ἄλγεα πολλὰ μόγησα·
αἰεὶ δ' ἐν βουλῇσι γέρων πολύιδρις ἀμείνων
ὁπλοτέρου πέλει ἀνδρός, ἐπεὶ μάλα μυρία οἶδε·
τοὔνεκα Τρωσὶν ἐφῶμεν ἐΰφροσι τῇνδε δικάσσαι
ἀντιϑέῳ τ' Αἴαντι φιλοπτολέμῳ τ' Ὀδυσῆι,
ὅν τινα δήιοι ἄνδρες ὑποτρομέουσι μάλιστα 158ª (IV,525)
ἠδ' ὅτις ἐξεσάωσε νέκυν Πηληιάδαο
ἐξ ὀλοοῦ πολέμοιο· δορύκτητοι γὰρ ἐν ἡμῖν
πολλοὶ Τρῶες ἔασι νεοδμήτῳ ὑπ' ἀνάγκῃ·
οἵ ῥα δίκην ἰϑεῖαν ἐπὶ σφίσι ποιήσονται

145 *ϑ' v*, *ῥ' k*¹, sed del. in praef. 150 *ἥν τινα P* 152 *ἐμεῖο Ag*, *ἐμοῖο P*, *ἐμοὶ* corr. *rsc* *πείϑεσϑε Arsct*, *πιϑέσϑε C*¹, *πίϑεσϑε gP*, *πείϑεσϑον hyhsplk*, *πείϑεσϑ' ἐπειή h*, *πείϑεσϑαι ἐπεί* (an *ἐμεῖο πιϑέσϑαι ἐπεὶ*?) *ego* *ἐπεὶ προγενέστερός εἰμι* ci. *n* 154 *ἀγλαὰ sp* 158 et ante et post h. v. lacunarum signa pos. *k* (prioris auctor *t*), quarum alterum *Treu* ex *P* versu IV, 525 huc transposito explevit

οὔ τινι ἦρα φέροντες, ἐπεὶ μάλα πάντας Ἀχαιοὺς
ἶσον ἀπεχθαίρουσι κακῆς μεμνημένοι ἄτης."
ὣς φάμενον προσέειπεν ἐυμμελίης Ἀγαμέμνων·
„ὦ γέρον, ὡς οὔ τις πινυτώτερος ἄλλος ἐν ἡμῖν
σεῖο πέλει Δαναῶν, οὔτ' ἂρ νέος οὔτε παλαιός,
ὃς φῂς Ἀργείοισιν ἀνηλεγέως χαλεπῆναι
ἄνδρα τόν, ὅν τινα τῶνδε θεοὶ μετόπισθε βάλωνται
νίκης· οἱ γὰρ ἄριστοι ἐπὶ σφίσι δηριόωνται·
καί ῥά μοι ἔνδοθεν ἦτορ ἐνὶ φρεσὶ ταῦτα μενοινᾷ,
ὄφρα δορυκτήτοισι δικασπολίην ὀπάσσωμεν·
τοὺς καὶ ἀτεμβόμενός τις ὀλέθρια μήσεται ἔργα
Τρωσὶν ἐυπτολέμοισι, χόλον δ' οὐκ ἄμμιν ὀπάσσει."
ὣς φάτο· τοὶ δ' ἕνα θυμὸν ἐνὶ στέρνοισιν ἔχοντες
ἀμφαδὸν ἠνήναντο δικασπολίην ἀλεγεινήν·
τῶν δ' ἄρ' ἀναινομένων Τρώων ἐρικυδέες υἷες
ἕζοντ' ἐν μέσσοισι δορύκτητοί περ ἐόντες,
ὄφρα θέμιν καὶ νεῖκος ἀρήιον ἰθύνωσιν.
Αἴας δ' ἐν μέσσοισι μέγ' ἀσχαλόων φάτο μῦθον·
„ὦ Ὀδυσεῦ φρένας αἰνέ, τί τοι νόον ἤπαφε δαίμων
ἶσον ἐμοὶ φρονέειν περὶ κάρτεος ἀκαμάτοιο;
ἦ φῂς αἰνὸν ὅμιλον ἐρυκακέειν Ἀχιλῆος
βλημένου ἐν κονίῃσιν, ὅτ' ἀμφί ἑ Τρῶες ἔβησαν,
ὁππότ' ἐγὼ κείνοισι φόνον στονόεντ' ἐφέηκα
σεῖο καταπτώσσοντος; ἐπεί νύ σε γείνατο μήτηρ
δείλαιον καὶ ἄναλκιν, ἀφαυρότερόν περ ἐμεῖο,

168 ἀπηλ. *h* 169 ἀνέρα ὅντινα *v*, ἀνδρῶν ὅ. *t*, ὅντινά κεν τῶνδ' ἄνδρα *hl*; ἄνδρα τόν, ὅ. *k* 170 ἐνὶ *v*, ἐπὶ *k* δηϊό. *A*, corr. *tP* 171 καὶ δή μοι *P*, an καὶ δ' ἐμοί? 173 τοὺς γὰρ ci. *p* μήσατο *AP*, em. *rsc* 176 ἀνήν. *A*, ἠνήν. *r*, ἠνήν. *tlkP* ἐρατεινήν *v*, ἐρίτιμον *h*, ἀλεγεινήν *pst*[1]*l* 181 ἤκαχε *AP*, em. *r* 182 ἀκμήτ. *v*, ἀκαμάτ. *st*[2]*k* 183 ἦ *v*, ἤ *k*

ὅσσον τίς τε κύων μεγαλοβρύχοιο λέοντος·
οὐ γάρ τοι στέρνοισι πέλει μενεδήιον ἦτορ,
ἀλλὰ σοὶ ἀμφιμέμηλε δόλος καὶ ἀτάσθαλα ἔργα.
ἦε τόδ' ἐξελάθου, ὅτ' ἐς Ἰλίου ἱερὸν ἄστυ
ἐλθέμεναι ἀλέεινες ἅμ' ἀγρομένοισιν Ἀχαιοῖς,
καί σε καταπτώσσοντα καὶ οὐκ ἐθέλοντ' ἐφέπεσθαι
ἤγαγον Ἀτρεῖδαι; ὡς μὴ ὤφειλες ἱκέσθαι·
σῆς γὰρ ὑπ' ἐννεσίῃσι κλυτὸν Ποιάντιον υἷα
Λήμνῳ ἐν ἠγαθέῃ λίπομεν μεγάλα στενάχοντα·
οὐκ οἴῳ δ' ἄρα τῷ γε λυγρὴν ἐπεμήσαο λώβην,
ἀλλὰ καὶ ἀντιθέῳ Παλαμήδεϊ θῆκας ὄλεθρον,
ὃς σέο φέρτερος ἔσκε βίῃ καὶ ἐύφρονι βουλῇ.
νῦν δ' ἤδη καὶ ἐμεῖο καταντίον ἐλθέμεν ἔτλης,
οὔτ' εὐεργεσίης μεμνημένος, οὔτέ τι θυμῷ
ἀζόμενος σέο πολλὸν ὑπέρτερον, ὅς σ' ἐνὶ χάρμῃ
ἐξεσάωσα πάροιθεν ὑποτρομέοντα κυδοιμὸν
δυσμενέων, ὅτε σ' ἄλλοι ἀνὰ μόθον οἰωθέντα
κάλλιπον ἐν δηίων ὁμάδῳ φεύγοντα καὶ αὐτόν·
ὡς ὄφελον καὶ ἐμεῖο θρασὺ σθένος ἐν δαῒ κείνῃ
αὐτὸς Ζεὺς ἐφόβησεν ἀπ' αἰθέρος, ὄφρά σε Τρῶες
ἀμφιτόμοις ξιφέεσσι διὰ μελεϊστὶ κέδασσαν
δαῖτα κυσὶ σφετέροισι, καὶ οὐκ ἂν ἐμεῖο μενοίνας
ἐλθέμεναι κατέναντα δολοφροσύνῃσι πεποιθώς.
σχέτλιε, τίπτε βίῃ πολὺ φέρτατος ἔμμεναι ἄλλων
εὐχόμενος μέσσοισιν ἔχεις νέας, οὐδέ τι θυμῷ
ἔτλης, ὥς περ ἔγωγε, θοὰς ἔκτοσθεν ἐρύσσαι

190 *θάρσος* *A*, *θράσος* $V V^{123}$ *rt*, *θρόος* *st*², *τρόμος* (rec. *l*) vel *δέος* vel *φόβος* ol. ci. *k*, in edd. autem *h* secutus lacunam statuit hoc fere modo *οὐδὲ σοὶ ἀ. θράσος* [*καὶ ἀρήια ἔργα*], *ἀλλὰ* [*δέος τε δόλος τε κακὸς*] *καὶ ἀ. ἔ.* sed praestat *δόλος*, quod ci. *p Jacobs*, praebet *P*, unde *ego* recepi 208 *διαμελ.* *v*, distinxi 212 *ἔχες* *AE*¹*P*, em. *r*

νῆας; ἐπεί νύ σε τάρβος ἐπήιεν. οὐδὲ μὲν αἰνὸν
πῦρ νηῶν ἀπάλαλκες· ἐγὼ δ' ὑπ' ἀταρβέι θυμῷ
ἔστην καὶ πυρὸς ἄντα καὶ Ἕκτορος, ὅς μοι ὕπεικε
πάντῃ ἐν ὑσμίνῃ· σὺ δέ μιν περιδείδιες αἰεί.
ὡς ὄφελον τόδε νῶιν ἐνὶ πτολέμῳ τις ἄεθλον
θῆκεν, ὅτ' ἀμφ' Ἀχιλῆι δεδουπότι δῆρις ὀρώρει,
ὄφρ' ἐκ δυσμενέων με καὶ ἀργαλέοιο κυδοιμοῦ
ἔδρακες ἔντεα καλὰ ποτὶ κλισίας φορέοντα
αὐτῷ ὁμῶς Ἀχιλῆι δαΐφρονι. νῦν δ' ἄρα μύθων
ἰδρείῃ πίσυνος μεγάλων ἐπιμαίεαι ἔργων·
οὐ γάρ τοι σθένος ἐστὶν ἐν ἔντεσιν ἀκαμάτοισι
δύμεναι Αἰακίδαο δαΐφρονος οὐδὲ μέγ' ἔγχος
νωμῆσαι παλάμῃσιν· ἐμοὶ δ' ἄρα πάντα τέτυκται
ἄρτια, καί μοι ἔοικε φορήμεναι ἀγλαὰ τεύχη
οὔ τι καταισχύνοντι θεοῦ περικαλλέα δῶρα.
ἀλλὰ τί ἢ μύθοισιν ἐριδμαίνοντε κακοῖσιν
ἕσταμεν ἀμφ' Ἀχιλῆος ἀμύμονος ἀγλαὰ τεύχη,
ὅς τις φέρτερός ἐστιν ἐνὶ φθισήνορι χάρμῃ;
ἀλκῆς γὰρ τόδ' ἄεθλον ἀρήιον, οὐκ ἀλεγεινῶν
θῆκεν ἐνὶ μέσσοις ἐπέων Θέτις ἀργυρόπεζα·
μύθων δ' εἰν ἀγορῇ χρειὼ πέλει ἀνθρώποισιν·
οἶδα γάρ, ὡς σέο πολλὸν ἀγαυότερος καὶ ἀρείων
εἰμί· γένος δέ μοί ἐστιν, ὅθεν μεγάλῳ Ἀχιλῆι."
ὣς φάτο· τὸν δ' ἀλεγεινὰ παραβλήδην ἐνένιπεν

216 *μ' ὑπόεικε v*, *μοι ὕπεικε splk* 217 *πάσῃ. P* *δείδιες AP*, *περιδείδ. C^1tlk*, *μάλα δείδ.* ci. *r* 224 *-σιν v*, *-σι k* 225 *μὲν v*, *μέγ' k* 227 *ἄρτια v*, *ἄντια P*, *ἄρμενα C^{12}hyk* 230 post h. v. interpunctione interrogationis admissa lacunae signa pos. *tlk* [velut *ἀλλ' ἄγε χαλκείης πειρήσομεν ἐγχείῃσιν*], sustulerunt interpunctione post *χάρμῃ* promota *b*, versu 231 ante v. 230 transposito *st^1* 233 *-οισιν Ak^1*, *-οις C^1tlk^2P* 237 *-ισπεν v*, *-ιπεν k*

υἱὸς Λαέρταο πολύτροπα μήδεα νωμῶν·
„Αἶαν ἀμετροεπές, τί νύ μοι τόσα μὰψ ἀγορεύεις;
οὐτιδανόν τέ μ' ἔφησθα καὶ ἀργαλέον καὶ ἄναλκιν
ἔμμεναι, ὃς σέο πολλὸν ὑπέρτερος εὔχομαι εἶναι
μήδεσι καὶ μύθοισιν, ἅ τ' ἀνδράσι κάρτος ἀέξει·
καὶ γάρ τ' ἠλίβατον πέτρην ἄρρηκτον ἐοῦσαν
μήτι ὑποτμήγουσιν ἐν οὔρεσι λατόμοι ἄνδρες
ῥηιδίως, μήτι δὲ μέγαν βαρυηχέα πόντον
ναῦται ὑπεκπερόωσιν, ὅτ' ἄσπετα κυμαίνηται·
τέχνῃσιν δ' ἀγρόται κρατεροὺς δαμόωσι λέοντας
πορδάλιάς τε σύας τε καὶ ἄλλων ἔθνεα θηρῶν·
ταῦροι δ' ὀβριμόθυμοι ὑπὸ ζεύγλῃς δαμόωνται
ἀνθρώπων ἰότητι· νόῳ δέ τε πάντα τελεῖται.
αἰεὶ δ' ἀφραδέος πέλει ἀνέρος ἀμφὶ πόνοισι
πᾶσι καὶ ἐν βουλῇσιν ἀνὴρ πολύιδρις ἀμείνων·
τοὔνεκ' ἐυφρονέοντα θρασὺς πάις Οἰνείδαο
λέξατό μ' ἐκ πάντων ἐπιτάρροθον, ὄφρ' ἀφίκωμαι
ἐς φύλακας· μέγα δ' ἔργον ὁμῶς ἐτελέσσαμεν ἄμφω·
καὶ δ' αὐτὸν Πηλῆος ἐυσθενέος κλυτὸν υἷα
ἤγαγον Ἀτρείδῃσιν ἐπίρροθον· ἢν δὲ καὶ ἄλλου
ἥρωος χρειώ τις ἐν Ἀργείοισι πέληται,
οὐδ' ὅ γε χερσὶ τεῇσιν ἐλεύσεται, οὐδὲ μὲν ἄλλων
Ἀργείων βουλῇσιν, ἐγὼ δέ ἑ μοῦνος Ἀχαιῶν
ἄξω μειλιχίοισι παραυδήσας ἐπέεσσι
δῆριν ἐς αἰζηῶν· μέγα γὰρ κράτος ἀνδράσι μῦθος
γίνετ' ἐυφροσύνῃ μεμελημένος· ἠνορέη δὲ

240 με φῆσθα *A*, δέ με φ. $V^3 E^1$, δέ με φῆσθας *P*, τέ μ' ἔφησθα *hytk*, ταρβαλέον τέ μ' ἔ. καὶ οὐτιδανὸν *l* 242 -σιν τάτ' *A*, -σι τάτ' *rtlk*, -σι ἅτ' *P*, -σιν ἅτ' *ego* 247 -σι *v*, -σιν *k* 248 παρδ. *v*, πορδ. *k* 249 -ης *A*, -ῃς *tsplkP* 256 -έα *v*, -έος *rsplkP* 260 δέ γε *P* 263 γίγνεται ἐϋφροσύνῃ μεμιγμένος *A*, γ. εὐφροσύνῃσι (vel γίγνετ' ἐϋφρ. *r*) μ.

ἄπρηκτος τελέθει μέγεθός τ' εἰς οὐδὲν ἀέξει
ἀνέρος, εἰ μή οἱ πινυτὴ ἐπὶ μῆτις ἕπηται.
αὐτὰρ ἐμοὶ καὶ κάρτος ὁμῶς καὶ μῆτιν ὄπασσαν
ἀθάνατοι, τεῦξαν δὲ μέγ' Ἀργείοισιν ὄνειαρ.
οὐδὲ μὲν ὡς σύ μ' ἔφησθα πάρος φεύγοντα σάωσας
δηίου ἐξ ἐνοπῆς· οὐ γὰρ φύγον, ἀλλ' ἅμα πάντας
Τρῶας ἐπεσσυμένους μένον ἔμπεδον· οἱ δ' ἐπέχυντο
ἀλκῇ μαιμώωντες, ἐγὼ δ' ὑπὸ κάρτεϊ χειρῶν
πολλῶν θυμὸν ἔλυσα· σὺ δ' οὐκ ἄρ' ἐτήτυμα βάζεις·
οὐ γὰρ ἔμοιγ' ἐπάμυνας ἀνὰ μόθον, ἀλλὰ σοὶ αὐτῷ
ἔστης ἦρα φέρων, μή τίς νύ σε δουρὶ δαμάσσῃ
φεύγοντ' ἐκ πολέμοιο. νέας δ' ἐς μέσσον ἔρυσσα
οὔ τι περιτρομέων δηίων μένος, ἀλλ' ἵνα μῆχος
αἰὲν ἅμ' Ἀτρείδῃσιν ὑπὲρ πολέμοιο φέρωμαι·
καὶ σὺ μὲν ἔκτοσθεν στῆσας νέας· αὐτὰρ ἔγωγε
αὐτὸν ἀεικίσσας πληγῇς ὕπο λευγαλέῃσιν
ἐς Τρώων πτολίεθρον ἐσήλυθον, ὄφρα πύθωμαι,
ὁππόσα μητιόωνται ὑπὲρ πολέμου ἀλεγεινοῦ.
οὐδὲ μὲν Ἕκτορος ἔγχος ἐδείδιον, ἀλλὰ καὶ αὐτὸς
ἐν πρώτοις ἀνόρουσα μαχέσσασθαι μενεαίνων
κείνῳ, ὅτ' ἠνορέῃ πίσυνος προκαλέσσατο πάντας.
νῦν δέ σευ ἀμφ' Ἀχιλῆι πολὺ πλέονας κτάνον ἄνδρας
δυσμενέων, ἐσάωσα δ' ὁμῶς τεύχεσσι θανόντα.
οὐδὲ μὲν ἐγχείην τρομέω σέθεν, ἀλλά με λυγρὸν
ἕλκος ἔτ' ἀμφ' ὀδύνῃς περινίσσεται εἵνεκα τευχέων
τῶνδ' ὑπερουτηθέντα δαϊκταμένου τ' Ἀχιλῆος·

rptl, γίνετ' εὐφροσύνη μ. *P*, γίνετ' ἐυφροσύνῃ μεμελημένος *hk* τε *AP*, δὲ em. *r* 264 δ' *AP*, τ' em. *p* 268 ἔφησας *AP*, ἔφησθα *C*[1]*rtlk* 278 -θε *v*, -θεν *Phg* στήσας *v*, στῆσας *st*[1] 279 αὐτὸν *v*, αὐτ. *kP* 281 -ωντο *v*, -ωνται *hsplkP* 289 τῶν δ' ὕπερ οὐτιθ. *A*, τῶνδέ περ οὐτηθ. *rptl*, τῶνδ' ὑπερουτ. *kP* τ' add. *rk*

καὶ δ' ἐμοὶ ὡς Ἀχιλῆι πέλει Διὸς ἔξοχον αἷμα."
ὣς ἄρ' ἔφη· τὸν δ' αὖθις ἀμείβετο καρτερὸς Αἴας·
„ὦ Ὀδυσεῦ δολομῆτα καὶ ἀργαλεώτατε πάντων,
οὔ νύ σε κεῖσ' ἐνόησα πονεύμενον, οὐδέ τις ἄλλος
Ἀργείων, ὅτε Τρῶες Ἀχιλλέα δῃωθέντα
ἑλκέμεναι μενέαινον· ἐγὼ δ' ὑπὸ δουρὶ καὶ ἀλκῇ
τῶν μὲν γούνατ' ἔλυσα κατὰ μόθον, οὓς δ' ἐφόβησα
αἰὲν ἐπεσσύμενος· τοὶ δ' ἀργαλέως φοβέοντο
χήνεσιν ἢ γεράνοισιν ἐοικότες, οἷς ἐπορούσῃ
αἰετὸς ἠιόεν πεδίον κάτα βοσκομένοισιν·
ὣς Τρῶες πτώσσοντες ἐμὸν δόρυ καὶ θοὸν ἆορ
Ἴλιον ἐσκατέδυσαν ἀλευάμενοι μέγα πῆμα.
σοὶ δὲ καὶ εἰ τότε κάρτος ἐπήλυθεν, οὔ τι μευ ἄγχι
μάρναο δυσμενέεσσιν, ἑκὰς δέ που ἦσθα καὶ αὐτὸς
ἀμφ' ἄλλῃσι φάλαγξι πονεύμενος, οὐ περὶ νεκρῷ
ἀντιθέου Ἀχιλῆος, ὅπου μάλα δῆρις ὀρώρει."
ὣς φάτο· τὸν δ' Ὀδυσῆος ἀμείβετο κερδαλέον κῆρ·
„Αἶαν, ἐγὼν οὐ σεῖο κακώτερος ἔλπομαι εἶναι
οὐ νόον οὐδὲ βίην, εἰ καὶ μάλα φαίδιμός ἐσσι·
ἀλλὰ νόῳ μὲν ἔγωγε πολὺ προφερέστερός εἰμι
σεῖο μετ' Ἀργείοισι, βίῃ δέ τοι ἀμφήριστος
ἢ καὶ ἀγαυότερος· τὸ δέ που καὶ Τρῶες ἴσασιν,
οἵ με μέγα τρομέουσι, καὶ ἢν ἀπάτερθεν ἴδωνται.
καὶ δ' αὐτὸς σάφα οἶδας ἐμὸν μένος ἠδὲ καὶ ἀλκήν,
ἀμφὶ παλαισμοσύνῃ πολυτειρέι πολλὰ μογήσας,
ὁππότε δὴ περὶ σῆμα δαϊκταμένου Πατρόκλοιο
Πηλείδης ἐρίθυμος ἀγακλυτὰ θῆκεν ἄεθλα."

290 δέ μοι v, δ' ἐμοὶ st[1]k 293 σ' ἐκεῖσ' v, σε κεῖσ' sp 299 καταβοσκ. v, κάτα β. splk 301 ἐς κατέδ. v, ἐσκατ. k[1]. in praef. k[2] 309 νόον v, νόῳ spk (νόω P) 310 δέ κεν v, δέ τοι k (antea ci. δὲ μέγ', δ' ἄρ' ἔτ', δὲ καὶ in praef., βίηφι δ' ἄρ', γέ μεν) 313 ἄλλοι v, ἀλκήν ego

ὣς φάτο Λαέρταο κλυτὸς πάις ἀντιθέοιο.
καὶ τότε Τρώιοι υἷες ἔριν δικάσαντ' ἀλεγεινὴν
αἰζηῶν· **νίκην δὲ καὶ ἄμβροτα τεύχεα δῶκαν**
πάντες ὁμοφρονέοντες ἐυπτολέμῳ Ὀδυσῆι·
τοῦ δ' ἄμοτον γήθησε νόος· στονάχησε δὲ λαός.
παχνώθη δ' Αἴαντος ἐὺ σθένος· αἶψα δ' ἄρ' αὐτῷ
ἄτη ἀνιηρὴ περικάππεσε· πᾶν δέ οἱ εἴσω
ἔζεσε φοίνιον αἷμα, χολὴ δ' ὑπερέβλυσεν αἰνή,
ἥπατι δ' ἔγκατ' ἔμικτο· περὶ κραδίην δ' ἀλεγεινὸν
ἷξεν ἄχος, καὶ δριμὺ δι' ἐγκεφάλοιο θεμέθλων
ἐσσύμενον μήνιγγας ἄδην ἀμφήλυθεν ἄλγος,
σὺν δ' ἔχεεν νόον ἀνδρός· ἐπὶ χθόνα δ' ὄμματα πήξας
ἔστη ἀκινήτῳ ἐναλίγκιος· ἀμφὶ δ' ἑταῖροι
ἀχνύμενοί μιν ἄγεσκον ἐυπρῴρους ἐπὶ νῆας
πολλὰ παρηγορέοντες· ὁ δ' ὑστατίην ποσὶν οἶμον
ἤιεν οὐκ ἐθέλων· σχεδόθεν δέ οἱ ἕσπετο Μοῖρα.
ἀλλ' ὅτε δὴ μετὰ νῆας ἔβαν καὶ ἀπείρονα πόντον
Ἀργεῖοι δόρποιο μεμαότες ἠδὲ καὶ ὕπνου,
δὴ τότ' ἔσω μεγάλοιο Θέτις κατεδύσατο πόντου·
σὺν δέ οἱ ἄλλαι ἴσαν Νηρηίδες· ἀμφὶ δ' ἄρά σφι
νήχετο κήτεα πολλά, τά τε τρέφει ἁλμυρὸν οἶδμα.
αἱ δὲ μέγα σκύζοντο Προμηθέι μητιόεντι
μνώμεναι, ὡς κείνοιο θεοπροπίῃσι Κρονίων
δῶκε Θέτιν Πηλῆι καὶ οὐκ ἐθέλουσαν ἄγεσθαι.
Κυμοθόη δ' ἐν τῇσι μέγ' ἀσχαλόωσ' ἀγόρευεν·

325 *δίῃ v*, *-δίην spk* 328 *χθονὶ v*, *χθόνα* ex *Pego* 333 *μετὰ v*, *κατὰ k* *ἔβη AP*, quo admisso post h. v. lacunae signa [velut *δὴ τότ' ἐπὶ σφετέρας κλισίας ἀφίκοντο καὶ ἄλλοι*] et post *ὕπνον* maiorem interpunctionem pos. *k*, sed *ἔβαν rtlst²* *ἀπειρέα AP*, *ἀτειρ. rtl*, *ἀπείρονα dst²k* 335 *δὴ v*, *καὶ k* *-δύσετο v*, *-σατο k* 336 *σφιν v*, *σφι k* 338 *θέα -όωντα AP*, em. *r* 341 *ἐνὶ v*, *ἐν k*

„ὢ πόποι, ὡς ὅ γε λυγρὸς ἐπάξια πήμαθ' ὑπέτλη
δεσμῷ ἐν ἀρρήκτῳ, ὅτε οἱ μέγας αἰετὸς ἧπαρ
κεῖρεν ἀεξόμενον κατὰ νηδύος ἔνδοθι δύνων."
ὣς φάτο Κυμοθόη κυανοπλοκάμοις ἁλίῃσιν.
ἠέλιος δ' ἀπόρουσεν, ἐπεσκιόωντο δ' ἀλωαὶ
νυκτὸς ἐπεσσυμένης, ἐπεκίδνατο δ' οὐρανὸν ἄστρα.
Ἀργεῖοι δ' ἐπὶ νηυσὶ τανυπρώροισιν ἴαυον
ὕπνῳ ὑπ' ἀμβροσίῳ δεδμημένοι ἠδὲ καὶ οἴνῳ
ἡδέι, τὸν Κρήτηθε παρ' Ἰδομενῆος ἀγαυοῦ
ναῦται ὑπὲρ πόντοιο πολυκλύστοιο φέρεσκον.
Αἴας δ' Ἀργείοισι χολούμενος οὔτ' ἄρα δόρπου
μνήσατ' ἐνὶ κλισίῃ μελιηδέος, οὔτέ μιν ὕπνος
ἄμφεχεν, ἀλλ' ὅ γ' ἑοῖσιν ἐν ἔντεσι δύσατο θύων.
εἵλετο δὲ ξίφος ὀξὺ καὶ ἄσπετα πορφύρεσκεν,
ἢ ὅ γε νῆας ἐνιπρήσῃ καὶ πάντας ὀλέσσῃ
Ἀργείους, ἢ μοῦνον ὑπὸ ξίφεϊ στονόεντι
δῃώσῃ μελεϊστὶ θοῶς δολόεντ' Ὀδυσῆα.
καὶ τὰ μὲν ὣς ὥρμαινε, τὰ δὴ τάχα πάντα τέλεσσεν,
εἰ μή οἱ Τριτωνὶς ἀάσχετον ἔμβαλε λύσσαν·
κήδετο γὰρ φρεσὶν ᾗσι πολυτλήτου Ὀδυσῆος
ἱρῶν μνωομένη, τά οἱ ἔμπεδα κεῖνος ἔρεξε·
τοὔνεκα δὴ μεγάλοιο μένος Τελαμωνιάδαο
τρέψεν ἀπ' Ἀργείων. ὁ δ' ἄρ' ἤιε λαίλαπι ἶσος
σμερδαλέῃ στυγερῇσι καταιγίσι βεβριθυίῃ,

344 *ἔνδ. βαίνων v, ἐγγύθι β. hl, ἔνδ. δύνων k* 354 *ἀλλὰ τεοῖσιν AP, ἀλλά γ' ἑοῖσιν Vt, ἀλλά γε οἷσιν E*[1], *ἀλλὰ ἑοῖσιν* vel *θοοῖσιν r, ἀλλ' ἄρ' ἑοῖσιν bl*[1], *ἀλλ' ὅγ' ἑοῖσιν spl*[2]*k* 356 *ὅγ' ἐνιπρήσῃ πυρὶ νῆας καὶ A, ὅγ' ἐνιπρήσας π. ν. r (ν. π. k* ol.), *ὅγ' ἐνιπρήσῃ ν. καὶ E*[1]*rtlk, ὅγε νῆας ἐνιπρήσει καὶ P, ὅγε ν. ἐνιπρήσῃ καὶ ego* 358 *θοῶς v, ταμὼν k* 359 *ὅρμ. P πάντ' ἐτέλ. v*, corr. *k*[1] in praef. *k*[2] 361 *μήδ. A, κήδ. VPtlk* 362 *ὄρεξεν v, ἔρ. st*[1]*bl, ἔρεξε k*

ἥ τε φέρει ναύτῃσι τέρας κρυεροῖο φόβοιο,
Πληιὰς εὖτ' ἀκάμαντος ἐς Ὠκεανοῖο ῥέεθρα
δύεθ' ὑποπτώσσουσα περικλυτὸν Ὠρίωνα,
ἠέρα συγκλονέουσα, μέμηνε δὲ χείματι πόντος·
τῇ εἰκὼς οἴμησεν, ὅπῃ μιν γυῖα φέρεσκον.
πάντῃ δ' ἀμφιθέεσκεν ἀναιδέι θηρὶ ἐοικώς,
ὅς τε βαθυσκοπέλοιο διέσσυται ἄγκεα βήσσης
ἀφριόων γενύεσσι καὶ ἄλγεα πολλὰ μενοινῶν
ἢ κυσὶν ἢ ἀγρόταις, οἵ οἱ τέκνα δηώσωνται
ἄντρων ἐξερύσαντες, ὃ δ' ἀμφιθέῃσι βεβρυχώς,
εἴ που ἔτ' ἐν ξυλόχοισιν ἴδοι θυμήρεα τέκνα·
τῷ δ' εἴ τις κύρσειε μεμηνότα θυμὸν ἔχοντι,
αὐτοῦ οἱ βιότοιο λυγρὸν περιτέλλεται ἦμαρ·
ὣς ὅ γ' ἀμείλιχα θῦνε, μέλαν δέ οἱ ἔζεεν ἦτορ,
εὖτε λέβης ἀλίαστον ἐπ' ἐσχάρῃ Ἡφαίστοιο
ῥοιβδηδὸν μαίνηται ὑπαὶ πυρὸς αἰθομένοιο,
γάστρην ἀμφὶς ἅπασαν ὅτε ξύλα πολλὰ θέρηται,
ἐννεσίῃς δρηστῆρος ἐπειγομένου ἐνὶ θυμῷ,
εὐτραφέος σιάλοιο περὶ τρίχας ὥς κεν ἀμέρσῃ·
ὣς τοῦ ὑπὸ στέρνοισι πελώριος ἔζεε θυμός.
μαίνετο δ' ἠύτε πόντος ἀπείριτος ἠὲ θύελλα
ἢ πυρὸς ἀκαμάτοιο θοὸν μένος, εὖτ' ἀλίαστον
μαίνηται κατ' ὄρεσφι βίῃ μεγάλου ἀνέμοιο,
πίπτῃ δ' αἰθομένῃ πυρὶ πάντοθεν ἄσπετος ὕλη·
ὣς Αἴας ὀδύνῃσι πεπαρμένος ὄβριμον ἦτορ
μαίνετο λευγαλέως· ἄπλετος δέ οἱ ἔρρεεν ἀφρὸς

375 *ἀμφὶ γέννσι AP*, *ἀ γέννσσι* lacunae signis post h. v. positis [velut *μαινόμενος δίζηται ἀνὰ ῥωπήια πυκνά*] *sck*, *ἀμφιθέῃσι ptl* 382 *ἀμφὶ δὲ πᾶσαν A*, *ἀμφί γε π. rtl*, *ἀμφὶς ἅπ. k* 385 *στέρνοιο P* 386 *ἠδὲ v*, *ἠὲ spst¹blk* 389 *πίπτει A*, *-ῃ ptlk* (*-η P*)

ἐκ στόματος, βρυχὴ δὲ περὶ γναθμοῖσιν ὀρώρει·
τεύχεα δ' ἀμφ' ὤμοισιν ἐπέβραχε. τοὶ δ' ὁρόωντες
πάντες ὁμῶς ἑνὸς ἀνδρὸς ὑποτρομέεσκον ὁμοκλήν.
καὶ τότ' ἀπ' Ὠκεανοῖο κίε χρυσήνιος Ἠώς·
Ὕπνος δ' οὐρανὸν εὐρὺν ἀνήιεν εἴκελος αὔρῃ,
Ἥρῃ δὲ ξύμβλητο νέον πρὸς Ὄλυμπον ἰούσῃ
Τηθύος ἐξ ἱερῆς, ὅθι που προτέρῃ μόλεν ἠοῖ·
ἡ δέ ἑ κύσσεν ἑλοῦσ', ἐπεὶ ἦ πέλε γαμβρὸς ἀμύμων,
ἐξ οὗ οἱ Κρονίωνα κατεύνασεν ἐν λεχέεσσιν
Ἴδης ἀμφὶ κάρηνα χολούμενον Ἀργείοισιν·
αἶψα δ' ἄρ' ἣ μὲν ἔβη Ζηνὸς δόμον, ὃς δ' ἐπὶ λέκτρα
Πασιθέης οἴμησεν· ἀνέγρετο δ' ἔθνεα φωτῶν.
Αἴας δ' ἀκαμάτῳ ἐναλίγκιος Ὠρίωνι
φοίτα ἐνὶ στέρνοισιν ἔχων ὀλοόφρονα λύσσαν.
ἐν δ' ἔθορεν μήλοισι, λέων ὣς ὀβριμόθυμος
λιμῷ ὑπ' ἀργαλέῃ δεδμημένος ἄγριον ἦτορ·
καὶ τὰ μὲν ἐν κονίῃσιν ἐπασσύτερ' ἄλλοθεν ἄλλα
κάββαλεν, ἠύτε φύλλα μένος κρατεροῦ Βορέαο
χεύῃ, ὅτ' ἀνομένου θέρεος μετὰ χεῖμα τράπηται·
ὣς Αἴας μήλοισι μέγ' ἀσχαλόων ἐνόρουσεν
ἐλπόμενος Δαναοῖσι κακὰς ἐπὶ κῆρας ἰάλλειν.
καὶ τότε δὴ Μενέλαος ἀδελφεῷ ἄγχι παραστὰς
κρύβδ' ἄλλων Δαναῶν τοῖον ποτὶ μῦθον ἔειπε·
„σήμερον ἦ τάχα πᾶσιν ὀλέθριον ἔσσεται ἦμαρ
Αἴαντος μεγάλοιο περὶ φρεσὶ μαινομένοιο,
ὃς τάχα νῆας ἐνιπρήσει, κτανέει δὲ καὶ ἡμέας
πάντας ἐνὶ κλισίῃσι κοτεσσάμενος περὶ τευχέων.

393 ὑπέβρ. *v*, ἐπέβρ. *wst[1]lk* 399 ἐπεί οἱ *v*, ὅτι οἱ *hlk[1]*, ἐπειὴ *k[2]* 406 -ρε *v*, -ρεν *k* 407 ἀργαλέῳ *v*, -ῃ *ego* 410 ἀνυμ. *AP*, ἀνομ. *hytlk* μέγα *Δ*, μετὰ *hytlkP* 414 -πεν *v*, -πε *k*

ὡς ὄφελον μὴ τῶνδε Θέτις περὶ δῆριν ἔθηκε,
μηδ' ἄρα Λαέρταο πάις μέγ' ἀμείνονι φωτὶ
ἔτλη δηριάασθαι ἐναντίον ἄφρονι θυμῷ·
νῦν δὲ μέγ' ἀασάμεσθα, κακὸς δέ τις ἤπαφε δαίμων·
ἕρκος γὰρ πολέμοιο δεδουπότος Αἰακίδαο
μοῦνον ἔτ' ἦν Αἴαντος ἐὺ σθένος· ἀλλ' ἄρα καὶ τὸν
ἡμῖν ἐξολέσουσι θεοὶ κακὰ νῶιν ἄγοντες,
ὥς κεν πάντες ἄιστον ἀναπλήσωμεν ὄλεθρον."
ὣς φάμενον προσέειπεν ἐυμμελίης Ἀγαμέμνων·
„μὴ νῦν, ὦ Μενέλαε, μέγ' ἀχνύμενος περὶ θυμῷ
σκύζεο μητιόεντι Κεφαλλήνων βασιλῆι,
ἀλλὰ θεοῖς, οἳ νῶιν ὀλέθρια μητιόωνται· 429^a
οὐ γὰρ ὅ γ' αἴτιός ἐστιν, ἐπεὶ μάλα πολλάκις ἡμῖν
γίνεται ἐσθλὸν ὄνειαρ, ἄχος δ' ἄρα δυσμενέεσσιν."
ὣς οἵ μὲν Δαναῶν ἀκαχήμενοι ἠγορόωντο.
μηλονόμοι δ' ἀπάνευθε παρὰ Ξάνθοιο ῥεέθροις
πτῶσσον ὑπὸ μυρίκησιν ἀλευάμενοι βαρὺ πῆμα·
ὡς δ' ὅταν αἰετὸν ὠκὺν ὑποπτώσσωσι λαγωοὶ
θάμνοις ἐν λασίοισιν, ὁ δ' ἐγγύθεν ὀξὺ κεκληγὼς
πωτᾶτ' ἔνθα καὶ ἔνθα τανυσσάμενος πτερύγεσσιν·
ὣς οἵ γ' ἄλλοθεν ἄλλος ὑπέτρεσαν ὄβριμον ἄνδρα.
ὀψὲ δ' ὅ γ' ἀρνειοῖο κατακταμένου σχεδὸν ἔστη,
καί ῥ' ὀλοὸν γελάσας τοῖον ποτὶ μῦθον ἔειπε·
„κεῖσό νυν ἐν κονίῃσι, κυνῶν βόσις ἠδ' οἰωνῶν·
οὐ γάρ σ' οὐδ' Ἀχιλῆος ἐρύσσατο κύδιμα τεύχη,

419 *πρὶν AP, πέρι rptlk* *-κεν P* 422 *ἤκαχε v, ἤπαφε* bl^1k 425 *ἡμέων AP, ἡμῖν ptlk* *ἐξολόωσι AP, -έουσι* vel *-ολέκουσι* vel *-αλαῶσι r, -ολέσουσι ptlk* 429 *-όωντι AP,* corr. *r* 429^a hunc v. ubique omissum ex *P* solo addidi 434 *ὑπαὶ v, ὑπὸ k* 435 *-ουσι AP, -ωσι r Friedemann* st^1 *t l k* 436 *ὅτε A, ὅτ' rP, ὁ δ' splk* 442 *οὔτ' v, οὐδ'* (*r*)*spk*

ὧν ἕνεκ' ἀφραδέως μέγ' ἀμείνονι δηριάασκες·
κεῖσο, κύον· σὲ γὰρ οὔ τι γοήσεται ἀμφιπεσοῦσα
κουριδίη μετὰ παιδὸς ἀάσχετον ἀσχαλόωσα,
οὐ τοκέες· τοῖς οὔ τι μετέσσεαι ἐλδομένοισι
γήραος ἐσθλὸν ὄνειαρ, ἐπεί νύ σε τῆλ' ἀπὸ πάτρης
οἰωνοί τε κύνες τε δεδουπότα δαρδάψουσιν.“
ὣς ἄρ' ἔφη (δολόεντα μετὰ κταμένοις Ὀδυσῆα
κεῖσθαι ὀιόμενος μεμορυγμένον αἵματι πολλῷ.)
καὶ τότε οἱ Τριτωνὶς ἀπὸ φρενὸς ἠδὲ καὶ ὄσσων
ἐσκέδασεν Μανίην βλοσυρήν (πνείουσαν ὄλεθρον)·
ἡ δὲ θοῶς ἵκανε ποτὶ Στυγὸς αἰπὰ ῥέεθρα,
ἧχι θοαὶ ναίουσιν Ἐριννύες, αἵ τε βροτοῖσιν
αἰὲν ὑπερφιάλοισι κακὰς ἐφιᾶσιν ἀνίας.
Αἴας δ', ὡς ἴδε μῆλα κατὰ χθονὸς ἀσπαίροντα,
θάμβεεν ἐν φρεσὶ πάμπαν· ὀίσατο γὰρ δόλον εἶναι
ἐκ μακάρων· πάντεσσι δ' ὑπεκλάσθη μελέεσσι
βλήμενος ἄλγεσι θυμὸν ἀρήιον· οὐδ' ἄρα πρόσσω
ἔσθενεν ἀσχαλόων ἐπιβήμεναι οὔτ' ἄρ' ὀπίσσω,
ἀλλ' ἔστη σκοπιῇ ἐναλίγκιος, ἥ τ' ἐν ὄρεσσι
πασάων μάλα πολλὸν ὑπερτάτη ἐρρίζωται.
ἀλλ' ὅτε οἱ πάλι θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη,
λυγρὸν ἀνεστονάχησεν, ἔπος δ' ὀλοφύρατο τοῖον·
„ὤ μοι ἐγώ, τί νυ τόσσον ἀπέχθομαι ἀθανάτοισιν;
οἵ με φρένας βλάψαντο, κακὴν δ' ἐπὶ λύσσαν ἔθεντο
μῆλα κατακτεῖναι, τά μοι οὐκ ἔσαν αἴτια θυμοῦ.
ὡς ὄφελον τίσασθαι Ὀδυσσέος ἀργαλέον κῆρ

443 -έων v, -έως ex Pego 444 κύων v, κύον st[1]splk
446 ἐλπ. v, ἐλδ. k 452 -ρὸν v, -ρὴν spk 453 αἰνὰ v, αἰπὰ spk 457 ὀΐσσατο v, ὀίσατο kP χόλον v, δόλ. rblk
459 οὔτ' sp 460 ἔτι β. bl 462 -τέρη v, -τάτη st[2]k
464 ἀνεστεν. P -ετο v, -ατο ego 465 ἐγὼν v, ἐγὼ spkP
467 -θυμῷ v, -οῦ rk

χερσὶν ἐμῆς, ἐπεὶ ἦ με κακῇ περικάββαλεν ἄτη
λυγρὸς ἐὼν μάλα πάγχυ· πάθοι γε μὲν ἄλγεα θυμῷ,
ὁππόσα μητιόωνται Ἐριννύες ἀνθρώποισιν
ἀργαλέοις· δοῖεν δὲ καὶ ἄλλοις Ἀργείοισιν
ὑσμίνας ὀλοὰς καὶ πένθεα δακρυόεντα,
αὐτῷ τ' Ἀτρείδῃ Ἀγαμέμνονι· μηδ' ὅ γ' ἀπήμων
ἔλθοι ἑὸν ποτὶ δῶμα λιλαιόμενός περ ἱκέσθαι.
ἀλλὰ τί μοι στυγεροῖσι μετέμμεναι ἐσθλὸν ἐόντα;
ἐρρέτω Ἀργείων ὀλοὸς στρατός, ἐρρέτω αἰὼν
ἄσχετος· οὐ γὰρ ἔτ' ἐσθλὸς ἔχει γέρας, ἀλλὰ χερείων
τιμήεις τε πέλει καὶ φίλτερος· ἦ γὰρ Ὀδυσσεὺς
τίετ' ἐν Ἀργείοισιν, ἐμεῦ δ' ἐπὶ πάγχυ λάθοντο
ἔργων θ', ὁππόσ' ἔρεξα καὶ ἔτλην εἵνεκα λαῶν."
  ὣς εἰπὼν πάις ἐσθλὸς ἐυσθενέος Τελαμῶνος
Ἑκτόρεον ξίφος ὦσε δι' αὐχένος· ἐκ δέ οἱ αἷμα
ἐσσύμενον κελάρυξεν· ὁ δ' ἐν κονίῃσι τανύσθη
Τυφῶν ὥς, τὸν Ζηνὸς ἐνεπρήσαντο κεραυνοί·
ἀμφὶ δὲ γαῖα μέλαινα μέγα στονάχησε πεσόντος.
  καὶ τότε δὴ Δαναοὶ κίον ἀθρόοι, ὡς ἐσίδοντο
κείμενον ἐν κονίῃσι· πάρος δέ οἱ οὔ τις ἵκανεν
ἐγγύς, ἐπεὶ μάλα πάντας ἔχεν δέος εἰσορόωντας.
αἶψα δ' ἄρα κταμένῳ περικάππεσον· ἀμφὶ δὲ κρᾶτα
πρηνέες ἐκχύμενοι κόνιν ἄσπετον ἀμφεχέοντο,
καί σφιν ὀδυρομένων γόος αἰθέρα δῖον ἵκανεν.
ὡς δ' ὅταν εἰροπόκων ὀίων ἄπο νήπια τέκνα
ἀνέρες ἐξελάσωσιν, ἵνά σφισι δαῖτα κάμωνται,

469 *χείρεσ' v, -σσ' P, χερσὶν* C^1st^1hlk *ἐμαῖς v, -ῃς k*
470 *δέ κεν v, δὲ καὶ* st^1l, *δ' ὁ μὲν h, δὲ κάκ' k* ol., *γε μὲν k*
472 *δοῖέν τε VP, δοῖεν A, δὲ* add. *r* 474 *ὅς v, ὅγ' k*
480 *ἀποπάγχυ A, ἀπὸ π. P, ἐπὶ π. tsplk* 481 *θ'* omiss. add. *spk* 490 *-μένου v, -ῳ* st^2kP 491 *κόνιν* omiss. add. *r*
492 *-μένοις rt* *δῖαν hl*

αἳ δὲ μέγα σκαίρουσι διηνεκέως μεμακυῖαι
μητέρες εὐτύκτους σηκοὺς πέρι χηρωθέντας·
ὣς οἵ γ' ἀμφ' Αἴαντα μέγα στένον ἤματι κείνῳ
πανσυδίῃ· μέγα δέ σφιν ἐπέβραχε δάσκιος Ἴδη
καὶ πεδίον καὶ νῆες ἀπειρεσίη τε θάλασσα.
Τεῦκρος δ' ἀμφ' αὐτῷ μάλα μήδετο κῆρας ἐπισπεῖν
ἀργαλέας· τὸν δ' ἄλλοι ἀπὸ ξίφεος μεγάλοιο
εἶργον. ὁ δ' ἀσχαλόων περικάππεσε τεθνειῶτι
δάκρυα πολλὰ χέων ἀδινώτερα νηπιάχοιο,
ὅς τε παρ' ἐσχαρεῶνι τέφρην περιειμένος ὤμοις
κὰκ κεφαλῆς μάλα πάμπαν ὀδύρεται ὀρφανὸν ἦμαρ
μητρὸς ἀποφθιμένης, ἥ μιν τρέφε νῆιδα πατρός·
ὣς ὅ γε κωκύεσκε κασιγνήτοιο δαμέντος
ἑρπύζων περὶ νεκρόν, ἔπος δ' ὀλοφύρατο τοῖον·
„Αἶαν καρτερόθυμε, τί ἤ νύ τοι ἐβλάβετ' ἦτορ
οἷ αὐτῷ στονόεντα φόνον καὶ πῆμα βαλέσθαι;
ἦ ἵνα Τρώιοι υἷες ὀιζύος ἀμπνεύσωσιν,
Ἀργείους δ' ὀλέσωσι σέθεν κταμένοιο κιόντες;
οὐ γὰρ τοῖσδ' ἔτι θάρσος, ὅσον πάρος, ὀλλυμένοισιν
ἔσσεται ἐν πολέμῳ· σὺ γὰρ ἔπλεο πήματος ἄλκαρ.
οὐδ' ἔτ' ἐμοὶ νόστοιο τέλος σέο δεῦρο θανόντος
ἁνδάνει, ἀλλὰ καὶ αὐτὸς ἐέλδομαι ἐνθάδ' ὀλέσθαι,
ὄφρά με σὺν σοὶ γαῖα φερέσβιος ἀμφικαλύπτῃ·
οὐ γάρ μοι τοκέων τόσσον μέλει, εἴ που ἔτ' εἰσίν,

495 *μέγ' ἀσπαίρ. AP*, *μέγ' ἀσκαίρ. rtl*, *μέγα σκ. k* 496 *ἐκ τεκέων v*, *αἵ τ. h*, *ἐκ λεχέων st²*, *εὐτύκτους ego* 500 *κήδ. A*, *μήδ. rP* 508 *-ετο v*, *-ατο ego* 509 *τί δή r?* *σοι v*, *τοι spk* *ἔβλαβεν v* et sic *k* lacunae signis post h. v. positis [velut *δαίμων, ὅς σ' ἀπάφησε χολούμενον εἵνεκα τευχέων* vel *καὶ φρένες ἀργαλέῳ τε χόλῳ καὶ δαίμονος ἄτῃ*], *ἐβλάβη bspl*, *ἐβλάβετ' ego* 515 *οὐδέ τ' v*, *οὐδ' ἔτ' pspk* 516 *ὀίομαι v*, *ἔθ' ἵεμαι b*, *ἅμ' ἵ. k* ol., *ἐέλδ. k* 517 *ὄφρ' ἐμὲ st¹spl* 518 *οἵ πω AP*, *εἴ πω V¹²C²pt*, *εἴ που spst¹lk*

εἴ που ἔτ' ἀμφινέμονται ἔτι ζωοὶ Σαλαμῖνα,
ὅσσον σεῖο θανόντος, ἐπεὶ σύ μοι ἔπλεο κῦδος.“
ἦ ῥα μέγα στενάχων· ἐπὶ δ' ἔστενε δῖα Τέκμησσα,
Αἴαντος παράκοιτις ἀμύμονος, ἥν περ ἐοῦσαν
ληιδίην σφετέρην ἄλοχον θέτο, καί μιν ἁπάντων
ἔμμεν ἔτευξεν ἄνασσαν, ὅσων ἀνὰ δῶμα γυναῖκες
ἐδνωταὶ μεδέουσι παρ' ἀνδράσι κουριδίοισιν·
ἡ δέ οἱ ἀκαμάτῃσιν ὑπ' ἀγκοίνῃσι δαμεῖσα
Εὐρυσάκην τέκεθ' υἱόν, ἐοικότα πάντα τοκῆι·
ἀλλ' ὁ μὲν οὖν ἔτι τυτθὸς ἐνὶ λεχέεσσι λέλειπτο.
ἡ δὲ μέγα στενάχουσα φίλῳ περικάππεσε νεκρῷ
ἐντυπὰς ἐν κονίῃσι καλὸν δέμας αἰσχύνουσα·
καί ῥ' ὀλοφυδνὸν ἄυσε μέγ' ἀχνυμένη κέαρ ἔνδον
„ὤ μοι ἐγὼ δύστηνος, ἐπεὶ θάνες, οὔ τι δαϊχθεὶς
δυσμενέων παλάμῃσι κατὰ μόθον, ἀλλὰ σοὶ αὐτῷ·
τῷ μοι πένθος ἄλαστον ἐποίχεται· οὐ γὰρ ἐώλπειν
σεῖο καταφθιμένοιο πολύστονον ἦμαρ ἰδέσθαι
ἐν Τροίῃ· τὰ δὲ πάντα κακαὶ διὰ Κῆρες ἔχευαν.
ὥς μ' ὄφελον τὸ πάροιθε περὶ τραφερὴ χάνε γαῖα,
πρὶν σέο πότμον ἰδέσθαι ἀμείλιχον· οὐ γὰρ ἔμοιγε
ἄλλο χερειότερόν ποτ' ἐσήλυθεν ἐς φρένα πῆμα,
οὐδ' ὅτε με πρώτιστον ἐμῆς ἀποτηλόθι πάτρης
καὶ τοκέων εἴρυσσας ἅμ' ἄλλῃς ληιάδεσσι
πόλλ' ὀλοφυρομένην, ἐπεὶ ἦ νύ με τὸ πρὶν ἄνασσαν
αἰδοίην περ ἐοῦσαν ἐπήιε δούλιον ἦμαρ·

519 ἐύζωοι ol. ci. *k*   523 sq. ἁπάντων | τεῦξεν ἄν. ἔμεν *AP*, ἄνασσαν | τ. ἀπ. ἔμμεν *hl*, ἄ. | πάντων ἔμμεν ἔτευξεν *k*[1], ἔτευξε | π. ἔ. ἄν. *k*[2], ἀπ. | τεῦξεν ἄν. ὅσων ἀνὰ δ. καλὰ γ. *sp*, ἀπ. | ἔμμεν ἔτευξεν ἄν. *ego* (an κεδνὴν τεῦξεν?)   530 -ῃς *st*[2]   533 -ῃσιν ἀνὰ *v*, -ῃσι κατὰ ex *Pego*   ἀλλά οἱ *v*, ἀλλὰ σοὶ *spk*   537 περὶ omiss. add. *rkP*, ἐμοὶ (om. μ') *pt*, τοπάροιθ' ἀμφὶ *A* in marg. (*t*)*l*   539 εἰς *v*, ἐς *kP*

ἀλλά μοι οὔτε πάτρης θυμηδέος οὔτε τοκήων
μέμβλεται οἰχομένων, ὁπόσον σέο δῃωθέντος,
οὕνεκά μοι δειλῇ θυμήρεα πάντα μενοίνας,
καί ῥά μ' ἔθηκας ἄκοιτιν ὁμόφρονα, καί ῥά μ' ἔφησθα
τεύξειν αὐτίκ' ἄνασσαν ἐυκτιμένης Σαλαμῖνος
νοστήσας Τροίηθε· τὰ δ' οὐ θεὸς ἄμμι τέλεσσεν·
ἀλλὰ σὺ νῦν μὲν ἄιστος ἀποίχεαι, οὐδέ νυ σοί περ
μέμβλετ' ἐμεῦ καὶ παιδός, ὃς οὐ πατρὶ τέρψεται ἦτορ,
οὐ σέο κοιρανίης ἐπιβήσεται, ἀλλά μιν ἄλλοι
δμῶα λυγρὸν τεύξουσιν, ἐπεὶ πατρὸς οὐκέτ' ἐόντος
νηπίαχοι κομέονται ὑπ' ἄνδρεσσιν μάλα πολλὸν
χειροτέροις· ὀλοῇ γὰρ ὑπ' ὀρφανίῃ βαρὺς αἰὼν
παισὶ πέλει, καὶ πήματ' ἐπ' ἄλλοθεν ἄλλα χέονται.
καὶ δ' ἐμὲ δειλαίην τάχα δούλιον ἵξεται ἦμαρ
οἰχομένου σέο πρόσθεν, ὅ μοι θεὸς ὣς ἐτέτυξο."
ὣς φαμένην προσέειπε φίλα φρονέων Ἀγαμέμνων·
„ὦ γύναι, οὔ νύ σέ τις δμωὴν ποτε θήσεται ἄλλος
Τεύκρου ἔτι ζώοντος ἀμύμονος ἠδ' ἐμεῦ αὐτοῦ·
ἀλλά σε τίσομεν αἰὲν ἀπειρεσίοις γεράεσσι,
τίσομεν ὥς τε θεήν, καὶ σὸν τέκος, ὡς ἔτ' ἐόντος
ἀντιθέου Αἴαντος, ὃς ἔπλετο κάρτος Ἀχαιῶν.
αἴθ' ὄφελον μηδ' ἄλγος Ἀχαιίδι θήκατο πάσῃ
αὐτὸς ἑῇ ὑπὸ χειρὶ δαμείς· οὐ γάρ μιν ἀπείρων
δυσμενέων σθένε λαὸς ὑπ' Ἄρεϊ δῃώσασθαι."
ὣς ἔφατ' ἀχνύμενος κέαρ ἔνδοθεν· ἀμφὶ δὲ λαοὶ
οἰκτρὸν ἀνεστονάχησαν, ἐπίαχε δ' Ἑλλήσποντος

547 *καὶ ἔφ. AP, καὶ γὰρ ἔφ. tl, καὶ ῥά μ' rk* 550 *σὺ μὲν ἄ. A, σὺ νῦν μὲν ἄ. rt (μὲν νῦν P), σὺ μέν μοι ἄ. st¹lk* 555 *ἐπ' v, ἐν (r)st¹l¹, ὑπ' Glasewald spl²k* 556 *πᾶσι v, παισὶ Glasewald l²kP* 557 *δέ με v, δ' ἐμὲ ego ἄξεται AP, ἵξ. r* 558 *-τευξο v, -τυξο st¹splk* 560 *ἔτι v, ποτε k*

μυρομένων, ὀλοὴ δὲ περὶ σφίσι πέπτατ' ἀνίη.
καὶ δ' αὐτὸν λάβε πένθος Ὀδυσσέα μητιόεντα
κείνου ἀποκταμένοιο, καὶ ἀχνύμενος κατὰ θυμὸν
τοῖον ἔπος μετέειπεν ἀκηχεμένοισιν Ἀχαιοῖς·
„ὦ φίλοι, ὡς οὔ πώ τι κακώτερον ἄλλο χόλοιο
γίνεται, ὅς τε βροτοῖσι κακὴν ἐπὶ δῆριν ἀέξει·
ὃς καὶ νῦν Αἴαντα πελώριον ἐξορόθυνεν
ἀμφ' ἐμοὶ ἐν φρεσὶν ᾗσι χολούμενον· ὡς ὄφελόν μοι
μή ποτε Τρώιοι υἷες Ἀχιλλέος εἵνεκα τευχέων
νίκην ἀμφεβάλοντ' ἐρικυδέα, τῆς πέρι θυμὸν
ἀχνύμενος πάις ἐσθλὸς ἐυσθενέος Τελαμῶνος
ὤλετο χερσὶν ἑῇσι· χόλου δέ οἱ οὔ τι ἔγωγε
αἴτιος, ἀλλά τις Αἶσα πολύστονος, ἥ μιν ἐδάμνα·
εἰ γάρ μοι κέαρ ἔνδον ἐνὶ στέρνοισιν ἐώλπει
κεῖνον ἀλαστήσειν καθ' ἑὸν νόον, οὔτ' ἂν ἔγωγε
ἦλθον ἐριδμαίνων νίκης ὕπερ, οὔτέ τιν' ἄλλον
ἐν Δαναοῖσιν ἔασα μεμαότα δηριάασθαι,
ἀλλά οἱ αὐτὸς ἔγωγε θεουδέα τεύχε' ἀείρας
προφρονέως ἂν ὄπασσα, καὶ εἴ τί περ ἄλλο μενοίνα.
νῦν δέ μιν οὔ τι ἔγωγε μέγ' ἀχνύμενον χαλεπῆναι
ὠισάμην μετόπισθεν, ἐπεί ῥά οἱ οὔτε γυναικὸς
οὔτε περὶ πτόλιος μαχόμην οὔτ' εὐρέος ὄλβου,
ἀλλά μοι ἀμφ' ἀρετῆς νεῖκος πέλεν, ἧς πέρι δῆρις
τερπνὴ γίνεται αἰὲν ἐύφροσιν ἀνθρώποισι.
κεῖνος δ' ἐσθλὸς ἐὼν στυγερῇ ὑπὸ δαίμονος Αἴσῃ
ἤλιτεν· οὐ γὰρ ἔοικε μέγ' ἀσχαλάαν ἐνὶ θυμῷ·
ἀνδρὸς γὰρ πινυτοῖο καὶ ἄλγεα πόλλ' ἐπιόντα
τλῆναι ὑπὸ κραδίῃ στερεῇ φρενί, μηδ' ἀκάχησθαι."

571 *-όωντα AP, -όεντα C*[1] 585 *ἄλλων v, ἄλλον rl²k*
587 *ἀλλά γε A, ἀλλὰ καὶ rptk, ἀλλά οἱ rhlP* 588 *ἔασα AP, ὄπασσα tlk*

ὣς φάτο Λαέρταο κλυτὸς πάις ἀντιθέοιο.
ἀλλ' ὅτε δὴ κορέσαντο γόου καὶ πένθεος αἰνοῦ,
δὴ τότε Νηλέος υἱὸς ἔτ' ἀχνυμένοισιν ἔειπεν·
„ὦ φίλοι, ὡς ἄρα Κῆρες ἀνηλέα θυμὸν ἔχουσαι
ἡμῖν αἶψ' ἐβάλοντο λυγρῷ ἐπὶ πένθεϊ πένθος,
Αἴαντος φθιμένοιο πολυσθενέος τ' Ἀχιλῆος
ἄλλων τ' Ἀργείων ἠδ' υἱέος ἡμετέροιο
Ἀντιλόχου. ἀλλ' οὔ τι θέμις κταμένους ἐνὶ χάρμῃ
κλαίειν ἤματα πάντα καὶ ἀσχαλάαν ἐνὶ θυμῷ,
ἀλλὰ γόου λήσασθαι ἀεικέος, οὕνεκ' ἄμεινον
ἔρδειν, ὅσσα βροτοῖσιν ἐπὶ φθιμένοισιν ἔοικε,
πυρκαϊὴν καὶ σῆμα, καὶ ὀστέα ταρχύσασθαι·
νεκρὸς δ' οὔ τι γόοισιν ἀνέγρεται, οὐδέ τι οἶδε
φράσσασθ', εὖτέ ἑ Κῆρες ἀμείλιχοι ἀμφιχάνωσιν."
ἦ ῥα παρηγορέων· περὶ δ' ἀντίθεοι βασιλῆες
ἀθρόοι αἶψ' ἀγέροντο μέγ' ἀχνύμενοι κέαρ ἔνδον,
καί ἑ μέγαν περ ἐόντα θοῶς ποτὶ νῆας ἔνεικαν
πολλοὶ ἀείραντες· κατὰ δὲ σπείροισι κάλυψαν
αἷμ' ἀποφαιδρύναντες, ὅ οἱ βριαροῖς μελέεσσι
τερσόμενον περίκειτο σὺν ἔντεσι καὶ κονίῃσι.
καὶ τότ' ἀπ' Ἰδαίων ὀρέων φέρον ἄσπετον ὕλην
αἰζηοί, πάντῃ δὲ νέκυν πέρι νηήσαντο·
πολλὰ δ' ἄρ' ἀμφ' αὐτῷ θῆκαν ξύλα, πολλὰ δὲ μῆλα·
φάρεά τ' εὐποίητα βοῶν τ' ἐρικυδέα φῦλα
ἠδὲ καὶ ὠκυτάτοισιν ἀγαλλομένους ποσὶν ἵππους
χρυσόν τ' αἰγλήεντα καὶ ἄσπετα τεύχεα φωτῶν,

602 αἶψα βάλ. v, αἶψ' ἐβ. rk 607 -σθε AE^1P, -σθαι r ἀερκέος AE^1, ἀεικ. rP 614 θοὰς v, θοῶς k 616 ἀποκαθήραντες A, -καθείρ. P, -φαιδρύν. rtlk 617 σὺν ἔ. καὶ κ. v, καὶ ἔ. σὺν κ. k 619 περιδινήσ. AE^1, περιδηνήσ. P, πέρι διν. t, περινηήσ. rl, πέρι νηήσ. spk 622 ἠδέ οἱ AP, ἠδέ τι V, ἠδὲ καὶ E^1r

ὅσσα πάρος κταμένων ἀποαίνυτο φαίδιμος ἀνήρ,
ἤλεκτρόν τ' ἐπὶ τοῖσι διειδέα, τόν ῥά τέ φασιν
ἔμμεναι Ἠελίοιο πανομφαίοιο θυγατρῶν
δάκρυ, τὸ δὴ Φαέθοντος ὕπερ κταμένοιο χέαντο
μυρόμεναι μεγάλοιο παρὰ ῥόον Ἠριδανοῖο,
καὶ τὸ μὲν Ἠέλιος γέρας ἄφθιτον υἷει τεύχων
ἤλεκτρον ποίησε μέγα κτέαρ ἀνθρώποισι·
τόν ῥα τότ' εὐρυπέδοιο πυρῆς καθύπερθε βάλοντο
Ἀργεῖοι κλυτὸν ἄνδρα δεδουπότα κυδαίνοντες
Αἴαντ'· ἀμφὶ δέ οἱ μεγάλα στενάχοντες ἔθεντο
τιμήεντ' ἐλέφαντα καὶ ἄργυρον ἱμερόεντα
ἠδὲ καὶ ἀμφιφορῆας ἀλείφατος ἄλλά τε πάντα,
ὁππόσα κυδήεντα καὶ ἀγλαὸν ὄλβον ὀφέλλει.
ἐν δ' ἔβαλον κρατεροῖο πυρὸς μένος· ἦλθε δὲ πνοιὴ
ἐξ ἁλός, ἣν προέηκε θεὰ Θέτις, ὄφρα φέρηται
Αἴαντος μεγάλοιο βίη· ὁ δὲ νύκτα καὶ ἠῶ
καίετο πὰρ νήεσσιν ἐπειγομένου ἀνέμοιο·
οἷός που τὸ πάροιθε Διὸς στονόεντι κεραυνῷ
Ἐγκέλαδος δέδμητο κατ' ἀκαμάτοιο θαλάσσης
Θρινακίης ὑπένερθεν, ὅλη δ' ὑπετύφετο νῆσος·
ἢ οἷος ζώοντα μέλη πυρὶ δῶκε θέρεσθαι
Ἡρακλέης Νέσσοιο δολοφροσύνῃσι χαλεφθείς,
ὁππότ' ἔτλη μέγα ἔργον, ὅλη δ' ἀμφέστενεν Οἴτη
ζωοῦ καιομένοιο, μίγη δέ οἱ ἠέρι θυμὸς
ἄνδρα λιπὼν ἀρίδηλον, ἐνεκρίνθη δὲ θεοῖσιν
αὐτός, ἐπεί οἱ σῶμα πολύκμητον χάδε γαῖα·

628 -άνοιο *v*, -ανοῖο ex *Pego* 630 -σιν *v*, -σι *k*
634 ἠερόεντα *AP*, ἱμερόεντα *ptlk* 638 θέροιτο *v*, -ηται *k*
644 ἠδ' οἷον *v*, ἢ οἷος *kl*[2] φέρεσθαι *AP*, θέρ. *Vptlk*
647 αἰθέρι *v*, ἠέρι *k* 649 πολύκμητος *r*, -ον *st*[1]*l*[2]*k*, -κμήτον *st*[1]*l*[1], νεόκμητος *sp*

τοῖος ἄρ' ἐν πυρὶ κεῖτο λελασμένος ἰωχμοῖο
Αἴας σὺν τεύχεσσι· πολὺς δ' ἐστείνετο λαὸς
αἰγιαλοῖς· Τρῶες δ' ἐγάνυντ', ἀκάχοντο δ' Ἀχαιοί.
ἀλλ' ὅτε δὴ δέμας ἠὺ κατήνυσε πῦρ ἀίδηλον,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ' αὐτοῦ
χηλῷ ἔνι χρυσέῃ θῆκαν· περὶ δέ σφισι γαῖαν
χεῦαν ἀπειρεσίην Ῥοιτηΐδος οὐχ ἑκὰς ἀκτῆς.
αὐτίκα δ' ἐσκίδναντο πολυσκάρθμους ἐπὶ νῆας
θυμὸν ἀκηχέμενοι· τὸν γὰρ τίον ἶσ' Ἀχιλῆι.
νὺξ δ' ἐπόρουσε μέλαινα μετ' ἀνέρας ὕπνον ἄγουσα·
οἱ δ' ἄρα δαῖτ' ἐπάσαντο καὶ Ἠριγένειαν ἔμιμνον
βαιὸν ἀποβρίξαντες ἀραιοῖσι βλεφάροισιν·
αἰνῶς γὰρ φοβέοντο κατὰ φρένα, μή σφισι Τρῶες
νυκτὸς ἐπέλθωσιν Τελαμωνιάδαο θανόντος.

652 δ' ἀγάνυντ' *A*, δὲ γ. *E*[1]*Prtl*, δ' ἐγ. *Vk* 658 ἶσον Ἀχιλλεῖ *v*, ἶσ' Ἀχιλῆι *n* 660 δαῖτα πάσ. *v*, corr. *k*

κίδναμαι = σκεδάννυμαι sich ausbreiten —

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΕΚΤΟΣ.

Ἠὼς δ' Ὠκεανοῖο ῥόον καὶ λέκτρα λιποῦσα
Τιθωνοῦ προσέβη μέγαν οὐρανόν, ἀμφὶ δὲ πάντῃ
κίδνατο παμφανόωσα· γέλασσε δὲ γαῖα καὶ αἰθήρ.
τοὶ δ' εἰς ἔργα τράποντο βροτοὶ ῥεῖα φθινύθοντες,
ἄλλοι δ' ἀλλοίοισιν ἐπῴχοντ'· αὐτὰρ Ἀχαιοὶ
εἰς ἀγορὴν ἐχέοντο καλεσσαμένου Μενελάου.
καί ῥ' ὅτε δὴ μάλα πάντες ἀνὰ στρατὸν ἠγερέθοντο,
δὴ τότ' ἐνὶ μέσσοισιν ἀγειρομένοισι μετηύδα·
„κέκλυτε μῦθον ἐμεῖο, θεηγενέες βασιλῆες,
ὡς ἐρέω· μέγα γάρ μοι ἐνὶ φρεσὶ τείρεται ἦτορ
λαῶν ὀλλυμένων, οἵ ῥ' ἤλυθον εἵνεκ' ἐμεῖο
δῆριν ἐς ἀργαλέην, τοὺς οὐχ ὑποδέξεται οἶκος,
οὐ τοκέες· πολέας γὰρ ὑπέκλασε δαίμονος Αἶσα.
ὡς ὄφελον Θανάτοιο βαρὺ σθένος ἀτλήτοιο
αὐτῷ ἐμοὶ ἐπόρουσε, πρὶν ἐνθάδε λαὸν ἀγεῖραι·
νῦν δέ μοι ἀλλήκτους ὀδύνας ἐνεθήκατο δαίμων,
ὄφρ' ὁρόω κακὰ πολλά· τίς ἂν φρεσὶ γηθήσειεν
εἰσορόων ἐπὶ δηρὸν ἀμήχανα ἔργα μόθοιο;

4 an οἳ? ἔργ' ἐτρ. *P* 5 ἄλλοι — ἐπῴχοντ' *v* (-ντο *AP*), ἄλλος — ἐπῴχετο (*r*)*k* 15 μοι *v*, ἐμοὶ *k*

ἀλλ' ἄγεθ', ὅσσοι ἔτ' εἰμέν, ἐπ' ὠκυπόροισι νέεσσι
καρπαλίμως φεύγωμεν ἐὴν ἐπὶ γαῖαν ἕκαστος,
Αἴαντος φθιμένοιο πολυσθενέος τ' Ἀχιλῆος,
τῶν ἐγὼ οὐκ ὀίω κταμένων ὑπαλύξαι ὄλεθρον
ἡμέας, ἀλλ' ὑπὸ Τρωσὶ δαμήμεναι ἀργαλέοισιν
εἵνεκ' ἐμεῦ Ἑλένης τε κυνώπιδος, ἧς νύ μοι οὔ τι
μέμβλεται ὡς ὑμέων, ὁπότε κταμένους ἐσίδωμαι
ἐν πολέμῳ· κείνη δ' ἀλαπαδνοτάτῳ σὺν ἀκοίτῃ
ἐρρέτω· ἐκ γάρ οἱ πινυτὰς φρένας εἵλετο δαίμων
ἐκ κραδίης, ὅτ' ἐμεῖο λίπεν δόμον ἠδὲ καὶ εὐνήν.
ἀλλὰ τὰ μὲν κείνης Πριάμῳ καὶ Τρωσὶ μελήσει·
ἡμεῖς δ' αἶψα νεώμεθ', ἐπεὶ πολὺ λώιόν ἐστιν
ἐκφυγέειν πολέμοιο δυσηχέος ἢ ἀπολέσθαι."
ὣς ἔφατ' Ἀργείων πειρώμενος· ἄλλα δέ οἱ κῆρ
ἐν κραδίῃ πόρφυρε περὶ ζηλήμονι θυμῷ,
Τρῶας ὅπως ὀλέσῃ καὶ τείχεα μακρὰ πόληος
ῥήξῃ ὑπὲκ θεμέθλων, μάλα δ' αἵματος ἄσῃ Ἄρηα
δίου Ἀλεξάνδροιο μετὰ φθιμένοισι πεσόντος·
οὐ γάρ τι ζήλοιο πέλει στυγερώτερον ἄλλο.
καὶ τὰ μὲν ὣς ὥρμαινεν, ἑῇ δ' ἐπιίζανεν ἕδρῃ.
καὶ τότε Τυδείδης ἐγχέσπαλος ὦρτ' ἐνὶ μέσσοις,
καί ῥα θοῶς νείκεσσεν ἀρηίφιλον Μενέλαον·
„ἆ δείλ' Ἀτρέος υἱέ, τί ἤ νύ σε δεῖμα κιχάνει
ἀργαλέον, καὶ τοῖα μετ' Ἀργείοις ἀγορεύεις,
ὡς πάις ἠὲ γυνή, τῶν περ σθένος ἔστ' ἀλαπαδνόν;
ἀλλὰ σοὶ οὐ πείσονται Ἀχαιῶν φέρτατοι υἷες,
πρὶν Τροίης κρήδεμνα ποτὶ χθόνα πάντα βαλέσθαι·

33 καὶ κραδίῃ *v*, ἐν κραδίῃ *k* 35 ἐκ *v*, ὑπὲκ *spk*[1] in praef *k*[2], ὑπ' ἐκ *P* 37 τοι *v*, τι *spkP* 44 post h. v. lacunae signa pos. *k* [velut ἀλλ' οὔπω παύσονται ἐπὶ Τρώεσσι μάχεσθαι]

θάρσος γὰρ μερόπεσσι κλέος μέγα, φύζα δ' ὄνειδος.
εἰ δ' ἄρα τις καὶ τῶνδ' ἐπιπείσεται, ὡς ἐπιτέλλεις,
αὐτίκα οἱ κεφαλὴν τεμέω ἰόεντι σιδήρῳ,
ῥίψω δ' οἰωνοῖσιν ἀερσιπέτῃσιν ἐδωδήν.
ἀλλ' ἄγεθ', οἷσι μέμηλεν ὀρινέμεναι μένε' ἀνδρῶν,
λαοὺς αὐτίκα πάντας ὀτρυνάντων κατὰ νῆας
δούρατα θηγέμεναι παρά τ' ἀσπίδας ἄλλά τε πάντα
εὖ θέσθαι καὶ δεῖπνον ἄφαρ πάσσασθαι ἅπαντας
ἀνέρας ἠδ' ἵππους, οἵ τ' ἐς πόλεμον μεμάασιν·
ἐν πεδίῳ δ' ὤκιστα διακρινέει μένος Ἄρης."
ὣς φάτο Τυδείδης· κατὰ δ' ἕζετο, ἧχι πάρος περ·
τοῖσι δὲ Θέστορος υἱὸς ἔπος ποτὶ τοῖον ἔειπεν
ἀνστὰς ἐν μέσσοισιν, ὅπῃ θέμις ἔστ' ἀγορεύειν·
„κέκλυτέ μευ, φίλα τέκνα μενεπτολέμων Ἀργείων·
ἴστε γάρ, ὡς σάφα οἶδα θεοπροπίας ἀγορεύειν.
ἤδη μὲν καὶ πρόσθ' ἐφάμην δεκάτῳ λυκάβαντι
πέρσειν Ἴλιον αἰπύ· τὸ δὴ νῦν ἐκτελέουσιν
ἀθάνατοι, νίκη δὲ πέλει παρὰ ποσσὶν Ἀχαιῶν.
ἀλλ' ἄγε, Τυδέος υἷα μενεπτόλεμόν τ' Ὀδυσῆα
πέμψωμεν Σκῦρον δὲ θοῶς ἐν νηὶ μελαίνῃ,
οἵ ῥα παραιπεπιθόντες Ἀχιλλέος ὄβριμον υἷα
ἄξουσιν· μέγα δ' ἄμμι φάος πάντεσσι πελάσσει."
ὣς φάτο Θέστορος υἱὸς ἐύφρονος· ἀμφὶ δὲ λαοὶ
γηθόσυνοι κελάδησαν, ἐπεί σφισιν ἦτορ ἐώλπει
Κάλχαντος φάτιν ἔμμεν ἐτήτυμον, ὡς ἀγόρευε.
καὶ τότε Λαέρταο πάις μετέειπεν Ἀχαιοῖς·

53 ἐφοπλίσασθαι *AP*, -ίσσ. *tlst²k*, *k* quidem probante *h* lacunae signis positis [velut αὐτοῖς ἠδ' ἵπποισιν· ἄδην δὲ πάσασθαι ἐδωδὴν], ἄφαρ πάσσασθαι *ego* 54 ἀνδράσιν ἠδ' ἵπποις *p*, αὐτοῖς ἠδ' ἵπποις *pbsp*, ἀνέρας ἰφθίμους *n* 65 ἐνὶ *v*, ἐν *k*

„ὦ φίλοι, οὐκέτ' ἔοικε μεθ' ὑμῖν πόλλ' ἀγορεύειν
σήμερον· ἐν γὰρ δὴ κάματος πέλει ἀχνυμένοισιν·
οἶδα γάρ, ὡς λαοῖσι κεκμηκόσιν οὔτ' ἀγορητὴς
ἁνδάνει οὔτ' ἄρ' ἀοιδός, ὃν ἀθάνατοι φιλέουσι
Πιερίδες· παύρων δ' ἐπέων ἔρος ἔνθ' ἀνθρώποις.
νῦν δ', ὅ περ εὔαδε πᾶσι κατὰ στρατὸν Ἀργείοισι,
Τυδείδαο μάλιστα συνεσπομένου τελέσαιμι·
ἄμφω γάρ κεν ἰόντε φιλοπτολέμου Ἀχιλῆος
ἄξομεν ὄβριμον υἷα παρακλίναντε ἐπέεσσιν,
εἰ καί μιν μάλα πολλὰ κινυρομένη κατερύκει
μήτηρ ἐν μεγάροισιν, ἐπεὶ κρατεροῖο τοκῆος
ἔλπομ' ἐμὸν κατὰ θυμὸν ἀρήιον ἔμμεναι υἷα."
ὣς φάμενον προσέειπε πύκα φρονέων Μενέλαος·
„ὦ Ὀδυσεῦ, μέγ' ὄνειαρ ἐυσθενέων Ἀργείων,
ἤν περ Ἀχιλλῆος μεγαλόφρονος ὄβριμος υἱὸς
σῇσι παραιφασίῃσι λιλαιομένοισιν ἀρωγὸς 86a
ἔλθῃ ἀπὸ Σκύροιο, πόρῃ δέ τις Οὐρανιώνων
νίκην εὐχομένοισι καὶ Ἑλλάδα γαῖαν ἵκωμαι,
δώσω οἱ παράκοιτιν ἐμὴν ἐρικυδέα κούρην
Ἑρμιόνην καὶ πολλὰ καὶ ὄλβια δῶρα σὺν αὐτῇ
προφρονέως· οὐ γάρ μιν ὀίομαι οὔτε γυναῖκα
οὔτ' ἄρα πενθερὸν ἐσθλὸν ὑπερφιάλως ὀνόσασθαι."

73 ἐσσυμένοισιν *A*, οὐ γὰρ δὴ κ. μέλει ἐ. *h*, ἀχνυμένοισιν *rtlP*(?), εἰσαΐουσιν *k* 74 οὐδ' *v*, οὔτ' *spk* 76 ἔρος ἀνθρώποισι *v* (-σιν *P*) et sic *k* lacunae signis post h. v. positis [velut γίνεθ', ὅτ' ἐν καμάτοισι καὶ ἄλγεσι θυμὸν ἔδουσι], τότ' ἔρως ἀνθρώποις *p*, ἔρος ἔνθ' ἀνθρώποις *ego* 77 -οισιν *P* 78 -σαιμεν *v*, -σαιμι *k* 81 εἴ κεν *v*, εἴ κε *E*[1], εἰ καί *rbst*[1]*lkP* 82 ἐπὶ *P*, ἀπὸ et ἑοῦ *ego* temptavi servata voce ἐλπομένη 83 ἐλπομένη *AP*, et sic *rk* lacunae signis post h. v. positis [velut δείδιε, μὴ σφετέρῃσιν ἀγηνορίῃσιν ὄληται], ἔλπομ' ἐμὸν *thyl* 85 αἰζηῶν *AP*, Ἀργείων *C*[1]*r* 86[a] hunc v. ubique omissum ex *P* addidi 87 ἔλθοι et πόροι *v*, ἔλθῃ et πόρῃ *ego* 88 ἱκέσθαι *v*, ἵκωμαι ex *P ego*

ὣς ἄρ' ἔφη· Δαναοὶ δὲ συνευφήμησαν ἔπεσσι.
καὶ τότε λῦτ' ἀγορή· τοὶ δ' ἐσκίδναντ' ἐπὶ νῆας
ἱέμενοι δείπνοιο, τὸ δὴ πέλει ἀνδράσιν ἀλκή.
καί ῥ' ὅτε δὴ παύσαντο κορεσσάμενοι μέγ' ἐδωδῆς,
δὴ τόθ' ὁμῶς Ὀδυσῆι περίφρονι Τυδέος υἱὸς
νῆα θοὴν εἴρυσσεν ἀπειρεσίης ἁλὸς εἴσω·
καρπαλίμως δ' ἤια καὶ ἄρμενα πάντα βάλοντο·
ἐν δὲ καὶ αὐτοὶ ἔβαν, μετὰ δέ σφισιν εἴκοσι φῶτες
ἴδμονες εἰρεσίης, ὁπότ' ἀντίαι ὦσιν ἄελλαι,
ἠδ' ὁπότ' εὐρέα πόντον ἐπιστορέῃσι γαλήνη.
καί ῥ' ὅτε δὴ κληῖσιν ἐπ' εὐτύκτοισι κάθισσαν,
τύπτον ἁλὸς μέγα χεῦμα· πολὺς δ' ἀμφέζεεν ἀφρός·
ὑγραὶ δ' ἀμφ' ἐλάτῃσι διεπρήσσοντο κέλευθοι
νηὸς ἀπεσσυμένης· τοὶ δ' ἱδρώοντες ἔρεσσον·
ὡς δ' ὅθ' ὑπὸ ζεύγλῃσι βόες μέγα κεκμηῶτες
δουρατέην ἐρύσωσι πρόσω μεμαῶτες ἀπήνην
ἄχθεϊ τετριγυῖαν ὑπ' ἄξονι δινήεντι
τειρόμενοι, πουλὺς δὲ κατ' αὐχένος ἠδὲ καὶ ὤμων
ἱδρὼς ἀμφοτέροισι κατέσσυται ἄχρις ἐπ' οὖδας·
ὣς τῆμος μογέεσκον ἐπὶ στιβαρῇς ἐλάτῃσιν
αἰζηοί· μάλα δ' ὦκα διήνυον εὐρέα πόντον.
τοὺς δ' ἄλλοι μὲν Ἀχαιοὶ ἀπεσκοπίαζον ἰόντας·
θῆγον δ' αἰνὰ βέλεμνα καὶ ἔγχεα, τοῖσι μάχοντο.
Τρῶες δ' ἄστεος ἐντὸς ἀταρβέες ἐντύνοντο

99 βαλόντες *v*, et sic *k* lacunae signis post h. v. positis [velut ἱστόν τε στῆσάν τε καὶ ἱστία λεύκ' ἐπέτασσαν], βάλοντο *tbl* 101 ἀντίαι εἰσὶν *v*, ἀ. ὦσιν st^1k^2, ἀντιόωσιν *l* 102 ὑποστορέησε *A*, -έῃσι *hytlk*, ἐπιστορέησι *P*, -ῃσι *ego* 104 κῦμα *v*, χεῦμα k^2 105 διαπρ. *v*, διεπρ. *splk* 106 ἐπεσσ. *v*, ἀπεσσ. st^2 109 τετρυγ. *AP*, τετριγ. *tlk* 110 αὐχένας et ὤμους *v* (κατ' ὤ. st^1), αὐχένος et ὤμων *spk* 112 ὑπὸ *v*, ἐπὶ ex *P ego* 114 ἀποσκ. *v*, ἀπὸ σκ. *spl*, ἀπεσκ. ex *P ego* 115 -οιντο *V* 116 ἐντύοντο *tl*

ἐς πόλεμον μεμαῶτες ἰδ' εὐχόμενοι μακάρεσσι
λωφῆσαί τε φόνοιο καὶ ἀμπνεῦσαι καμάτοιο.
τοῖσι δ' ἐελδομένοισι θεοὶ μέγα πήματος ἄλκαρ
ἤγαγον Εὐρύπυλον κρατεροῦ γένος Ἡρακλῆος·
καί οἱ λαοὶ ἕποντο δαήμονες ἰωχμοῖο
πολλοί, ὅσοι δολιχοῖο παρὰ προχοῇσι Καΐκου
ναίεσκον, κρατερῇσι πεποιθότες ἐγχείῃσιν.
ἀμφὶ δέ οἱ κεχάροντο μέγα φρεσὶ Τρώιοι υἷες·
ὡς δ' ὁπόθ' ἕρκεος ἐντὸς ἐεργμένοι ἀθρήσωσιν
ἥμεροι ἀνέρα χῆνες, ὅτίς σφισιν εἴδατα βάλλη,
ἀμφὶ δέ μιν στομάτεσσι περισταδὸν ἰύζοντες 126a
σαίνουσιν, τοῦ δ' ἦτορ ἰαίνεται εἰσορόωντος·
ὣς ἄρα Τρώιοι υἷες ἐγήθεον, εὖτ' ἐσίδοντο
ὄβριμον Εὐρύπυλον, τοῦ δ' ἐν φρεσὶ θαρσαλέον κῆρ
τέρπετ' ἀγειρομένοισιν· ἀπὸ προθύρων δὲ γυναῖκες
θάμβεον ἀνέρα δῖον· ὁ δ' ἔξοχος ἔσσυτο+ λαῶν,
ἠύτε τις θώεσσι λέων ἐν ὄρεσσι μετελθών.
τὸν δὲ Πάρις δείδεκτο, τίεν δέ μιν Ἕκτορι ἶσον·
τοῦ γὰρ ἀνεψιὸς ἔσκεν, ἰῆς τ' ἐτέτυκτο γενέθλης·
τὸν γὰρ δὴ τέκε δῖα κασιγνήτη Πριάμοιο
Ἀστυόχη κρατερῇσιν ὑπ' ἀγκοίνῃσι μιγεῖσα
Τηλέφου, (ὅν ῥα καὶ αὐτὸν ἀταρβέι Ἡρακλῆι
λάθρῃ ἑοῖο τοκῆος ἐυπλόκαμος τέκεν Αὔγη·
καί μιν ⟨τυτθὸν ἐόντα καὶ ἰσχανόωντα γάλακτος⟩
θρέψε θοή ποτε κεμμάς, ἑῷ δ' ἴσα φίλατο νεβρῷ
μαζὸν ὑποσχομένη βουλῇ Διός· οὐ γὰρ ἐῴκει

118 φόνοιο *v*, πόνοιο k^2 126 ἥμενοι *A*, εἵμ. *P*, ἥμερον *r*, ἥμεροι *p w Glasewald b l k* βάλλοι *v*, -η k^1 in praef. k^2 126a hunc v. ubique omissum ex *P* addidi (ἐύζ. *P*). lacunam hic esse suspicatus erat *t*, signis indicaverat *k*, negaverant *rbspl* 131 ἔσπετο *v*, ἔπλετο *bspl*, ἔσσυτο *k* 136 δαμεῖσα *sp* 137 -φῳ $st^1(k)$

Herakles Auge (Tocht. d. K. Aleos v. Tegea)
Telephos Astyoche (T. d. Priamus)
Eurypylos v. Mysien

ἔκγονον Ἡρακλῆος ὀιζυρῶς ἀπολέσθαι.)
τοῦ δ' ἄρα κύδιμον υἷα Πάρις μάλα πρόφρονι θυμῷ
ἦγεν ἑὸν ποτὶ δῶμα δι' εὐρυχόροιο πόληος
σῆμα παρ' Ἀσσαράκοιο καὶ Ἕκτορος αἰπὰ μέλαθρα
νηόν τε ζάθεον Τριτωνίδος, ἔνθά οἱ ἄγχι
δώματ' ἔσαν καὶ βωμὸς ἀκήρατος Ἑρκείοιο·
καί μιν ἀδελφειῶν πηῶν θ' ὕπερ ἠδὲ τοκήων
εἴρετο προφρονέως· ὁ δέ οἱ μάλα πάντ' ἀγόρευεν.
ἄμφω δ' ὣς ὀάριζον ἅμ' ἀλλήλοισι κιόντες. — —
ἦλθον δ' ἐς μέγα δῶμα καὶ ὄλβιον· ἔνθα δ' ἄρ' ἧστο
ἀντιθέη Ἑλένη Χαρίτων ἐπιειμένη εἶδος·
καί ῥά μιν ἀμφίπολοι πίσυρες περιποιπνύεσκον,
ἄλλαι δ' αὖτ' ἀπάνευθεν ἔσαν κλειτοῦ θαλάμοιο
ἔργα τιτυσκόμεναι, ὁπόσα δμῳῇσιν ἔοικεν.
Εὐρύπυλον δ' Ἑλένη μέγ' ἐθάμβεεν εἰσορόωσα,
κεῖνος δ' αὖθ' Ἑλένην· μετὰ δ' ἀλλήλους ἐπέεσσιν
ἄμφω δεικανόωντο δόμῳ ἔνι κηώεντι·
δμῶες δ' αὖτε θρόνους δοιὼ θέσαν ἐγγὺς ἀνάσσης·
αἶψα δ' Ἀλέξανδρος κατ' ἄρ' ἕζετο, πὰρ δ' ἄρα τῷ γε
Εὐρύπυλος. λαοὶ δὲ πρὸ ἄστεος αὖλιν ἔθεντο,
ἧχι φυλακτῆρες Τρώων ἔσαν ὀβριμόθυμοι·
αἶψα δὲ τεύχεα θῆκαν ἐπὶ χθόνα, πὰρ δὲ καὶ ἵππους
στῆσαν ἔτι πνείοντας ὀιζυροῖο μόγοιο·
ἐν δὲ φάτνης ἐβάλοντο, τά τ' ὠκέες ἵπποι ἔδουσι.
  καὶ τότε νὺξ ἐπόρουσε, μελαίνετο δ' αἶα καὶ αἰθήρ·
οἱ δ' ἄρα δαῖτ' ἐπάσαντο πρὸ τείχεος αἰπεινοῖο

145 καθ' *v*, καὶ *phst*^{1}*lk* μέλεθρα *E*^{1} 149 ἤρ. *v*, εἴρ. *splk* 150 ὡς *v*, ὣς *kl*^{2} 151 ἦλθον *AP*, ἤλυθον *rtl*^{1}, ἦλθον δ' *kl*^{2} ἔνθ' ἄρα *AP*, ἐνθάδ' ἄρ' *rl*^{1}*sp*, ἔνθα δ' ἄρ' (*r l*^{2}*k*, ἔνθα καθῆστο *h* 161 δαναοὶ *v*, λαοὶ *kl*^{2} 165 -ῃσι βάλ. *v*, -ης ἐβάλ. *ego* 166 -τό τ' *v*, -το δ' *spk*

Κήτειοι Τρῶές τε· πολὺς δ' ἐπὶ μῦθος ὀρώρει
δαινυμένων· πάντῃ δὲ πυρὸς μένος αἰθαλόεντος
δαίετο πὰρ κλισίῃσιν· ἐπίαχε δ' ἠπύτα σῦριγξ
αὐλοί τε λιγυροῖσιν ἀρηρέμενοι καλάμοισιν,
ἀμφὶ δὲ φορμίγγων ἰαχὴ πέλεν ἱμερόεσσα.
Ἀργεῖοι δ' ἀπάνευθεν ἐθάμβεον εἰσορόωντες
αὐλῶν φορμίγγων τ' ἰαχὴν αὐτῶν τε καὶ ἵππων
σύριγγός θ', ἣ δαιτὶ μεταπρέπει ἠδὲ νομεῦσι·
τοὔνεκ' ἄρ' οἷσιν ἕκαστος ἐπὶ κλισίῃσι κέλευσε
νῆας ἀμοιβαίῃσι φυλασσέμεν ἄχρις ἐς ἠῶ,
μή σφεας Τρῶες ἀγαυοὶ ἐνιπρήσωσι κιόντες,
οἵ ῥα τότ' αἰπεινοῖο πρὸ τείχεος εἰλαπίναζον.
ὣς δ' αὔτως κατὰ δώματ' Ἀλεξάνδροιο δαΐφρων
δαίνυτο Τηλεφίδης μετ' ἀγακλειτῶν βασιλήων·
πολλὰ δ' ἄρα Πρίαμός τε καὶ ἄλλοι Τρώιοι υἷες
ἑξείης εὔχοντο μιγήμεναι Ἀργείοισιν

* * * * * *

αἴσῃ ἐν ἀργαλέῃ· ὁ δ' ὑπέσχετο πάντα τελέσσειν.
αὐτὰρ ἐπεὶ δόρπησαν, ἔβαν ποτὶ δώμαθ' ἕκαστος·
Εὐρύπυλος δ' αὐτοῦ κατελέξατο ⟨βαιὸν ἄπωθεν⟩
ἐς τέγος εὐποίητον, ὅπῃ πάρος αὐτὸς ἴαυεν
ἠὺς Ἀλέξανδρος μετ' ἀγακλειτῆς ἀλόχοιο·

168 *ἐνὶ v, ἐπὶ k* 171 *-άμενοι v, -έμενοι ego* 173 *εἰσορόωντες A P Hermann (C. Fr.)* et sic *k* lacunae signis post h. v. positis [velut *ἐν πεδίῳ πυρὰ πολλὰ καὶ ἄσπετον*] *εἰσαΐοντες*, solum *εἰσαΐοντες rtl* 174 *αὐτῶν v, ἀνδρῶν rk* 175 *ἢ ῥ' αἰξὶ μ Hermann* 176 *ᾗσιν v, οἷσιν* rkl^2 *ἐνὶ v, ἐπὶ* kl^2 177 *-οισι r* 183 *ηὔχ. v, εὔχ. l* (an *λίσσοντο*?) *μιγέμεναι P.* post h. v. auctore *h* lacunae signa pos. *k* [velut *ὑσμίνῃ κρατερῇ καὶ ὑπ' ἔγχεϊ πάντας ὀλέσσειν k*, rectius *ἄνδρα μενεπτόλεμον καὶ ὑπ' ἔ. π. ὀλέσσαι*] 184 *ἀλκῇ ἐν ἀ.* ol ci. *k* 186 *αὐτοῦ v, αὐτὸς r, ἀπιὼν* st^2 *βαιὸν ἀπελθὼν* antehac *ego* conieceram. post h. v. lacunae signa pos. *k* [velut *ᾗ δμῶές μιν ἄγον δαΐδων ὑπὸ λαμπομενάων*]

κεῖνο γὰρ ἔκπαγλόν τε καὶ ἔξοχον ἔπλετο πάντων·
ἔνθ᾽ ὅ γε λέξατ᾽ ἰών· τοὶ δ᾽ ἄλλοσε κοῖτον ἕλοντο
μέχρις ἐπ᾽ Ἠριγένειαν ἐΰθρονον. αὐτὰρ ἅμ᾽ ἠοῖ
Τηλεφίδης ἀνόρουσε καὶ ἐς στρατὸν εὐρὺν ἵκανε
σύν τ᾽ ἄλλοις βασιλεῦσιν, ὅσοι κατὰ Ἴλιον ἦσαν·
λαοὶ δ᾽ αὐτίκα δῦσαν ἐν ἔντεσι μαιμώωντες
πάντες ἐνὶ πρώτοισι λιλαιόμενοι πονέεσθαι.
ὣς δὲ καὶ Εὐρύπυλος μεγάλοις περικάτθετο γυίοις
τεύχεα μαρμαρέῃσιν ἐειδόμενα στεροπῇσι·
καί οἱ δαίδαλα πολλὰ κατ᾽ ἀσπίδα δῖαν ἔκειτο,
ὁππόσα πρόσθεν ἔρεξε θρασὺ σθένος Ἡρακλῆος.
ἐν μὲν ἔσαν βλοσυρῇσι γενειάσι λιχμώωντες
δοιὼ κινυμένοισιν ἐοικότες οἶμα δράκοντες
σμερδαλέον μεμαῶτες· ὁ δέ σφεας ἄλλοθεν ἄλλον
νηπίαχός περ ἐὼν ὑπεδάμνατο· καί οἱ ἀταρβὴς
ἔσκε νόος καὶ θυμός, ἐπεὶ Διὶ κάρτος ἐῴκει
ἐξ ἀρχῆς· οὐ γάρ τι θεῶν γένος Οὐρανιώνων
ἄπρηκτον τελέθει καὶ ἀμήχανον, ἀλλά οἱ ἀλκὴ
ἕσπετ᾽ ἀπειρεσίη καὶ νηδύος ἔνδον ἐόντι.
ἐν δὲ Νεμειαίοιο βίη ἐτέτυκτο λέοντος
ὀβρίμου Ἡρακλῆος ὑπὸ στιβαρῇσι χέρεσσι
τειρόμενος κρατερῶς· βλοσυρῆς δέ οἱ ἀμφὶ γένυσσιν
αἱματόεις ἀφρὸς ἔσκεν· ἀποπνείοντι δ᾽ ἐῴκει.
ἄγχι δέ οἱ πεπόνητο δέμας πολυδειράδος ὕδρης
αἰνὸν λιχμώωσα· καρήατα δ᾽ ἀλγινόεντα
ἄλλα μὲν ἂρ δέδμητο κατὰ χθονός, ἄλλα δ᾽ ἄεξεν

190 *ὅγ᾽ ἐλέξατ᾽ P* 192 *ἵκανεν v, -ε k* 194 *αὐτ. ἴσαν v, αὐ. ἦσαν P, αὐτίκ᾽ ἔδυσαν h lb k, αὐτίκα δῦσαν sp l* (*k* in Prolegg.) 205 *σθένος A P*, em. *r* 209 *ἐπὶ v, ὑπὸ w b s t*[1] *s p l k* 210 *-ομένου v, -όμενος k* 212 *μένος v, δέμας* ex *Pego* 214 *μέν οἱ A P, ῥά οἱ (h) l, μὲν ἂρ h k* (*νύ οἱ k* ol.)

ἐξ ὀλίγων μάλα πολλά· πόνος δ' ἔχεν Ἡρακλῆα
θαρσαλέον τ' Ἰόλαον, ἐπεὶ κρατερὰ φρονέοντε
ἄμφω ὁ μὲν τέμνεσκε καρήατα μαιμώωντα
ἅρπῃ ὑπ' ἀγκυλόδοντι θοῶς, ὁ δὲ καῖε σιδήρῳ
αἰθομένῳ· κρατερὴ δὲ κατήνυτο θηρὸς ὁμοκλή.
ἑξείης δ' ἐτέτυκτο βίη συὸς ἀκαμάτοιο
ἀφριόων γενύεσσι· φέρεν δέ μιν, ὡς ἐτεόν περ,
ζωὸν ἐς Εὐρυσθῆα μέγα σθένος Ἀλκείδαο.
κεμμὰς δ' εὖ ἤσκητο θοὴ πόδας, ἥ τ' ἀλεγεινῶν
ἀμφιπεριπτιόνων μέγ' ἐσίνετο πᾶσαν ἀλωήν·
καὶ τὴν μὲν χρυσέοιο κεράατος ὄβριμος ἥρως
ἄμφεχεν οὐλομένοιο πυρὸς πνείουσαν ἀυτμήν.
ἀμφὶ δ' ἄρα στυγεραὶ Στυμφηλίδες, αἱ μὲν ὀιστοῖς
βλήμεναι ἐν κονίῃσιν ἀπέπνεον, αἱ δ' ἔτι φύξης
μνωόμεναι πολιοῖο δι' ἠέρος ἐσσεύοντο·
τῇσι δ' ἐφ' Ἡρακλέης κεχολωμένος ἄλλον ἐπ' ἄλλῳ
ἰὸν ἐπιπροΐαλλε, μάλα σπεύδοντι ἐοικώς.
ἐν δὲ καὶ Αὐγείαο μέγας σταθμὸς ἀντιθέοιο
τεχνήεις ἤσκητο κατ' ἀκαμάτοιο βοείης·
τῷ δ' ἄρα θεσπεσίοιο βαθὺν ῥόον Ἀλφειοῖο
ὄβριμος Ἡρακλέης ἐπαγίνεεν· ἀμφὶ δὲ Νύμφαι
θάμβεον ἄσπετον ἔργον. ἀπόπροθι δ' ἔπλετο ταῦρος
πύρπνοος, ὅν ῥα καὶ αὐτὸν ἀμαιμάκετόν περ ἐόντα
γνάμπτε βίῃ κρατεροῖο κεράατος· οἱ δέ οἱ ἄμφω
ἀκάματοι μυῶνες ἐρειδομένοιο τέταντο·
καί ῥ' ὁ μὲν ὡς μυκηθμὸν ἱεὶς πέλεν. ἄγχι δ' ἄρ' αὐτοῦ
ἀμφὶ σάκος πεπόνητο θεῶν ἐπιειμένη εἶδος

223 -γεινὸν v, -ῶν kl^2 224 ἀμφὶ περικτ. v, ἀμφιπερικτ. st^1 ἐτίνυτο v, ἐσίνετο blk 226 ἄντεχεν st^1 231 ἰὸν προΐαλλε A, ἰ. ἄφαρ πρ. psp, ἰ. ἀεὶ πρ. k, ἰ. ἐπιπρ. rtlP 232 μέγα σθένος AP, μέγας σταθμὸς tlk

Ἱππολύτη· καὶ τὴν μὲν ὑπὸ κρατερῇσι χέρεσσι
δαιδαλέου ζωστῆρος ἀμερσέμεναι μενεαίνων
εἷλκε κόμης ἵπποιο κατ' ὠκέος· αἱ δ' ἀπάτερθεν
ἄλλαι ὑποτρομέεσκον Ἀμαζόνες. ἀμφὶ δὲ λυγραὶ
Θρηικίην ἀνὰ γαῖαν ἔσαν Διομήδεος ἵπποι
ἀνδροβόροι· καὶ τὰς μὲν ἐπὶ στυγερῇσι φάτνῃσιν
αὐτῷ σὺν βασιλῆι κακὰ φρονέοντι δάιξεν.
 ἐν δὲ καὶ ἀκαμάτοιο δέμας πέλε Γηρυονῆος
τεθναότος παρὰ βουσί· καρήατα δ' ἐν κονίῃσιν
αἱματόεντα κέχυντο βίῃ ῥοπάλοιο δαμέντα·
πρόσθε δέ οἱ δέδμητο κύων ὀλοώτατος ἄλλων,
Ὄρθρος, ἀνιηρῷ ἐναλίγκιος ὄβριμον ἀλκὴν
Κερβέρῳ, ὅς ῥά οἱ ἔσκεν ἀδελφεός· ἀμφὶ δ' ἔκειτο
βουκόλος Εὐρυτίων μεμορυγμένος αἵματι πολλῷ.
 ἀμφὶ δὲ χρύσεα μῆλα τετεύχατο μαρμαίροντα
Ἑσπερίδων ἀνὰ πρέμνον ἀκήρατον· ἀμφὶ δ' ἄρ' αὐτῷ
σμερδαλέος δέδμητο δράκων· ταὶ δ' ἄλλοθεν ἄλλαι
πτώσσουσαι θρασὺν υἷα Διὸς μεγάλοιο φέβοντο.
 ἐν δ' ἄρ' ἔην, μέγα δεῖμα καὶ ἀθανάτοισιν ἰδέσθαι,
Κέρβερος, ὅν ῥ' ἀκάμαντι Τυφωέι γείνατ' Ἔχιδνα
ἄντρῳ ὑπ' ὀκρυόεντι μελαίνης ἀγχόθι νυκτὸς
ἀργαλέης· ὁ δ' ἄρ' ἦεν ἀεικέλιόν τι πέλωρον,
ἀμφ' ὀλοῇσι πύλῃσι πολυκλαύτου Ἀίδαο
εἴργων νεκρὸν ὅμιλον ὑπ' ἠερόεντι βερέθρῳ·
ῥεῖα δέ μιν Διὸς υἱὸς ὑπὸ πληγῇσι δαμάσσας
ἦγε καρηβαρέοντα παρὰ Στυγὸς αἰπὰ ῥέεθρα

247 -φόροι AE^1, -βόροι em. *r* et sic *P* ὑπὸ *v*, ἐπὶ (*r*)*wbsplk* φάτνης *A*, -ῃσι *rtl*, -ῃσιν *kP* 250 τεθνεῶτος *tl* κάρη δέ μιν *AP*, κ. δέ οἱ *rhl*, καάρατα E^1, καρήατα δ' *Vrtk* 253 ὄμβριμος *A*, -ον *rp*, ὄβριμος *tlP*, -ον *k* 262ᵃ hunc v. ubique omissum ex *P* addidi

ἕλκων οὐκ ἐθέλοντα βίῃ πρὸς ἀήθεα χῶρον
θαρσαλέως· ἐτέτυκτο δ' ἀπόπροθεν ἄγκεα μακρὰ
Καυκάσου· ἀμφὶ δὲ δεσμὰ Προμηθέος ἄλλυδις ἄλλα
αὐτῇς σὺν πέτρῃσιν ἀναρρήξας ἀραρυίαις
λῦε μέγαν Τιτῆνα· λυγρὸς δέ οἱ ἀγχόθι κεῖτο
αἰετὸς ἀλγινόεντι δέμας βεβλημένος ἰῷ.
Κενταύρων δ' ἐτέτυκτο πολυσθενέων μέγα κάρτος
ἀμφὶ Φόλοιο μέλαθρον· Ἔρις δ' ὀρόθυνε καὶ οἶνος
ἀντίον Ἡρακλῆι τεράατα κεῖνα μάχεσθαι·
καί ῥ' οἱ μὲν πεύκῃσι περιδμηθέντες ἔκειντο,
τὰς ἔχον ἐν χείρεσσι, μάχης ἄκος· οἱ δ' ἔτι μακρῆς
δηριόωντ' ἐλάτῃσι μεμαότες, οὐδ' ἀπέληγον
ὑσμίνης· πάντων δὲ καρήατα δεύετο λύθρῳ
θεινομένων ἀνὰ δῆριν ἀμείλιχον, ὡς ἐτεόν περ·
οἴνῳ δ' αἷμα μέμικτο, συνηλοίητο δὲ πάντα
εἴδατα καὶ κρητῆρες ἐΰξεστοί τε τράπεζαι.
Νέσσον δ' αὖθ' ἑτέρωθι παρὰ ῥόον Εὐηνοῖο
κείνης ἐκπροφυγόντα μάχης ὑπεδάμνατ' ὀϊστῷ
ἀμφ' ἐρατῆς ἀλόχοιο χολούμενος. ἐν δ' ἐτέτυκτο
ὀβρίμου Ἀνταίοιο μέγα σθένος, ὅν ῥα καὶ αὐτὸν
ἀμφὶ παλαισμοσύνης ἄμοτον περιδηριόωντα
ὑψοῦ ἀειράμενος κρατερῇς συνέαξε χέρεσσι.
κεῖτο δ' ἐπὶ προχοῇσιν ἐϋρρόου Ἑλλησπόντου
ἀργαλέον μέγα κῆτος ἀμειλίκτοισιν ὀϊστοῖς
βλήμενον· Ἡσιόνης δὲ κακοὺς ἀπελύετο δεσμούς.
ἄλλα δ' ἄρ' Ἀλκείδαο θρασύφρονος ἄσπετα ἔργα
ἄμφεχεν Εὐρυπύλοιο διοτρεφέος σάκος εὐρύ.

268 δ' ἐτέτυκτο *AP*, ἐτέτυκτο δ' em. *r* 270 ἅμα γυίοις *v*, ἁ. γυίης *P*, ἀραρυίαις *st*^{2}*hk* 274 μέλεθρ. *PV* 276 περιδμηθ. *v*, περὶ δμ. *pkl*^{2}, πέρι δμ. *st*^{1}, περικλινθέντες *k* olim 281 συνηλλοίωτο *v*, -ηλοίητο *k* 283 αὖ *v*, αὖθ' *VPlk* -θε *v*, -θι *spk* 288 -αῖς *v*, -ῇς *tlk*

φαίνετο δ' ἶσος Ἄρηι μετὰ στίχας ἀίσσοντι·
Τρῶες δ' ἀμφιέποντες ἐγήθεον, εὖτ' ἐσίδοντο
τεύχεά τ' ἠδὲ καὶ ἄνδρα θεῶν ἐπιειμένον εἶδος·
τὸν δὲ Πάρις προσέειπεν ἐποτρύνων ποτὶ δῆριν·
„χαίρω σεῖο κιόντος, ἐπεί νύ μοι ἦτορ ἔολπεν·
Ἀργείους μάλα πάντας ὀιζυρῶς ἀπολέσθαι
αὐτῇς σὺν νήεσσιν, ἐπεὶ βροτὸν οὔ ποτε τοῖον
ἔδρακον ἐν Τρώεσσιν ἐυπτολέμοισί τ' Ἀχαιοῖς.
ἀλλὰ σύ, πρὸς μεγάλοιο καὶ ὀβρίμου Ἡρακλῆος,
τῷ μέγεθός τε βίην τε καὶ ἀγλαὸν εἶδος ἔοικας,
κείνου μνωόμενος φρονέων τ' ἀντάξια ἔργα
θαρσαλέως Τρώεσσι δαϊζομένοις ἐπάμυνον,
ἤν πως ἀμπνεύσωμεν· ἐπεὶ σέγε μοῦνον ὀίω
ἄστεος ὀλλυμένοιο κακὰς ἀπὸ κῆρας ἀλέξαι."
ἦ μέγ' ἐποτρύνων· ὁ δέ μιν προσεφώνεε μύθῳ·
„Πριαμίδη μεγάθυμε, δέμας μακάρεσσιν ἐοικώς,
ταῦτα μὲν ἀθανάτων ἐνὶ γούνασιν ἐστήρικται,
ὅς τε θάνῃ κατὰ δῆριν ὑπέρβιον ἠὲ σαωθῇ·
ἡμεῖς δ', ὥς περ ἔοικε καὶ ὡς σθένος ἐστὶ μάχεσθαι,
στησόμεθα πρὸ πόληος· ἔπειτα δὲ καὶ τόδ' ὀμοῦμαι,
μὴ πρὶν ὑποστρέψειν, πρίν γ' ἢ κτάμεν ἢ ἀπολέσθαι."
ὣς φάτο θαρσαλέως· Τρῶες δ' ἐπὶ μακρὰ χάροντο.
καὶ τότ' Ἀλέξανδρόν τε καὶ Αἰνείαν ἐρίθυμον
Πουλυδάμαντά τ' ἐυμμελίην καὶ Πάμμονα δῖον
Δηίφοβόν τ' ἐπὶ τοῖσι καὶ Αἴθικον, ὃς περὶ πάντων
Παφλαγόνων ἐκέκαστο μάχῃ ἔνι τλῆναι ὅμιλον,
τοὺς ἅμα λέξατο πάντας ἐπισταμένους πονέεσθαι,

296 τ' om. *A*, add. *htlkP* 297 ἐποτρ. π. δ. προσέειπε *AP* (-εν *P*), π. δ. ἐποτρ. προσέειπε *rtlk*, προσέειπεν ἐποτρ. π. δ. *ego* 300 -αῖς *AP*, -ῇς *tlk* οὔπω *AP*, em. *r* 314 πρὶν ἢ *v*, πρίν γ' ἢ *Sylburg pP*

ὅππως δυσμενέεσσιν ἐνὶ πρώτοισι μάχωνται
ἐν πολέμῳ. μάλα δ' ὦκα κίον προπάροιθεν ὁμίλου·
προφρονέως δ' οἴμησαν ἀπ' ἄστεος· ἀμφὶ δὲ λαοὶ
πολλοὶ ἕπονθ', ὡς εἴ τε μελισσάων κλυτὰ φῦλα
ἡγεμόνεσσιν ἑῇσι κατηρεφέος σίμβλοιο
ἐκχύμεναι καναχηδόν, ὅτ' εἴαρος ἦμαρ ἵκηται·
ὣς ἄρα τοῖσιν ἕποντο βροτοὶ ποτὶ δῆριν ἰοῦσι·
τῶν δ' ἄρα νισσομένων πολὺς αἰθέρα δοῦπος ἵκανεν
αὐτῶν ἠδ' ἵππων· περὶ δ' ἔβρεμεν ἄσπετα τεύχη.
ὡς δ' ὁπόταν μεγάλοιο βίῃ ἀνέμοιο θοροῦσα
κινήσῃ προθέλυμνον ἁλὸς βυθὸν ἀτρυγέτοιο,
κύματα δ' ὦκα κελαινὰ πρὸς ἠιόνας βοόωντα
φῦκος ἀποπτύωσιν ἐρευγομένοιο κλύδωνος,
ἠχὴ δ' ἀτρυγέτοισι παρ' αἰγιαλοῖσιν ὄρωρεν·
ὣς τῶν ἐσσυμένων μέγ' ὑπέβραχε γαῖα πελώρη.
Ἀργεῖοι δ' ἀπάνευθε πρὸ τείχεος ἐξεχέοντο
ἀμφ' Ἀγαμέμνονα δῖον· αὐτὴ δ' ἔπλετο λαῶν
ἀλλήλοις ἐπικεκλομένων· ὀλοοῦ πολέμοιο
ἀντιάαν καὶ μή τι καταπτώσσοντας ἐνιπὴν
μίμνειν πὰρ νήεσσιν ἐπειγομένων μαχέσασθαι.
Τρωσὶ δ' ἄρ' ἐσσυμένοισι συνήντεον, εὖτε βόεσσι
πόρτιες ἐκ ξυλόχοιο ποτὶ σταθμὸν ἐρχομένῃσιν
ἐκ νομοῦ εἰαρινοῖο κατ' οὔρεος, ὁππότ' ἄρουραι
πυκνὸν τηλεθάουσι, βρύει δ' ἅλις ἄνθεσι γαῖα,
πλήθει δ' αὖτε κύπελλα βοῶν γλάγος ἠδὲ καὶ οἰῶν,

325 ἑοῖσι *v*, ἑῇσι *ego* διηρ. *v*, κατηρ. *st²k* 326 ἐσσύμ. *v*, ἐκχύμ. *kl²* 327 περὶ *A*, ποτὶ em. *r*(*P*?) 328 ὀρώρει *v*, ἵκανεν *rspk* 329 αὐτῶν τ' *spl* 336 ἐξεχ. *v*, ἐστιχόωντο *rpk* 340 μαχέεσθαι *v*, μαχέσασθαι *ego*, ἐπειγόμενοι δὲ μάχεσθαι | Τρωσὶν ἐπεσσ. *k* olim, -ομένῳ δὲ μάχεσθαι sequente lacuna [velut πάντες ἑῷ βασιλῆι μέγ' ἐμμεμαῶτες ἕποντο] *k* in edd.

μυκηθμὸς δέ τε πουλὺς ὀρίνεται ἔνθα καὶ ἔνθα
μισγομένων, γάνυται δὲ μετὰ σφίσι βουκόλος ἀνήρ·
ὣς τῶν ἀλλήλοισι μετεσσυμένων ὀρυμαγδὸς
ὠρώρει· δεινὸν γὰρ ἀύτεον ἀμφοτέρωθε.
σὺν δὲ μάχην ἐτάνυσσαν ἀπείριτον· ἐν δὲ Κυδοιμὸς
στρωφᾶτ' ἐν μέσσοισι μετ' ἀργαλέοιο Φόνοιο·
σὺν δ' ἔπεσον ῥινοί τε καὶ ἔγχεα καὶ τρυφάλειαι
πλησίον· ἀμφὶ δὲ χαλκὸς ἴσον πυρὶ μαρμαίρεσκε·
φρῖξε δ' ἄρ' ἐγχείῃσι μάχη· περὶ δ' αἵματι πάντῃ
δεύετο γαῖα μέλαινα δαϊκταμένων ἡρώων
ἵππων τ' ὠκυπόδων, οἵ θ' ἅρμασιν ἀμφεκέχυντο,
οἱ μὲν ἔτ' ἀσπαίροντες ὑπ' ἔγχεσιν, οἱ δ' ἐφύπερθε
πίπτοντες· στυγερὴ δὲ δι' ἠέρος ἔσσυτ' ἀϋτή·
ἐν γὰρ δὴ χάλκειος Ἔρις πέσεν ἀμφοτέροισι.
καί ῥ' οἱ μὲν λάεσσιν ἀταρτηροῖσι μάχοντο,
οἱ δ' αὖτ' αἰγανέῃσι νεήκεσιν ἠδὲ βέλεσσιν,
ἄλλοι δ' ἀξίνῃσι καὶ ἀμφιτόμοις πελέκεσσι
καὶ κρατεροῖς ξιφέεσσι καὶ ἀγχεμάχοις δοράτεσσιν,
ἄλλος δ' ἄλλο χέρεσσι μάχης ἀλκτήριον εἶχε.
πρῶτοι δ' Ἀργεῖοι Τρώων ὤσαντο φάλαγγας
βαιὸν ἀπὸ σφείων· τοὶ δ' ἔμπαλιν ὁρμήσαντες
αἵματι δεῦον Ἄρηα μετ' Ἀργείοισι θορόντες.
Εὐρύπυλος δ' ἐν τοῖσι μελαίνῃ λαίλαπι ἶσος
λαὸν ἐπῴχετο πάντα καὶ Ἀργείους ἐνάριξε
θαρσαλέως· μάλα γάρ οἱ ἀάσπετον ὤπασε κάρτος

346 τε πολὺς *A*, τε π. μάλ' *rtl*, τ' ἄρα πουλὺς *p*, δ' ἄρα π. *k*, δέ τε πολλοὶ *P*, δέ τε πουλὺς *ego* 349 -θεν *v*, -θε *ego* 353 -σκεν *v*, -σκε *k* 355 δαϊζομένων *v*, -κταμένων *lw* 357 ὑπ' ἄξοσιν *pk* -θεν *v*, -θε *ego* 358 ἀυτμή *AP*, em. *p* 359 Ἄρης? 360 -ῶς ἐμάχ. *v*, -οῖς ἐμ. *st*[1], -οῖσι μ. *ego* 362 -κεσσιν *P* 363 -ῇσι λάεσσι *A*, -οῖσι λ. *P*, -οῖς ξιφ. *ptlk* 370 οἱ ὤπασε *A*, οἱ ἀάσχετον ὤ. *rtl*, οἱ ἀάσπ. *spk* (ἄσπετον *P*)

Ζεὺς ἐπίηρα φέρων ἐρικυδέι Ἡρακλῆι.
ἔνθ' ὅ γε καὶ Νιρῆα θεοῖς ἐναλίγκιον ἄνδρα
μαρνάμενον Τρώεσσι βάλεν περιμήκεϊ δουρὶ
βαιὸν ὑπὲρ πρότμησιν· ὁ δ' ἐς πέδον ἤριπε γαίης·
ἐκ δέ οἱ αἷμ' ἐχύθη, δεύοντο δέ οἱ κλυτὰ τεύχη,
δεύετο δ' ἀγλαὸν εἶδος ἅμ' εὐθαλέεσσι κόμῃσι·
κεῖτο δ' ἄρ' ἐν κονίῃσι καὶ αἵματι σὺν κταμένοισιν,
ἔρνος ὅπως ἐριθηλὲς ἐλαίης εὐκεάτοιο,
ἥν τε βίη ποταμοῖο κατὰ ῥόον ἠχήεντα
σύν τ' ὄχθης ἐλάσῃσι βόθρον διὰ πάντα κεδάσσας
ῥιζόθεν, ἡ δ' ἄρα κεῖται ὑπ' ἄνθεσι βεβριθυῖα·
ὣς τῆμος Νιρῆος ἐπὶ χθονὸς ἄσπετον οὖδας
ἐξεχύθη δέμας ἠὺ καὶ ἀγλαΐη ἐρατεινή.
τῷ δ' ἄρ' ἐπ' Εὐρύπυλος μεγάλ' εὔχετο δῃωθέντι·
„κεῖσό νυν ἐν κονίῃσιν, ἐπεί νύ τοι εἶδος ἀγητὸν
οὔ τι λιλαιομένῳ περ ἐπήρκεσεν, ἀλλά σ' ἔγωγε
νοσφισάμην βιότοιο λιλαιόμενόν περ ἀλύξαι·
σχέτλιος, οὐδ' ἐνόησας ἀμείνονος ἀντίον ἐλθών·
οὐ γὰρ κάρτεϊ κάλλος ἀνὰ κλόνον ἰσοφαρίζει.“
ὣς εἰπὼν κταμένοιο περικλυτὰ τεύχε' ἑλέσθαι
μήδετ' ἐπεσσύμενος· τοῦ δ' ἀντίον ἦλθε Μαχάων
χωόμενος Νιρῆος, ὅ οἱ σχεδὸν αἶσαν ἀνέτλη·
δουρὶ δέ μιν στονόεντι κατ' εὐρέος ἤλασεν ὤμου
δεξιτεροῦ, σύτο δ' αἷμα πολυσθενέος περ ἐόντος.
ἀλλ' οὐδ' ὣς ἀπόρουσεν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ', ὥς τίς τε λέων ἢ ἄγριος οὔρεσι κάπρος,

377 γὰρ *v*, δ' ἄρ' *k*   αἵμ. καὶ κτ. *P*   378 εὐκτεάτ. *AP*, -κτεάν. *rp*, -κεάτ. *sctlk*   384 δ' ἔπι *v*, δ' ἄρ' ἔπ' *hlk*   388 σχέτλιε *AP*, -ιος *hlk*   391 ἀντίος *v*, -ίον ex *Pego*   396 post h. v. lacunae signa *st*² auctore pos. *k* ['quem in montium recessibus multi venatores adoriuntur']

μαίνετ' ἐνὶ μέσσοισιν, ὅπως κ' ἐπιόντα δαμάσσῃ,
ὅς ῥά μιν οὔτασε πρῶτος ὑποφθάμενος δι' ὁμίλου·
τὰ φρονέων ἐπόρουσε Μαχάονι, καί ῥά μιν ὦκα
οὔτασεν ἐγχείῃ περιμήκεΐ τε στιβαρῇ τε
δεξιτερὸν κατὰ γλουτόν. ὁ δ' οὐκ ἀνεχάζετ' ὀπίσσω,
οὐδ' ἐπιόντ' ἀλέεινε καὶ αἵματος ἐσσυμένοιο·
ἀλλ' ἄρα καρπαλίμως περιμήκεα λᾶαν ἀείρας
κάββαλε κὰκ κεφαλῆς μεγαθύμου Τηλεφίδαο·
τοῦ δὲ κόρυς στονόεντα φόνον καὶ πῆμ' ἀπάλαλκεν
ἐσσυμένως. ὁ δ' ἔπειτα κραταιῷ χώσατο φωτὶ
ἥρως Εὐρύπυλος, μέγα δ' ἀσχαλόων ἐνὶ θυμῷ
ὠκὺ διὰ στέρνοιο Μαχάονος ἤλασεν ἔγχος·
αἰχμὴ δ' αἱματόεσσα μετάφρενον ἄχρις ἵκανεν·
ἤριπε δ' ὡς ὅτε ταῦρος ὑπὸ γναθμοῖσι λέοντος·
ἀμφὶ δέ οἱ μελέεσσι μέγ' ἔβραχεν αἰόλα τεύχη.
Εὐρύπυλος δέ οἱ αἶψα πολύστονον εἰρύσατ' αἰχμὴν
ἐκ χροὸς οὐταμένοιο καὶ εὐχόμενος μέγ' ἄϋτει·
„ἆ δείλ', οὔ νύ τοι ἦτορ ἀρηρέμενον φρεσὶ πάμπαν
ἔπλεθ', ὅς οὐτιδανός περ ἐὼν μέγ' ἀμείνονι φωτὶ
ἄντα κίες· τῶ καί σε κακὴ λάχε δαίμονος Αἶσα·
ἀλλὰ σοὶ ἔσσετ' ὄνειαρ, ὅτ' οἰωνοὶ δατέονται
σάρκα τεὴν κταμένοιο κατὰ μόθον· ἦ ἔτ' ἐέλπῃ
νοστήσειν καὶ ἐμεῖο μένος καὶ χεῖρας ἀλύξειν;
ἐσσὶ μὲν ἰητήρ, μάλα δ' ἤπια φάρμακα οἶδας,
τοῖς πίσυνος τάχ' ἔολπας ὑπεκφυγέειν κακὸν ἦμαρ·
ἀλλ' οὐ μὰν οὐδ' αὐτὸς ἀπ' ἠνεμόεντος Ὀλύμπου

397 *ἕως v, ὅπως κ' ego* 404 *κεφαλὴν ptl* 405 *κῆρ' v, πῆμ'* ex *P ego* 407 *ἥρως* om. *A*, ci. *t*, ex *P ego* addidi; *Εὐρ. μεγάθυμος ἰδ' tl, Εὐρ. μᾶλλον k* (olim *μᾶλλον ἔτ' Εὐρ.*)
410 *γναθμοῖο v, -οῖσι k* 411 *μιν AP, οἱ C*[1]*rhtlk*
414 *-άμενον v, -έμενον ego* 418 *ἔτι ἔλπῃ v, ἔτ' ἐέλπῃ hlk*
422 *ἠερόεντος v, ἀστερόεντος* vel *αἰγλήεντος p, ἠνεμόεντος k*

σεῖο πατὴρ τεὸν ἦτορ ἔτ' ἐκ θανάτοιο σαώσει,
οὐδ' εἴ τοι νέκταρ τε καὶ ἀμβροσίην καταχεύῃ."
ὣς φάτο· τὸν δ' ὅ γε βαιὸν ἀναπνείων προσέειπεν·
„Εὐρύπυλ', οὐδ' ἄρα σοίγε πολὺν χρόνον αἴσιμόν ἐστι
ζώειν, ἀλλὰ σοὶ ἄγχι παρίσταται οὐλομένη Κὴρ
Τρώιον ἂμ πεδίον, τῷ καὶ νῦν αἴσυλα βάζεις."
ὣς φάμενον λίπε θυμός· ἔβη δ' ἄφαρ Ἄιδος εἴσω·
τὸν δὲ καὶ οὐκέτ' ἐόντα προσηύδα κύδιμος ἀνήρ·
„νῦν μὲν δὴ σύγε κεῖσο κατὰ χθονός· αὐτὰρ ἔγωγε
ὕστερον οὐκ ἀλέγω, εἰ καὶ παρὰ ποσσὶν ὄλεθρος
σήμερον ἡμετέροισι πέλει λυγρός· οὔ τι γὰρ ἄνδρες
ζώομεν ἤματα πάντα· πότμος δ' ἐπὶ πᾶσι τέτυκται."
ὣς εἰπὼν οὔταζε νέκυν· μέγα δ' ἴαχε Τεῦκρος,
ὡς ἴδεν ἐν κονίῃσι Μαχάονα· τοῦ γὰρ ἄπωθεν
εἱστήκει μάλα πάγχυ πονεύμενος· ἐν γὰρ ἔκειτο
δῆρις ἐνὶ μέσσοισιν· ἐπ' ἄλλῳ δ' ἄλλος ὀρώρει.
ἀλλ' οὐδ' ὣς ἀμέλησε δεδουπότος ἀνδρὸς ἀγαυοῦ
Νιρῆός θ', ὃς κεῖτο παραυτόθι· τὸν δ' ἐνόησεν
ὕστερον ἀντιθέοιο Μαχάονος ἐν κονίῃσιν·
αἶψα δ' ὅ γ' Ἀργείοισιν ἐκέκλετο μακρὰ βοήσας·
„ἔσσυσθ', Ἀργεῖοι, μηδ' εἰκέμεν ἐσσυμένοισι
δυσμενέσιν· νῶιν γὰρ ἀάσπετον ἔσσετ' ὄνειδος,
εἴ κε Μαχάονα δῖον ἅμ' ἀντιθέῳ Νιρῆι
Τρῶες ἐρυσσάμενοι ποτὶ Ἴλιον ἀπονέωνται·

426 σοι πολὺν *A*, σοὶ πουλὺν *Vrk*, σοί γε πολὺν (*r*)*tlP* 428 περ *v*, καὶ *k* ῥέξεις *v*, βάζεις *ego* 431 σὺ *AP*, σύγε em. *r* 432 καὶ εἰ *v*, εἰ καὶ *gk* 435 ὤθησε vel ὤθεσκε ci. *p*, ὀνόταζε *hk*[1] (sed οὔταζε in praefatione) 440 θ' om. *AM*, add. *r* τὸν ῥ' *P* 443 sq. εἴκετε ἐσσυμένοισι | δυσμενέεσσιν *AE*[1], ἕκετ' ἐσσ. | δυσμενέσι *P*, εἴκετε δυσμενέεσσιν | ἐσσυμένοις *rtlk*, εἴκετον ἐσσυμένοισι | δυσμενέσιν *st*[1], εἰκέμεν ἐ. | δ. *ego* 445 αἴ *v*, εἴ (*k*)*ego*

ἀλλ' ἄγε, δυσμενέεσσι μαχώμεθα πρόφρονι θυμῷ,
ὄφρα δαϊκταμένους εἰρύσσομεν ἠὲ καὶ αὐτοὶ
κείνοις ἀμφιθάνωμεν, ἐπεὶ θέμις ἀνδράσιν αὕτη
οἷσιν ἀμυνέμεναι μηδ' ἄλλοις κύρμα λιπέσθαι·
οὐ γὰρ ἀνιδρωτί γε μετ' ἀνδράσι κῦδος ἀέξει."
ὣς ἄρ' ἔφη· Δαναοῖσι δ' ἄχος γένετ'· ἀμφὶ δ' ἄρ' αὐτοῖς
πολλοὶ γαῖαν ἔρευθον ὑπ' Ἄρεϊ δηωθέντες
μαρναμένων ἑκάτερθεν· ἴση δ' ἐπὶ δῆρις ὀρώρει.
ὀψὲ δ' ἀδελφειοῖο φόνον στονόεντα νόησε
βλημένου ἐν κονίῃ Ποδαλείριος, οὕνεκα νηυσὶν
ἧστο παρ' ὠκυπόροισι τετυμμένα δούρασι φωτῶν
ἕλκε' ἀκειόμενος. περὶ δ' ἔντεα δύσατο πάντα,
θυμὸν ἀδελφειοῖο χολούμενος· ἐν δέ οἱ ἀλκὴ
σμερδαλέον στέρνοισιν ἀέξετο μαιμώωντι
ἐς πόλεμον στονόεντα· μέλαν δέ οἱ ἔζεεν αἷμα
λάβρον ὑπὸ κραδίῃ· τάχα δ' ἔνθορε δυσμενέεσσι
χερσὶ θοῇσιν ἄκοντα τανυγλώχινα τινάσσων.
εἷλε δ' ἄρ' ἐσσυμένως Ἀγαμήστορος υἱέα δῖον
Κλεῖτον, ὃν ἠύκομος Νύμφη τέκεν ἀμφὶ ῥεέθροις
Παρθενίου, ὅς τ' εἶσι διὰ χθονὸς ἠύτ' ἔλαιον
πόντον ἐπ' Εὔξεινον προχέων καλλίρροον ὕδωρ.
ἄλλον δ' ἀμφὶ κασιγνήτῳ κτάνε δήιον ἄνδρα
Λᾶσσον, ὃν ἀντίθεος Προνόη τέκεν ἀμφὶ ῥεέθροις

448 ἤ ῥα *v*, ἠὲ *spk* 449 ἀμφὶ θάν. *v*, ἀμφι θ. *P*, ἀμφιθάν. *k*. post h. v. auctore *h* lacunae signa pos. *k* [velut ἐσθλοῦ δ' ἔστιν ἄνακτος ἀποκταμένοις ἐνὶ χάρμῃ] 450 μήδ' ἄλλοις κ. γενέσθαι *v*, μὴ ἄλλοις *p*, μὴ . . γένωνται ci. *t*, δηίοις μὴ κ. γενέσθαι *k*, μηδ' ἄ. κ. λιπέσθαι *ego* 455 -σεν *v*, -σε *kP* 456 κονίῃς st^2 457 τετυγμ. *v*, τετυμμ. *spblkP* -τι *v*, -σι *kP* 458 δύσατο θύων ol. ci. *k* 460 -αλέοισι *A*, -αλέοῖ σιν *P*, -έῃ *r*, -έον *ptlk* 465 Κλῦτον *A*, Κλυτόν *P*, Κλεῖτον (*r*)*ptlk* 467 ἐσ *P* 469 Λάσσον *P* -θεον *v*, -θεος rkl^2

Νυμφαίου ποταμοῖο μάλα σχεδὸν εὐρέος ἄντρου,
ἄντρου θηητοῖο, τὸ δὴ φάτις ἔμμεναι αὐτῶν
ἱρὸν Νυμφάων, ὁπόσαι περὶ μακρὰ νέμονται
οὔρεα Παφλαγόνων καὶ ὅσαι περὶ βοτρυόεσσαν
ναίουσ' Ἡράκλειαν· ἔοικε δὲ κεῖνο θεοῖσιν
ἄντρον, ἐπεί ῥα τέτυκται ἀπειρέσιον μὲν ἰδέσθαι
λάϊνεον, ψυχρὸν δὲ διὰ σπέος ἔρχεται ὕδωρ
κρυστάλλῳ ἀτάλαντον, ἐνὶ μυχάτοισι δὲ πάντῃ
λαΐνεοι κρητῆρες ἐπὶ στυφελῇσι πέτρῃσιν,
αἰζηῶν ὡς χερσὶ τετυγμένοι, ἰνδάλλονται·
ἀμφ' αὐτοῖσι δὲ Πᾶνες ὁμῶς Νύμφαι τ' ἐρατειναί,
ἱστοί τ' ἠλακάται τε, καὶ ἄλλ' ὅσα τεχνήεντα
ἔργα πέλει θνητοῖσι, τὰ καὶ περὶ θαῦμα βροτοῖσιν
εἴδεται ἐρχομένοισιν ἔσω ἱεροῖο μυχοῖο·
τῷ ἔνι δοιαὶ ἔνεισι καταιβασίαι τ' ἄνοδοί τε,
ἡ μὲν πρὸς Βορέαο τετραμμένη ἠχήεντος
πνοιάς, ἡ δὲ Νότοιο καταντίον ὑγρὸν ἀέντος,
τῇ θνητοὶ νίσσονται ὑπὸ σπέος εὐρὺ θεάων·
ἡ δ' ἑτέρη μακάρων πέλεται ὁδός, οὐδέ μιν ἄνδρες
ῥηιδίως πατέουσιν, ἐπεὶ χάος εὐρὺ τέτυκται
μέχρις ἐπ' Ἀιδονῆος ὑπερθύμοιο βέρεθρον·
ἀλλὰ τὰ μὲν μακάρεσσι πέλει θέμις εἰσοράασθαι. — —
τῶν δ' αὖτ' ἀμφὶ Μαχάον' ἰδ' Ἀγλαΐης κλυτὸν υἷα
μαρναμένων ἑκάτερθεν ἀπέφθιτο πουλὺς ὅμιλος·
ὀψὲ δὲ δὴ Δαναοί σφεας εἴρυσαν ἀθλήσαντες

474 δ' ἐκεῖνο *v*, δὲ κ. *hlk* 480 πάντες *AP*, Πᾶνες *rtlk* 484 τ' om. *AP*, add. *r* 485 τεταγμένη *v*, τετυγμ. *st*[1], τετραμμ. *kspl*[2] 490 Αἰδων. *sp* 492 ἀμφὶ Μαχάονα κλυτὸν *AP*, ἀ. Μ. δ' ἐσθλὸν *rtl*, lacunae signis ante h. v. positis [velut τῶν δ' ἄρ' ἔτ' ἐν πεδίῳ Τρώων Δαναῶν τ' ἐριθύμων] ἀ. Μ. δῖον *k* (olim ἀ. Μ. κλειτὸν ἰδ' Ἀ. καλὸν υἷα), τῶν δ' αὖτ' ἀ. Μαχάον' *h*, καὶ τότ' ἄρ' ἀ. Μ. *ego* temptavi

πολλά περ· αἶψα δὲ νῆας ἔπι σφετέρας ἐκόμισσαν
παῦροι, ἐπεὶ πλεόνεσσι κακὴ περιπέπτατ' ὀιζὺς
ἀργαλέου πολέμοιο· πόνῳ δ' ἐνέμιμνον ἀνάγκῃ.
ἀλλ' ὅτε δὴ μάλα πολλοὶ ἐνεπλήσαντο κελαινὰς
κῆρας ἀν' αἱματόεντα καὶ ἀλγινόεντα κυδοιμόν,
δὴ τότ' ἄρ' Ἀργείων πολέες φύγον ἔνδοθι νηῶν,
ὅσσους Εὐρύπυλος μέγ' ἐπῴχετο πῆμα κυλίνδων.
παῦροι δ' ἀμφ' Αἴαντα καὶ Ἀτρέος υἷε κραταιὼ
μίμνον ἐν ὑσμίνῃ· καὶ δὴ τάχα πάντες ὄλοντο
δυσμενέων παλάμῃσι περιστρωφῶντες ὁμίλῳ,
εἰ μὴ Ὀιλέος υἱὸς ἐύφρονα Πουλυδάμαντα
ἔγχεϊ τύψε παρ' ὦμον ἀριστερὸν ἀγχόθι μαζοῦ·
ἐκ δέ οἱ αἷμ' ἐχύθη· ὁ δ' ἐχάσσατο τυτθὸν ὀπίσσω.
Δηίφοβον δ' οὔτησε περικλειτὸς Μενέλαος
δεξιτερὸν παρὰ μαζόν· ὁ δ' ἔκφυγε ποσσὶ θοοῖσιν.
ἔνθ' Ἀγαμέμνων δῖος ἐνήρατο πουλὺν ὅμιλον
πληθύος ἐξ ὀλοῆς· μετὰ δ' Αἴθικον ᾤχετο δῖον
θύων ἐγχείῃσιν· ὁ δ' εἰς ἑτάρους ἀλέεινε.
τοὺς δ' ὁπότ' Εὐρύπυλος λαοσσόος εἰσενόησε
χαζομένους ἅμα πάντας ἀπὸ στυγεροῖο κυδοιμοῦ,
αὐτίκα κάλλιπε λαόν, ὅσον κατὰ νῆας ἔλασσε,
καί ῥα θοῶς οἴμησεν ἐπ' Ἀτρέος υἷε κραταιὼ
παῖδά τε καρτερόθυμον Ὀιλέος, ὃς περὶ μὲν θεῖν
ἔσκε θοός, περὶ δ' αὖτε μάχῃ ἔνι φέρτατος ἦεν·
τοῖς ἔπι κραιπνὸν ὄρουσεν ἔχων περιμήκετον ἔγχος.
σὺν δέ οἱ ἦλθε Πάρις τε καὶ Αἰνείας ἐρίθυμος,
ὅς ῥα θοῶς Αἴαντα βάλεν περιμήκεϊ πέτρῃ

500 *δὴ τότε AP, δὴ τότε γ' t, δή ῥα τότ' hl, δὴ τότ' ἄρ' spk* 504 *-στροφέοντες v, -στρεφέοντ P, -στρωφῶντ. hyspk* 508 *οὔτασε A, οὔταζε rtl, οὔτησε rkP* 510 *ἀνδ' AP, ἔνθ' rtlk* 515 *-σσεν v, -σσε kP*

κὰκ κόρυθα κρατερήν· ὁ δ' ἄρ' ἐν κονίῃσι τανυσθεὶς
ψυχὴν οὔ τι κάπυσσεν, (ἐπεί νύ οἱ αἴσιμον ἦμαρ
ἐν νόστῳ ἐτέτυκτο Καφηρίσιν ἀμφὶ πέτρῃσι)
καί ῥά μιν ἁρπάξαντες ἀρηΐφιλοι θεράποντες
βαιὸν ἔτ' ἀμπνείοντα φέρον ποτὶ νῆας Ἀχαιῶν.
καὶ τότ' ἄρ' οἰώθησαν ἀγακλειτοὶ βασιλῆες
Ἀτρεΐδαι· περὶ δέ σφιν ὀλέθριος ἵσταθ' ὅμιλος
βαλλόντων ἑκάτερθεν, ὅ τι σθένε χερσὶν ἑλέσθαι·
οἱ μὲν γὰρ στονόεντα βέλη χέον, οἱ δέ νυ λᾶας,
ἄλλοι δ' αἰγανέας· τοὶ δ' ἐν μέσσοισιν ἐόντες
στρωφῶντ', εὖτε σύες μέσῳ ἕρκεϊ ἠὲ λέοντες
ἤματι τῷ, ὅτ' ἄνακτες ἀολλίσσωσ' ἀνθρώπους
ἀργαλέως τ' εἰλέωσι κακὸν τεύχοντες ὄλεθρον
θηρσὶν ὕπο κρατεροῖς, οἱ δ' ἕρκεος ἐντὸς ἐόντες
δμῶας δαρδάπτουσιν, ὅτίς σφισιν ἐγγὺς ἵκηται·
ὣς οἵ γ' ἐν μέσσοισιν ἐπεσσυμένους ἐδάιζον.
ἀλλ' οὐδ' ὧς μένος εἶχον ἐελδόμενοί περ ἀλύξαι,
εἰ μὴ Τεῦκρος ἵκανε καὶ Ἰδομενεὺς ἐρίθυμος
Μηριόνης τε Θόας τε καὶ ἰσόθεος Θρασυμήδης,
οἵ ῥα πάρος φοβέοντο θρασὺ σθένος Εὐρυπύλοιο,
καί κε φύγον κατὰ νῆας ἀλευάμενοι βαρὺ πῆμα,
εἰ μὴ ἄρ' Ἀτρείδῃσι περιδδείσαντες ἵκοντο
ἄντην Εὐρυπύλοιο· μάχη δ' αἰδηλος ἐτύχθη.
ἔνθα τότ' Αἰνείαο κατ' ἀσπίδος ἔγχος ἔρεισε
Τεῦκρος ἐυμμελίης· τοῦ δ' οὐ χρόα καλὸν ἴαψεν·
ἤρκεσε γάρ οἱ πῆμα σάκος μέγα τετραβόειον·
ἀλλὰ καὶ ὧς δείσας ἀνεχάσσατο τυτθὸν ὀπίσσω.

524 -ησιν P 526 ἐμπν. v, ἀμπν. st¹lk 528 πὰρ v, περὶ kP 529 ὅ τ' ἔσθενε v, ὅ τις σθένε st¹, ὅ τι σθ. kl² 532 ἠδὲ v, ἠὲ splkP 534 δ' P εἰλῶσι v, ἰλῶσι VP, εἰλέωσι spk 538 μόρον εἶχον st¹ 544 ἀρίδηλ. v, αἰδ. splk

Μηριόνης δ' ἐπόρουσεν ἀμύμονι Λαοφόωντι
Παιονίδῃ, τὸν ἐγείνατ' ἐυπλόκαμος Κλεομήδη
Ἀξιοῦ ἀμφὶ ῥέεθρα· κίεν δ' ὅ γε Ἴλιον ἱρὴν
Τρωσὶν ἀρηξέμεναι μετ' ἀμύμονος Ἀστεροπαίου·
τὸν δ' ἄρα Μηριόνης νύξ' ἔγχεϊ ὀκριόεντι
αἰδοίων ἐφύπερθε· θοῶς δέ οἱ εἴρυσεν αἰχμὴ
ἔγκατα· τοῦ δ' ὤκιστα ποτὶ ζόφον ἔσσυτο θυμός.
Αἴαντος δ' ἄρ' ἑταῖρος Ὀιλιάδαο δαΐφρων
Ἀλκιμέδης ἐς ὅμιλον ἐυσθενέων βάλε Τρώων·
ἧκε δ' ἐπευξάμενος δηίων ἐς φύλοπιν αἰνὴν
σφενδόνῃ ἀλγινόεντα λίθον· διὰ δ' ἔτρεσαν ἄνδρες
ῥοῖζον ὁμῶς καὶ λᾶα περιδδείσαντες ἰόντα.
τὸν δ' ὀλοὴ φέρε Μοῖρα ποτὶ θρασὺν ἡνιοχῆα
Πάμμονος Ἱππασίδην· τὸν δ' ἡνία χερσὶν ἔχοντα
πλῆξε κατὰ κροτάφοιο· θοῶς δέ μιν ἔκβαλε δίφρου
πρόσθεν ἑοῖο τροχοῖο· θοὸν δέ οἱ ἅρμα πεσόντος
λυγρὸν ἐπισσώτροισι δέμας διελίσσετ' ὀπίσσω
ἵππων ἱεμένων· θάνατος δέ μιν αἰνὸς ἐδάμνα
ἐσσυμένως μάστιγα καὶ ἡνία νόσφι λιπόντα.
Πάμμονι δ' ἔμπεσε πένθος· ἄφαρ δέ ἑ θῆκεν ἀνάγκη
ἄμφω καὶ βασιλῆα καὶ ἡνιοχεῖν θοὸν ἅρμα·
καί νύ κεν αὐτοῦ κῆρα καὶ ὕστατον ἦμαρ ἀνέτλη,
εἰ μή οἱ Τρώων τις ἀνὰ κλόνον αἱματόεντα
ἡνία δέξατο χερσὶ καὶ ἐξεσάωσεν ἄνακτα
ἤδη τειρόμενον δηίων ὀλοῇσι χέρεσσιν.
ἀντίθεον δ' Ἀκάμαντα καταντίον ἀίσσοντα
Νέστορος ὄβριμος υἱὸς ὑπὲρ γόνυ δούρατι τύψεν·

551 Ἀξιοῦ *v*, Ἀξίου *P* ὅγ' *AP*, ὅγ' ἐς *rtlk*, ὅγε C^1n
553 τόνδ' ὅγε *A*, τὸν δ' ὅγε *P*, τὸν τότε *r*, τὸν δ' ἄρα C^1tlk
ὀκρυόεντι *AP*, -ιόεντι *tlk* 557 -μένης *Keil*, an -μέδων?
565 -ετο πρόσσω $hyst^2$ 569 ἡνίοχον *AP*, ἡνιοχεῖν *brhytlk*
574 ἀντίον *A*, ἀντιόων *V*, ἀντόων E^1, ἀντίθεον *rtlkP*

ἕλκεϊ δ' οὐλομένῳ στυγερὰς ὑπεδύσατ' ἀνίας·
χάσσατο δ' ἐκ πολέμοιο, λίπεν δ' ἑτάροισι κυδοιμὸν
δακρυόεντ'· οὐ γάρ οἱ ἔτι πτολέμοιο μεμήλει.
καὶ τότε δὴ θεράπων ἐρικυδέος Εὐρυπύλοιο
τύψε Θόαντος ἑταῖρον ἐχέφρονα Δηιοπίτην
ὤμου τυτθὸν ἔνερθε· περὶ κραδίην δέ οἱ ἔγχος
ἷξεν ἀνιηρόν· σὺν δ' αἵματι κήκιεν ἱδρὼς
ψυχρὸς ἀπὸ μελέων· καί μιν στρεφθέντα φέρεσθαι
εἰσοπίσω κατέμαρψε μέγα σθένος Εὐρυπύλοιο·
κόψε δέ οἱ θοὰ νεῦρα· πόδες δ' ἀέκοντες ἔμιμνον
αὐτοῦ, ὅπῃ μιν τύψε· λίπεν δέ μιν ἄμβροτος αἰών.
ἐσσυμένως δὲ Θόας νύξεν Πάριν ὀξέι δουρὶ
δεξιτερὸν κατὰ μηρόν· ὁ δ' ᾤχετο τυτθὸν ὀπίσσω
οἰσόμενος θοὰ τόξα, τά οἱ μετόπισθε λέλειπτο.
Ἰδομενεὺς δ' ἄρα λᾶαν, ὅσον σθένε, χερσὶν ἀείρας
κάββαλεν Εὐρυπύλοιο βραχίονα· τοῦ δὲ χαμᾶζε
κάππεσε λοίγιον ἔγχος· ἄφαρ δ' ἀνεχάσσατ' ὀπίσσω
~~οἰσέμεν ἐγχείην· τὴν γάρ τ' ἔχεν, ἔκβαλε χειρός.~~
Ἀτρεΐδαι δ' ἄρα τυτθὸν ἀνέπνευσαν πολέμοιο.
τῷ δὲ θοῶς θεράποντες ἔβαν σχεδόν, οἵ οἱ ἔνεικαν
ἀαγὲς δόρυ μακρόν, ὃ πολλῶν γούνατ' ἔλυσε·
δεξάμενος δ' ὅ γε λαὸν ἐπῴχετο κάρτεϊ θύων,
κτείνων, ὅν κε κίχῃσι, πολὺν δ' ὑπεδάμναθ' ὅμιλον.
ἔνθ' οὔτ' Ἀτρεΐδαι μένον ἔμπεδον οὔτέ τις ἄλλος
ἀγχεμάχων Δαναῶν· μάλα γὰρ δέος ἔλλαβε πάντας

580 ἐχέμμονα δηϊοτῆτα *Δ*, Ἐχ. δηϊοτῆτι *rt*, Ἐχ. δηριόωντα (*r*)*spl*[2], Ἐχ. sequente lacuna [velut δουρὶ κραταιῷ | ἀντιόωντα βαλὼν ὀλοὴν] ἀνὰ δηιοτῆτα *k*, ἐχ. δηϊοπίτην *P*, ἐχέφρονα *Δ*. *ego*, an ἐύφρονα vel ἀμύμονα *Δ*.? 585 ἀέκοντος *st*[1] 593 γάρ ῥ' *v*, γάρ *P*, γάρ τ' *k*. hunc v., quem damnaverunt *tst*[2], uncinis circumdedit *l* 595 ἔνεγκαν *v*, ἔνεικαν *ego* 598 κ' ἐκίχησε *AP*, κε κίχησε *C*[1]*tl*, κε κίχῃσι *rspk*

ἀργαλέον· πᾶσιν γὰρ ἐπέσσυτο πῆμα κορύσσων
Εὐρύπυλος, μετόπισθε δ' ἐπισπόμενος κεράιζε.
κέκλετο δ' αὖ Τρώεσσι καὶ ἱπποδάμοις ἑτάροισιν·
„ὦ φίλοι, εἰ δ' ἄγε θυμὸν ἐνὶ στέρνοισι βαλόντες
τεύξωμεν Δαναοῖσι φόνον καὶ κῆρ' ἀίδηλον,
οἳ δὴ νῦν μήλοισιν ἐοικότες ἀπονέονται
νῆας ἔπι σφετέρας· ἀλλὰ μνησώμεθα πάντες
ὑσμίνης ὀλοῆς, ἧς παιδόθεν ἴδμονές εἰμεν.“
ὣς φάτο· τοὶ δ' ἐπόρουσαν ἀολλέες Ἀργείοισιν·
οἱ δὲ μέγα τρομέοντες ἀπ' ἀργαλέοιο κυδοιμοῦ
φεῦγον· τοὶ δ' ἐφέποντο κύνες ὣς ἀργιόδοντες
κεμμάσιν ἀγροτέρῃσιν ἀν' ἄγκεα μακρὰ καὶ ὕλην.
πολλοὺς δ' ἐν κονίῃσι βάλον μάλα περ μεμαῶτας
ἐκφυγέειν ὀλοοῖο φόνου στονόεσσαν ὁμοκλήν.
Εὐρύπυλος μὲν ἔπεφνεν ἀμύμονα Βουκολίωνα
Νῆσόν τε Χρομίον τε καὶ Ἄντιφον· οἱ δὲ Μυκήνην
ᾤκεον εὐκτέανον, τοὶ δ' ἐν Λακεδαίμονι ναῖον·
τοὺς ἄρ' ὅ γ' ἐξενάριξεν ἀριγνώτους περ ἐόντας.
ἐκ δ' ἄρα πληθύος εἷλεν ἀάσπετα φῦλ' ἀνθρώπων,
(ὅσσά μοι οὐ σθένος ἐστὶ λιλαιομένῳ περ ἀεῖσαι,
οὐδ' εἴ μοι στέρνοισι σιδήρεον ἦτορ ἐνείη.)
Αἰνείας δὲ Φέρητα καὶ Ἀντίμαχον κατέπεφνεν,
ἀμφοτέρους Κρήτηθεν ἅμ' Ἰδομενῆι κιόντας.
αὐτὰρ Ἀγήνωρ δῖος ἀμύμονα Μῶλον ἔπεφνεν,
ὅς περ ἀπ' Ἄργεος ἦλθεν ὑπὸ Σθενέλῳ βασιλῆι·
τὸν βάλεν αἰγανέῃ νεοθηγέι πολλὸν ὀπίσσω
φεύγοντ' ἐκ πολέμοιο τυχὼν ὑπὸ νείατα κνήμης

602 ἐπεσσύμ. *v*, ἐπισπόμ. *bsplk* 603 τρώεσσι θ' ἱππ. *A*, τρώεσσιν ἱππ. *E*[1], Τρώεσσι καὶ ἱππ. *rtlP*, Τρώεσσιν ἰδ' ἱππ *k* 604 ἕνα *APrt*, ἐνὶ *C*[1]*rsplk* λαβόντες *k* 612 ἐπ' *v*, ἀν' *spk* 616 Νῖσόν? Χρόμιόν *v*, -ίον *ls* 618 δ' ἄρ' *P* 625 ὅς ῥ' ἀπ' *A*, ὅς ῥ' ἀπὸ *P*, em. *r*

δεξιτερῆς· αἰχμὴ δὲ διὰ πλατὺ νεῦρον ἔκερσεν
ἄντικρυς ἱεμένη, παρὰ δ' ἔθρισεν ὀστέα φωτὸς
ἀργαλέως· ὀδύνῃ δ' ἐμίγη μόρος, ἔφθιτο δ' ἀνήρ.
ἔνθα Πάρις Μόσυνόν τ' ἔβαλεν καὶ ἀγήνορα Φόρκυν
ἄμφω ἀδελφειούς, οἵ τ' ἐκ Σαλαμῖνος ἵκοντο
Αἴαντος νήεσσι, καὶ οὐκέτι νόστον ἴδοντο·
τοῖσι δ' ἐπὶ Κλεόλαον, ἐὺν θεράποντα Μέγητος,
εἷλε βαλὼν κατὰ μαζὸν ἀριστερόν· ἀμφὶ δέ μιν νὺξ
μάρψε κακή, καὶ θυμὸς ἀπέπτατο· τοῦ δὲ δαμέντος
ἔνδον ὑπὸ στέρνοισιν ἔτι κραδίη ἀλεγεινὴ
ταρφέα παλλομένη πτερόεν πελέμιξε βέλεμνον.
ἄλλον δ' ἰὸν ἀφῆκεν ἐπὶ θρασὺν Ἠετίωνα
ἐσσυμένως· τοῦ δ' αἶψα διὰ γναθμοῖο πέρησε
χαλκός· ὁ δ' ἐστονάχησε· μίγη δέ οἱ αἵματι δάκρυ.
ἄλλος δ' ἄλλον ἔπεφνε· πολὺς δ' ἐστείνετο χῶρος
Ἀργείων ἰληδὸν ἐπ' ἀλλήλοισι πεσόντων.
καί νύ κε δὴ τότε Τρῶες ἐνέπρησαν πυρὶ νῆας,
εἰ μὴ νὺξ ἐπόρουσε θοὴ βαθὺν ἠέρ' ἄγουσα.
χάσσατο δ' Εὐρύπυλος, σὺν δ' ἄλλοι Τρώιοι υἷες
νηῶν βαιὸν ἄπωθε ποτὶ προχοὰς Σιμόεντος,
ἧχί περ αὖλιν ἔθεντο γεγηθότες. οἱ δ' ἐνὶ νηυσὶν
Ἀργεῖοι γοάασκον ἐπὶ ψαμάθοισι πεσόντες
πολλὰ μάλ' ἀχνύμενοι κταμένων ὕπερ, οὕνεκ' ἄρ' αὐτῶν
πολλοὺς ἐν κονίῃσι μέλας ἐκιχήσατο πότμος.

629 ἀντικρὺ v, ἄντικρυς r, -κρὺς k 630 δὲ μίγη k 631 ἂν δὲ AP, ἔνθα rtlk Μόννσόν v, Μόννλόν p, Μόσυνόν lk 633 ἕλοντο v, ἴδοντο n 639 ἂρ ἧκεν v, ἀφῆκεν rk 641 δὲ στ. v, δ' ἐστ. k 644 νύ κεν τότε A, νύ κε τ. P, νύ κέ οἱ. τ. h, νύ κε δὴ τ. ptlk 645 ἐπ. βαθὺν A, ἐπ. βαθείην P, ἐπ. θοὴ βαθὺν rtl, ἐπ. βαθύσκιον rk, ἐ. βαθεῖαν ἐπ' d, ἐ. βαθὺν περὶ br 650 αὐτοῦ v, -ῶν kl^2P

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

Ἦμος δ' οὐρανὸς ἄστρα κατέκρυφεν, ἔγρετο δ' Ἠὼς
λαμπρὸν παμφανόωσα, κνέφας δ' ἀνεχάσσατο νυκτός,
δὴ τότ' ἀρήιοι υἷες ἐυσθενέων Ἀργείων,
οἳ μὲν ἔβαν προπάροιθε νεῶν κρατερὴν ἐπὶ δῆριν
ἀντίον Εὐρυπύλοιο μεμαότες, οἳ δ' ἀπάτερθεν
αὐτοῦ πὰρ νήεσσι Μαχάονα ταρχύσαντο
Νιρέα θ', ὃς μακάρεσσιν ἀειγενέεσσιν ἐῴκει
κάλλεΐ τ' ἀγλαΐῃ τε· βίῃ δ' οὐκ ἄλκιμος ἦεν·
οὐ γὰρ ἅμ' ἀνθρώποισι θεοὶ τελέουσιν ἅπαντα·
ἀλλ' ἐσθλῷ κακὸν ἄγχι παρίσταται ἔκ τινος αἴσης·
ὣς Νιρῆι ἄνακτι παρ' ἀγλαΐῃ ἐρατεινῇ
κεῖτ' ἀλαπαδνοσύνη· Δαναοὶ δέ οἱ οὐκ ἀμέλησαν,
ἀλλά ἑ ταρχύσαντο καὶ ὠδύραντ' ἐπὶ τύμβῳ,
ὅσσα Μαχάονα δῖον, ὃν ἀθανάτοις μακάρεσσιν
ἶσον ἀεὶ τίεσκον, ἐπεὶ πυκνὰ μήδεα ἤδη·
αἶψα δ' ἄρ' ἀμφοτέροισι χυτὸν περὶ σῆμα βάλοντο.

14 -τοισι θεοῖσιν *v*, -σιν μακάρεσσιν *V*, -τοις μ. ex *P ego* 15 τυκτὰ *AP*, πυκνὰ *rtlk* (πυκιμήδεα ci. *t*, ἄκε' ἤπια et κλυτὰ φάρμακα *k* olim) ᾔδει *v*, -η *Vk*. post h. v. *h* auctore unius versus defectum ['quo declarabatur in sanandis aegris illa πυκνὰ μήδεα versata esse'] signis indicavit *k* 16 ἀλλὰ γὰρ *v*, ἀλλ' ἄρ' ἐπ' *h*, ἀλλὰ καὶ *k*, αἶψα δ' ἄρ' *st*[2] -οις ταυτὸν *v*, -οις αὐτὸν *spk*, -οισιν ὁμὸν *hst*[2], -οισι χυτὸν *ego* σῆμ' ἐβ. *v*, σῆμα β. *k*

καὶ τότ' ἄρ' ἐν πεδίῳ ἔτι μαίνετο λοίγιος Ἄρης·
ὦρτο δ' ἄρ' ἀμφοτέρωθε μέγας κόναβος καὶ ἀυτὴ
ῥηγνυμένων λάεσσι καὶ ἐγχείῃσι βοειῶν·
καί ῥ' οἱ μὲν πονέοντο πολυκμήτῳ ὑπ' Ἄρηι·
νωλεμέως δ' ἄρ' ἄπαστος ἐδητύος ἐν κονίῃσι
κεῖτο μέγα στενάχων Ποδαλείριος, οὐδ' ὅ γε σῆμα
λεῖπε κασιγνήτοιο· νόος δέ οἱ ὁρμαίνεσκε
χερσὶν ὕπο σφετέρῃσιν ἀνηλεγέως ἀπολέσθαι·
καί ῥ' ὁτὲ μὲν βάλε χεῖρας ἐπὶ ξίφος, ἄλλοτε δ' αὖτε
δίζετο φάρμακον αἰνόν· ἑοὶ δέ μιν εἶργον ἑταῖροι
πολλὰ παρηγορέοντες· ὁ δ' οὐκ ἀπέληγεν ἀνίης.
καί νύ κε θυμὸν ἑῇσιν ὑπαὶ παλάμῃσιν ὄλεσσεν
ἐσθλοῦ ἀδελφειοῖο νεοκμήτῳ ἐπὶ τύμβῳ,
εἰ μὴ Νηλέος υἱὸς ἐπέκλυεν, οὐδ' ἀμέλησεν
αἰνῶς τειρομένοιο· κίχεν δέ μιν ἄλλοτε μέν που
ἐκχύμενον περὶ σῆμα πολύστονον, ἄλλοτε δ' αὖτε
ἀμφὶ κάρη χεύοντα κόνιν καὶ στήθεα χερσὶ
θεινόμενον κρατερῇσι καὶ οὔνομα κικλήσκοντα
οἷο κασιγνήτοιο· περιστενάχοντο δ' ἄνακτα
δμῶες ὁμῶς ἑτάροισι, κακὴ δ' ἔχε πάντας ὀιζύς.
καί ῥ' ὅ γε μειλιχίοισι μέγ' ἀχνύμενον προσέειπεν·
„ἴσχεο λευγαλέοιο γόου καὶ πένθεος αἰνοῦ,
ὦ τέκος· οὐ γὰρ ἔοικε περίφρονα φῶτα γεγῶτα
μύρεσθ', οἷα γυναῖκα, παρ' οὐκέτ' ἐόντι πεσόντα·
οὐ γὰρ ἀναστήσεις μιν ἔτ' ἐς φάος, οὕνεκ' ἄιστος
ψυχή οἱ πεπότηται ἐς ἠέρα, σῶμα δ' ἄνευθε
πῦρ ὀλοὸν κατέδαψε καὶ ὀστέα δέξατο γαῖα·

17 *δὴ τότ'* *P* 23 *ὡρμ.* *v*, *ὁρμ.* *kP* 28 *ὑπὸ* *v*, *ὑπαὶ* *rlk* 33 *κάρῃ* *Ak*, *κάρη* *ptlP* 36 *σὺν* *A*, *σύν γ'* *p*, *ὁμῶς* *rtlk*, *σὺν σ* *P*, *σύν θ'*? 38 *πόνου* *v*, *γόου* *rsplk*, *πόθου* *h* 42 *-θεν* *v*, *-θε* *k*[2]

αὔτως δ', ὡς ἀνέθηλε, καὶ ἔφθιτο. τέτλαθι δ' ἄλγος
ἄσπετον, ὥς περ ἔγωγε Μαχάονος οὔ τι χερείω
παῖδ' ὀλέσας δηίοισιν ὑπ' ἀνδράσιν, εὖ μὲν ἄκοντι,
εὖ δὲ σαοφροσύνῃσι κεκασμένον· οὐδέ τις ἄλλος
αἰζηῶν φιλέεσκεν ἑὸν πατέρ', ὡς ἐμὲ κεῖνος,
κάτθανε δ' εἵνεκ' ἐμεῖο σαωσέμεναι μενεαίνων
ὃν πατέρ'· ἀλλά οἱ εἶθαρ ἀποκταμένοιο πάσασθαι
σῖτον ἔτλην καὶ ζωὸς ἔτ' Ἠριγένειαν ἰδέσθαι
εὖ εἰδώς, ὅτι πάντες ὁμὴν Ἀίδαο κέλευθον
νισσόμεθ' ἄνθρωποι, πᾶσίν τ' ἐπὶ τέρματα κεῖται
λυγρὰ μόρου στονόεντος· ἔοικε δὲ θνητὸν ἐόντα
πάντα φέρειν, ὁπόσ' ἐσθλὰ διδοῖ θεὸς ἠδ' ἀλεγεινά."
ὣς φάθ'· ὁ δ' ἀχνύμενός μιν ἀμείβετο· τοῦ δ' ἀλεγεινὸν
ἔρρεεν εἰσέτι δάκρυ καὶ ἀγλαὰ δεῦε γένεια·
„ὦ πάτερ, ἄσχετον ἄλγος ἐμὸν καταδάμναται ἦτορ
ἀμφὶ κασιγνήτοιο περίφρονος, ὅς μ' ἀτίταλλεν
οἰχομένοιο τοκῆος ἐς οὐρανόν, ὡς ἑὸν υἷα,
σφῇσιν ἐν ἀγκοίνῃσι καὶ ἰητήρια νούσων
ἐκ θυμοῖο δίδαξε· μιῇ δ' ἐνὶ δαιτὶ καὶ εὐνῇ
τερπόμεθα ξυνοῖσιν ἰαινόμενοι κτεάτεσσι·
τῷ μοι πένθος ἄλαστον ἐποίχεται, οὐδ' ἔτι κείνου
τεθναότος φάος ἐσθλὸν ἐέλδομαι εἰσοράασθαι."
ὣς φάτο· τὸν δ' ὁ γεραιὸς ἀκηχέμενον προσέειπε·
„πᾶσι μὲν ἀνθρώποισιν ἴσον κακὸν ὤπασε δαίμων
ὀρφανίην, πάντας δὲ καὶ ἡμέας αἶα καλύψει,
οὐ μὲν ἄρ' ἐκτελέσαντας ὁμὴν βιότοιο κέλευθον,
οὐδ' οἵην τις ἕκαστος ἐέλδεται, οὕνεχ' ὕπερθεν

44 *ἄλλως A, ἄλγος hytlkP* 55 *ὁσ' P* 57 *ἔζεεν v, ἔρρεεν splP* 64 *οὐδέ τι v, οὐδ' ἔτι spk* 65 *-εότος v, -εῶτος l, -αότος kP* 66 *-πεν v, -πε k* 68 *ὀρφασίη A, παρφασίη P, ὀρφανίην* $V^{12}kl^{2}$, *-ίη r, -ίης* rtl^{1} 70 *οὐδ' εἰς ἥν τις A, οὐδ' ἥν τις P, οὐδ' ἣν εἷς τις (r)ptl, οὐδ' οἵην τις k*

ἐσθλά τε καὶ τὰ χέρεια θεῶν ἐν γούνασι κεῖται
μυρία εἰς ἓν ἅπαντα μεμιγμένα· καὶ τὰ μὲν οὔ τις
δέρκεται ἀθανάτων, ἀλλ' ἀπροτίοπτα τέτυκται
ἀχλύι θεσπεσίῃ κεκαλυμμένα· τοῖς δ' ἐπὶ χεῖρας
οἴη Μοῖρα τίθησι καὶ οὐχ ὁρόωσ' ἀπ' Ὀλύμπου
ἐς γαῖαν προΐησι· τὰ δ' ἄλλυδις ἄλλα φέρονται
πνοιῇς ὢς ἀνέμοιο· καὶ ἀνέρι πολλάκις ἐσθλῷ
ἀμφεχύθη μέγα πῆμα, λυγρῷ δ' ἐπικάππεσεν ὄλβος
οὐκ εἰκώς. ἀλαὸς δὲ πέλει βίος ἀνθρώποιο·
τοὔνεκ' ἄρ' ἀσφαλέως οὐ νίσσεται, ἀλλὰ πόδεσσι
πυκνὰ ποτιπταίει· τρέπεται δέ οἱ αἰόλος οἶμος
ἄλλοτε μὲν ποτὶ πῆμα πολύστονον, ἄλλοτε δ' αὖτε
εἰς ἀγαθόν· μερόπων δὲ πανόλβιος οὔ τις ἐτύχθη
ἐς τέλος ἐξ ἀρχῆς· ἑτέρῳ δ' ἕτερ' ἀντιόωσι.
παῦρον δὲ ζώοντας ἐν ἄλγεσιν οὔ τι ἔοικε
ζωέμεν· ἔλπεο δ' αἰὲν ἀρείονα, μηδ' ἐπὶ λυγρῷ
θυμὸν ἔχειν· καὶ γάρ ῥα πέλει φάτις ἀνθρώποισιν,
ἐσθλῶν μὲν νίσσεσθαι ἐς οὐρανὸν ἄφθιτον αἰεὶ

71 θεῆς bl^1 ἐνὶ *wl* 72 *Μοίρης v*, *η p*, *-η γ'* l^2, *μυρία kh* (*γ'* olim add. *k*) *πάντα v*, *ἅπαντα* ex *P ego* 74 *δ'* omissum add. *k* 77 *πνοιὴ ὡς A*, *πνοῇ ὡς P*, *-ῇ ὡς* tl^1, *-ῇ ὁμῶς* spl^2, *-ῇ ὅπως b* olim, *-ῇς ὡς* bk^1, *-ῇς ὢς* k^2 78 *ἐπὶ κ. v*, *ἐπικ spkP* 79 *οὔτι ἑκών v*, et sic lacunae signis ante h. v. positis [velut *ἥντινα δ' Αἶσα διδοῖ, ἐπινίσσεται οἶμον ἕκαστος*] *lk*; *ego* postquam *οὐδ' ἄρ' ἑκών*, *ἁ δὲ* et *οὔτι δίκῃ* temptavi, *οὐκ εἰκώς* scripsi *ἄλλος v*, *ἀλαὸς* $lbst^1l^2k$ *ἀνθρώποισι v*, *-οιο ego* 81 *αἰόλον εἶδος v*, *αἰ. ἦθος hy*, *αἰ. ἴχνος* kl^2, *αἰόλος οἶμος ego* 84 *εἰς P* 86 post *ζωέμεν* lacunae signa pos. *k* [velut *ἀργαλέως καὶ ἀπείριτα δάκρυα χεύειν* initio alterius versus neglecto], *κλαιέμεν* ci. st^2 *ἔλπεαι δ' αἰὲν A*, *ἔλπεε δ' αἰὲν* E^1P, *ἔλπειν δ' αἰὲν rtl*, *ἔλπεσθαι δὲ τάρ. hy*, *ἔλπεσθ' αἰὲν* ci. *t*, *ἀλλ' αἰεὶ ἔλπεσθαι k* olim, *ἔλπεσθαι δ' ἄρ'* st^2, *ἔλπεο δ' αἰὲν hk* 88 sq *ἐσθλὸν μὲν . . . αἰεί,* | *ἀργαλέον δὲ ποτὶ ζόφον· A*, *π. ζ. Ἄιδος r*, *π. ζ. ἄπλετον p*, *π. στυγερὸν ζ.* C^1tlk; *ἐσθλῶν* et *ἀργαλέων VP* et in *P ψυχὰς* v. 88 adnexum, unde *ego* versus restitui

ψυχάς, ἀργαλέων δὲ ποτὶ ζόφον· ἔπλετο δ' ἄμφω
σεῖο κασιγνήτῳ· καὶ μείλιχος ἔσκε βροτοῖσι,
καὶ πάις ἀθανάτοιο· θεῶν δ' ἐς φῦλον ὀίω
κεῖνον ἀνελθέμεναι σφετέρου πατρὸς ἐννεσίῃσιν."
ὣς εἰπών μιν ἔγειρεν ἀπὸ χθονὸς οὐκ ἐθέλοντα
παρφάμενος μύθοισιν, ἄγεν δ' ἀπὸ σήματος αἰνοῦ
ἐντροπαλιζόμενον καὶ ἔτ' ἀργαλέα στενάχοντα·
ἐς δ' ἄρα νῆας ἵκοντο. πόνον δ' ἔχον ἄλλοι Ἀχαιοὶ
ἀργαλέον καὶ Τρῶες ὀρινομένου πολέμοιο.
Εὐρύπυλος δ' ἀτάλαντος ἀτειρέα θυμὸν Ἄρηι
χερσὶν ὑπ' ἀκαμάτῃσι καὶ ἔγχεϊ μαιμώωντι
δάμνατο δήια φῦλα· νεκρῶν δ' ἐστείνετο γαῖα
κτεινομένων ἑκάτερθεν· ὁ δ' ἐν νεκύεσσι βεβηκὼς
μάρνατο θαρσαλέως πεπαλαγμένος αἵματι χεῖρας
καὶ πόδας· οὐδ' ἀπέληγεν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ' ὅ γε Πηνέλεων κρατερόφρονα δουρὶ δάμασσεν
ἀντιόωντ' ἀνὰ δῆριν ἀμείλιχον, ἀμφὶ δὲ πολλοὺς
ἔκτανεν· οὐδ' ὅ γε χεῖρας ἀπέτρεπε δηιοτῆτος,
ἀλλ' ἕπετ' Ἀργείοισι χολούμενος, εὖτε πάροιθεν
ὄβριμος Ἡρακλέης Φολόης ἀνὰ μακρὰ κάρηνα
Κενταύροις ἐπόρουσεν ἑῷ μέγα κάρτεϊ θύων,
τοὺς ἅμα πάντας ἔπεφνε καὶ ὠκυτάτους περ ἐόντας
καὶ κρατεροὺς ὀλοοῦ τε δαήμονας ἰωχμοῖο·
ὣς ὅ γ' ἐπασσύτερον Δαναῶν στρατὸν αἰχμητάων
δάμνατ' ἐπεσσύμενος· τοὶ δ' ἰλαδὸν ἄλλοθεν ἄλλος
ἀθρόοι ἐν κονίῃσι δεδουπότες ἐξεχέοντο.
ὡς δ' ὅτ' ἐπιβρίσαντος ἀπειρεσίου ποταμοῖο

90 εὐμείλ. *A*, ευμείλ. *P* 94 πήμ. *AP*, corr. *r* 97 ἀργαλέως *P* ὀρνυμένου *AP*, em. *r* 99 -τοισι *P* 106 -τραπε *P* 111 κρατεροῦ *AP*, κρατεοὺς *E*[1], em. *r*

ὄχθαι ἀποτμήγονται ἐπὶ ψαμαθώδεϊ χώρῳ
μυρίαι ἀμφοτέρωθεν, ὁ δ' εἰς ἁλὸς ἔσσυται οἶδμα
παφλάζων ἀλεγεινὸν ἀνὰ ῥόον, ἀμφὶ δὲ πάντῃ
κρημνοὶ ἐπικτυπέουσι, βρέμει δ' ἄρα μακρὰ ῥέεθρα
αἰὲν ἐρειπομένων, εἴκει δέ οἱ ἕρκεα πάντα·
ὣς ἄρα κύδιμοι υἷες ἐυπτολέμων Ἀργείων
πολλοὶ ὑπ' Εὐρυπύλοιο κατήριπον ἐν κονίῃσι,
τοὺς κίχεν αἱματόεντα κατὰ μόθον· οἱ δ' ὑπάλυξαν,
ὅσσους ἐξεσάωσε ποδῶν μένος· ἀλλ' ἄρα καὶ ὧς
Πηνέλεων ἐρύσαντο δυσηχέος ἐξ ὁμάδοιο
νῆας ἔπι σφετέρας, καί περ ποσὶ καρπαλίμοισι
κῆρας ἀλευόμενοι στυγερὰς καὶ ἀνηλέα πότμον.
πανσυδίῃ δ' ἔντοσθε νεῶν φύγον· οὐδέ τι θυμῷ
ἔσθενον Εὐρυπύλοιο καταντία δηριάασθαι,
οὕνεκ' ἄρά σφισι φύζαν ὀιζυρὴν ἐφέηκεν
Ἡρακλέης υἱωνὸν ἀτειρέα πάμπαν ἀέξων.
οἱ δ' ἄρα τείχεος ἐντὸς ὑποπτώσσοντες ἔμιμνον,
αἶγες ὅπως ὑπὸ πρῶνα φοβεύμεναι αἰνὸν ἀήτην,
ὅς τε φέρει νιφετόν τε πολὺν κρυερήν τε χάλαζαν
ψυχρὸς ἐπαΐσσων, ταὶ δ' ἐς νομὸν ἐσσύμεναί περ
ῥιπῆς οὔ τι κατιθὺς ὑπερκύπτουσι κολώνης,
ἀλλ' ἄρα χεῖμα μένουσιν ὑπὸ σκέπας ἠδὲ φάραγγας
ἀγρόμεναι, θάμνοισι δ' ὑπὸ σκιεροῖσι νέμονται
ἰλαδόν, ὄφρ' ἀνέμοιο κακαὶ λήξωσιν ἄελλαι·
ὣς Δαναοὶ πύργοισιν ὕπο σφετέροισιν ἔμιμνον
Τηλέφου ὄβριμον υἷα μετεσσύμενον τρομέοντες.

116 ψαμώδεϊ *A*, ψαμμώδ. *rtlk*, ψαμαθώδ. *rP* 128 οὐδ' ἔτι *sp* 135 ψυχρὸς *k*[1] 137 μένουσαι *Canter* φάραγγος *rl*, ἐς δὲ φάραγγας *h* 138 θάμνοισιν ὑπὸ *r*, θάμνοισί θ' ὑ. *st*[1] θάμνοισι δ' ὑ. *k*

αὐτὰρ ὁ νῆας ἔμελλε θοὰς καὶ λαὸν ὀλέσσειν,
εἰ μὴ Τριτογένεια θράσος βάλεν Ἀργείοισιν
ὀψέ περ· οἱ δ' ἄλληκτον ἀφ' ἕρκεος αἰπεινοῖο
δυσμενέας βάλλοντες ἀνιηροῖς βελέεσσι
κτεῖνον ἐπασσυτέρους· δεύοντο δὲ τείχεα λύθρῳ
λευγαλέῳ· στοναχὴ δὲ δαϊκταμένων πέλε φωτῶν.
αὔτως δ' αὖ νύκτας τε καὶ ἤματα δηριόωντο
Κήτειοι Τρῶές τε καὶ Ἀργεῖοι μενεχάρμαι,
ἄλλοτε μὲν προπάροιθε νεῶν, ὁτὲ δ' ἀμφὶ μακεδνὸν
τεῖχος, ἐπεὶ πέλε μῶλος ἀάσχετος. ἀλλ' ἄρα καὶ ὣς
ἤματα δοιὰ φόνοιο καὶ ἀργαλέης ὑσμίνης
παύσανθ', οὕνεχ' ἵκανεν ἐς Εὐρύπυλον βασιλῆα
ἀγγελίη Δαναῶν, ὥς κεν πολέμοιο μεθέντες
πυρκαϊῇ δώωσι δαϊκταμένους ἐνὶ χάρμῃ·
αὐτὰρ ὅ γ' αἶψ' ἐπίθησε· καὶ ἀργαλέοιο κυδοιμοῦ
παυσάμενοι ἑκάτερθε νεκροὺς περιταρχύσαντο
ἐν κονίῃς ἐριπόντας. Ἀχαιοὶ δ' ἔξοχα πάντων
Πηνέλεων μύροντο· βάλον δ' ἐπὶ σῆμα θανόντι
εὐρὺ μάλ' ὑψηλόν τε καὶ ἐσσομένοις ἀρίδηλον·
πληθὺν δ' αὖτ' ἀπάνευθε δαϊκταμένων ἡρώων
θάψαν ἀκηχέμενοι μεγάλῳ περὶ πένθεϊ θυμὸν
πυρκαϊὴν ἅμα πᾶσι μίαν περινηήσαντες
καὶ τάφον. ὣς δὲ καὶ αὐτοὶ ἀπόπροθι Τρώιοι υἷες
τάρχυσαν κταμένους. ὀλοὴ δ' Ἔρις οὐκ ἀπέληγεν,
ἀλλ' ἔτ' ἐποτρύνεσκε θρασὺ σθένος Εὐρυπύλοιο
ἀντιάαν δηίοισιν· ὁ δ' οὔ πω χάζετο νηῶν,
ἀλλ' ἔμενεν Δαναοῖσι κακὴν ἐπὶ δῆριν ἀέξων.

142 αὐτὰρ ν. A, αὐτ. καὶ E^1, αὐτ. ὃ rtlk P 153 οὕνεκ' ἐκίχανεν A, οὕ. ἐκ. ἐς E^1, οὕ. ἰοχήων ἐς P, οὕνεχ' ἵκανεν ἐς Vrtlk 154 -λίην P 158 κονίῃ v, -ῃς st^2 et probavit k, sed errore vulgatam retinuit 162 πέρι st^2 163 μίην v, μίη P, μίαν splk 164 τάφρον A, τάφον V E^1 Pr

τοὶ δ' ἐς Σκῦρον ἵκοντο μελαίνῃ νηὶ θέοντες.
εὗρον δ' υἱ' Ἀχιλῆος ἑοῦ προπάροιθε δόμοιο,
ἄλλοτε μὲν βελέεσσι καὶ ἐγχείῃσιν ἱέντα,
ἄλλοτε δ' αὖθ' ἵπποισι πονεύμενον ὠκυπόδεσσι·
γήθησαν δ' ἐσιδόντες ἀταρτηροῦ πολέμοιο
ἔργα μετοιχόμενον, καί περ μέγα τειρόμενον κῆρ
ἀμφὶ πατρὸς κταμένοιο· τὸ γὰρ τὸ πάροιθε πέπυστο.
αἶψα δέ οἱ κίον ἄντα τεθηπότες, οὕνεχ' ὁρῶντο
θαρσαλέῳ Ἀχιλῆι δέμας περικαλλὲς ὁμοῖον·
τοὺς δ' ἄρ' ὑποφθάμενος τοῖον ποτὶ μῦθον ἔειπεν·
„ὦ ξεῖνοι, μέγα χαίρετ' ἐμὸν ποτὶ δῶμα κιόντες·
εἴπατε δ', ὁππόθεν ἐστὲ καὶ οἵ τινες, ἠδ' ὅ τι χρειὼ
ἤλθετ' ἔχοντες ἐμεῖο διʼ οἴδματος ἀτρυγέτοιο.“
ὣς ἔφατ' εἰρόμενος· ὁ δ' ἀμείβετο δῖος Ὀδυσσεύς·
„ἡμεῖς τοι φίλοι εἰμὲν ἐυπτολέμου Ἀχιλῆος,
τῷ νύ σέ φασι τεκέσθαι ἐύφρονα Δηιδάμειαν·
καὶ δ' αὐτοὶ τεὸν εἶδος ἐίσκομεν ἀνέρι κείνῳ
πάμπαν· ὁ δ' ἀθανάτοισι πολυσθενέεσσιν ἐῴκει.
εἰμὶ δ' ἐγὼν Ἰθάκηθεν, ὁ δ' Ἄργεος ἱπποβότοιο,
εἴ ποτε Τυδείδαο δαΐφρονος οὔνομ' ἄκουσας
ἢ καὶ Ὀδυσσῆος πυκιμήδεος, ὅς νύ τοι ἄγχι
αὐτὸς ἐγὼν ἕστηκα θεοπροπίης ἕνεκ' ἐλθών.
ἀλλ' ἐλέαιρε τάχιστα καὶ Ἀργείοις ἐπάμυνον
ἐλθὼν ἐς Τροίην· ὣς γάρ τέλος ἔσσετ' Ἄρηι,
καί τοι δῶρ' ὀπάσουσιν ἀάσπετα δῖοι Ἀχαιοί.
τεύχεα δ' αὐτὸς ἔγωγε τεοῦ πατρὸς ἀντιθέοιο
δώσω, ἅ περ φορέων μέγα τέρψεαι· οὐ γὰρ ἔοικε

171 ἐόντα *A*, ἱέντα *VE*[1]*Prk* (ἵεντα *tl*), excidisse versum ἄλλοτε μὲν . . . et in hoc scribendum ἄλλοτε δ' ἐν . . . ἐόντα susp. *st*[1] 175 προπάρ. *v*, τοπάρ. *l*, τὸ πάρ. *k* 186 ὅσ *P*, an ὅς? -σιν ἐύσθ. *v*, -σιν πολυσθ. *VP*, -σι πολυσθ. *k* 189 σοι *v*, τοι *k*

θνητῶν τεύχεσι κεῖνα, θεοῦ δέ που Ἄρεος ὅπλοις
ἶσα πέλει· πουλὺς δὲ περὶ σφίσι πάμπαν ἄρηρε
χρυσὸς δαιδαλέοισι κεκασμένος, οἷσι καὶ αὐτὸς
Ἥφαιστος μέγα θυμὸν ἐν ἀθανάτοισιν ἰάνθη
τεύχων ἄμβροτα κεῖνα, τὰ σοὶ μέγα θαῦμα ἰδόντι
ἔσσεται, οὕνεκα γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα
ἀμφὶ σάκος πεπόνηται ἀπειρεσίῳ τ' ἐνὶ κύκλῳ
ζῷα πέριξ ἤσκηνται ἐοικότα κινυμένοισι,
θαῦμα καὶ ἀθανάτοισι· βροτῶν δ' οὔ πώ ποτε τοῖα
οὔτέ τις ἔδρακε πρόσθεν ἐν ἀνδράσιν οὔτ' ἐφόρησεν,
εἰ μὴ σός γε πατήρ, τὸν ἶσον Διὶ τῖον Ἀχαιοὶ
πάντες, ἐγὼ δὲ μάλιστα φίλα φρονέων ἀγάπαζον·
καί οἱ ἀποκταμένοιο νέκυν ποτὶ νῆας ἔνεικα
πολλοῖς δυσμενέεσσιν ἀνηλέα πότμον ὀπάσσας·
τοὔνεκά μοι κείνοιο περικλυτὰ τεύχεα δῶκε
δῖα Θέτις· τὰ δ' ἄρ' αὖθις ἐελδόμενός περ ἔγωγε
δώσω προφρονέως, ὁπότ' Ἴλιον εἰσαφίκηαι.
καί νύ σε καὶ Μενέλαος, ἐπὴν Πριάμοιο πόληα
πέρσαντες νήεσσιν ἐς Ἑλλάδα νοστήσωμεν,
αὐτίκα γαμβρὸν ἑὸν ποιήσεται, ἢν ἐθέλησθα,
ἀμφ' εὐεργεσίης· δώσει δέ τοι ἄσπετ' ἄγεσθαι
κτήματά τε χρυσόν τε μετ' ἠυκόμοιο θυγατρός,
ὅσσ' ἐπέοικεν ἕπεσθαι ἐυκτεάνῳ βασιλῆι."

196 *τεύχεα v*, *τεύχεσι* (*r*)$st^1 l^1 k$, *θνητοῖς τεύχεα* (*k* ol.) l^2 200 *θαῦμ' ἰδ. A*, *θαῦμα ἰδ. rtlkP* 202 sq. *περὶ κύκλῳ·* | *ζῶα v* et sic *k*, qui et post h. v. et post v. 203 maioris lacunae signa posuit ('paullo plura Neptolemi admirationi depingendo proposita esse . . ., certe pugnas et bellicum tumultum adumbratum fuisse certissimum videtur'); *τ' ἐνὶ κύκλῳ* | *ζῷα ego* *ἤσκηται P* 215 *αὐτ. γ. π. A*, *αὐτ. οἱ γ. π. rtlk*, *αὐτ. γ ἑὸν π.* ex *P ego* *ἤν κ' ἐθέλησθα v*, *ἤν κε θέλ. P*, *ἢν ἐθέλησθα spk*, an *εἴ κ' ἐθ.*?

ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
„εἰ μὲν δὴ καλέουσι θεοπροπίῃσιν Ἀχαιοί,
αὔριον αἶψα νεώμεθ' ἐπ' εὐρέα βένθεα πόντου,
ἤν τι φάος Δαναοῖσι λιλαιομένοισι γένωμαι·
νῦν δ' ἴομεν ποτὶ δώματ' ἐύξεινόν τε τράπεζαν,
οἵην περ ξείνοισι θέμις παρατεκτήνασθαι·
ἀμφὶ δ' ἐμοῖο γάμοιο θεοῖς μετόπισθε μελήσει.“
ὣς εἰπὼν ἡγεῖθ'· οἱ δ' ἑσπόμενοι μέγα χαῖρον.
καί ῥ' ὅτε δὴ μέγα δῶμα κίον καὶ κάλλιμον αὐλήν,
εὗρον Δηιδάμειαν ἀκηχεμένην ἐνὶ θυμῷ
τηκομένην θ', ὡς εἴ τε χιὼν κατατήκετ' ὄρεσσιν
Εὔρου ὕπο λιγέος καὶ ἀτειρέος ἠελίοιο·
ὣς ἥ γε φθινύθεσκε δεδουπότος ἀνδρὸς ἀγαυοῦ.
καί μιν ἔτ' ἀχνυμένην περ ἀγακλειτοὶ βασιλῆες
ἠσπάζοντ' ἐπέεσσι· πάις δέ οἱ ἐγγύθεν ἐλθὼν
μυθεῖτ' ἀτρεκέως γενεὴν καὶ οὔνομ' ἑκάστου·
χρειὼ δ', ἥν τιν' ἵκανον, ἀπέκρυφε μέχρις ἐς ἠῶ,
ὄφρα μὴ ἀχνυμένην μιν ἕλῃ πολύδακρυς ἀνίη,
καί μιν ἀπεσσύμενον <μάλα λισσομένη> κατερύκῃ.
αἶψα δὲ δαῖτ' ἐπάσαντο καὶ ὕπνῳ θυμὸν ἴηναν
πάντες, ὅσοι Σκύροιο πέδον περιναιετάασκον
εἰναλίης, τὴν μακρὰ περιβρομέουσι θαλάσσης
κύματα ῥηγνυμένοιο πρὸς ἠόνας Αἰγαίοιο.

223 δῶματ' *P*, voluitne δῶμά τ'? 224 sq. οἵην περ ξείνοιο γάμοιο θ. μ. μ. *A*, οἵη περ ξείνοισιν πατρῴοις ἐπέοικεν, ¦ δώρων δ' ἠδὲ γ. θ. μ. μ. C^1, locum ex VE^1P restituit *t*, unde rec. l^1k, sed προπάροιθε τανύσσαι l^2 (τιταίνειν vel τιτῆναι ci. in praef.) 227 καὶ δὴ ὅτ' ἐς μ. *v*, καί ῥ' ὅτε δὴ μ. *k* 230 ὑπαὶ *v*, ὑπὸ *VPk* 232 περ om. *AP*, add. *Vr* 233 ἀσπ. *v*, ἠσπ. *spk* 234 γενεήν τε καὶ st^1 235 ἐπέκρ. *v*, ἀπέκρ. ex *P ego* 237 ἐπεσσ. *v*, ἀπεσσ. kl^2 κατερύκοι *P* 239 -άεσκον *P*

ἀλλ' οὐ Δηιδάμειαν ἐπήρατος ὕπνος ἔμαρπτεν
οὔνομα κερδαλέου μιμνησκομένην Ὀδυσῆος
ἠδὲ καὶ ἀντιθέου Διομήδεος, οἵ ῥά μιν ἄμφω
εὖνιν ποιήσαντο φιλοπτολέμου Ἀχιλῆος
παρφάμενοι κείνοιο θρασὺν νόον, ὄφρ' ἀφίκηται
δήιον εἰς ἐνοπήν· τῷ δ' ἄτροπος ἤντετο Μοῖρα,
ἥ οἱ ὑπέκλασε νόστον, ἀπειρέσιον δ' ἄρα πένθος
πατρὶ πόρεν Πηλῆι καὶ αὐτῇ Δηιδαμείῃ.
τοὔνεκά μιν κατὰ θυμὸν ἀάσπετον ἄμφεχε δεῖμα
παιδὸς ἀπεσσυμένοιο ποτὶ πτολέμοιο κυδοιμόν,
μή οἱ λευγαλέῳ ἐπὶ πένθεϊ πένθος ἵκηται.
Ἠὼς δ' εἰσανέβη μέγαν οὐρανόν· οἱ δ' ἀπὸ λέκτρων
καρπαλίμως ὤρνυντο. νόησε δὲ Δηιδάμεια·
αἶψα δέ οἱ στέρνοισι περὶ πλατέεσσι χυθεῖσα
ἀργαλέως γοάασκεν ἐς αἰθέρα μακρὰ βοῶσα·
ἠύτε βοῦς ἐν ὄρεσσιν ἀπειρέσιον μεμακυῖα
πόρτιν ἑὴν δίζηται ἐν ἄγκεσιν, ἀμφὶ δὲ μακραὶ
οὔρεος αἰπεινοῖο περιβρομέουσι κολῶναι·
ὣς ἄρα μυρομένης ἀμφίαχεν αἰπὺ μέλαθρον
πάντοθεν ἐκ μυχάτων, μέγα δ' ἀσχαλόωσ' ἀγόρευε·
„τέκνον, πῇ δὴ νῦν σοὶ ἐὺς νόος ἐκπεπότηται,
Ἴλιον ἐς πολύδακρυ μετὰ ξείνοισιν ἕπεσθαι,
ἧχι πολεῖς ὀλέκονται ὑπ' ἀργαλέης ὑσμίνης,
καί περ ἐπιστάμενοι πόλεμον καὶ ἀεικέα χάρμην;
νῦν δὲ σὺ μὲν νέος ἐσσὶ καὶ οὔ πω δήια ἔργα

242 *ἐπήρατον v, -ος (t)k* *-ψεν*, sed al. m. *-πτεν P* 243 *-λέον AP, -λέου* em. *r* 248 *ὑπέτμαγε bl*[1], *ὑπέκλασεν ὀστέ' sp* 251 *ἐπεσσ. v, ἀπεσσ. st*[2] 254 *ὄρν. v, ὤρν. spk* 255 *δ' ἐνὶ AP, δ' υἱοῦ ptl, δέ οἱ kst*[2] 258 *μακρὰ v, μακραὶ Vk* 261 *πυμάτων v, μυχ. (r)blk* 262 *ποῖ v, πῆ P, πῇ ego* 264 *-οντο v, -ονται kP, -οντο κατ' ἀργαλέας ὑσμίνας hl*

οἶδας, ἅ τ' ἀνθρώποισιν ἀλάλκουσιν κακὸν ἦμαρ·
ἀλλὰ σὺ μέν μευ ἄκουσον, ἑοῖς δ' ἔμμιμνε δόμοισι,
μὴ δή μοι Τροίηθε κακὴ φάτις οὔαθ' ἵκηται
σεῖο καταφθιμένοιο κατὰ μόθον· οὐ γὰρ ὀίω
ἐλθέμεναί σ' ἔτι δεῦρο μετάτροπον ἐξ ὁμάδοιο·
οὐδὲ γὰρ οὐδὲ πατὴρ τεὸς ἔκφυγε κῆρ' ἀίδηλον,
ἀλλ' ἐδάμη κατὰ δῆριν, ὅ περ καὶ σεῖο καὶ ἄλλων
ἡρώων προφέρεσκε, θεὰ δέ οἱ ἔπλετο μήτηρ,
τῶνδε δολοφροσύνῃ καὶ μήδεσιν, οἵ σε καὶ αὐτὸν
δῆριν ἔπι στονόεσσαν ἐποτρύνουσι νέεσθαι·
τοὔνεκ' ἐγὼ δείδοικα περὶ κραδίῃ τρομέουσα,
μή μοι καὶ σέο, τέκνον, ἀποφθιμένοιο πέληται
εὖνιν καλλειφθεῖσαν ἀεικέα πήματα πάσχειν·
οὐ γάρ πώ τι γυναικὶ κακώτερον ἄλγος ἔπεισιν,
ἢ ὅτε παῖδες ὄλωνται ἀποφθιμένοιο καὶ ἀνδρός,
χηρωθῇ δὲ μέλαθρον ὑπ' ἀργαλέου θανάτοιο·
αὐτίκα γὰρ περὶ φῶτες ἀποτμήγουσιν ἀρούρας,
κείρουσιν δέ τε πάντα καὶ οὐκ ἀλέγουσι θέμιστας·
τοὔνεκ' ἄρ' οὔ τι τέτυκται ὀιζυρώτερον ἄλλο
χήρης ἐν μεγάροισιν ἀκιδνότερόν τε γυναικός."
ἢ μέγα κωκύουσα· πάις δέ μιν ἀντίον ηὔδα·
„θάρσει, μῆτερ ἐμεῖο, κακὴν δ' ἀποπέμπεο φήμην·
οὐ γὰρ ὑπὲρ Κῆράς τις ὑπ' Ἄρεϊ δάμναται ἀνήρ·
εἰ δέ μοι αἴσιμόν ἐστι δαμήμεναι εἵνεκ' Ἀχαιῶν,
τεθναίην ῥέξας τι καὶ ἄξιον Αἰακίδῃσιν."

267 *ἀλέξουσιν lb* 268 *ἐνὶ μίμνε v, ἐν μίμνε P, ἔμμιμνε ego* 285 *οὕνεκα οὐ A, οὕν. οὔτε V, οὕν. οὔτι E*[1], *οὕν. οὔτι P, οὕνεκεν οὔτι t, τοὔνεκεν οὔτι rlsp* (*οὔ τι sp*), *τοὔνεκ' ἄρ' οὔ τι k* 287 *φῆ VE*[1], *φῆ P* 291 *ῥέξας καὶ ἄξας A, ῥ. τί καὶ ἄξων P, ῥ. τι καὶ ἄξιον rthlk, ῥ. καὶ ἐπάξιον sp*

ὣς φάτο· τῷ δ' ἄγχιστα κίεν γεραρὸς Λυκομήδης,
καί ῥά μιν ἰωχμοῖο λιλαιόμενον προσέειπεν·
„ὦ τέκος ὀβριμόθυμον, ἑῷ πατρὶ κάρτος ἐοικώς,
οἶδ', ὅτι καρτερός ἐσσι καὶ ὄβριμος· ἀλλ' ἄρα καὶ ὣς
καὶ πόλεμον δείδοικα πικρὸν καὶ κῦμα θαλάσσης
λευγαλέον· ναῦται γὰρ ἀεὶ σχεδόν εἰσιν ὀλέθρου.
ἀλλὰ σὺ δείδιε, τέκνον, ἐπὴν πλόον εἰσαφίκηαι
ὕστερον ἢ Τροίηθεν ἢ ἄλλοθεν, οἷά τε πολλὰ
* * * * * *
τῆμος, ὅτ' αἰγοκερῆι συνέρχεται ἠερόεντι
ἠέλιος μετόπισθε βαλὼν ῥυτῆρα βελέμνων
τοξευτήν, ὅτε χεῖμα λυγρὸν κλονέουσιν ἄελλαι,
ἢ ὁπότ' Ὠκεανοῖο κατὰ πλατὺ χεῦμα φέρονται
ἄστρα κατερχομένοιο ποτὶ κνέφας Ὠρίωνος·
δείδιε δ' ἐν φρεσὶ σῇσιν ἰσημερίην ἀλεγεινήν,
ᾗ ἔνι συμφορέονται ἀν' εὐρέα βένθεα πόντου
ἔκποθεν ἀίσσουσαι ὑπὲρ μέγα λαῖτμα θύελλαι,
ἢ ὅτε Πληιάδων πέλεται δύσις, ἥν ῥα καὶ αὐτὴν
δείδιθι μαιμώωσαν ἔσω ἁλὸς ἠδὲ καὶ ἄλλα
ἄστρα, τά που μογεροῖσι πέλει δέος ἀνθρώποισι
δυόμεν' ἢ ἀνιόντα κατὰ πλατὺ χεῦμα θαλάσσης."
ὣς εἰπὼν κύσε παῖδα καὶ οὐκ ἀνέεργε κελεύθου
ἱμείροντα μόθοιο δυσηχέος· ὃς δ' ἐρατεινὸν
μειδιόων ἐπὶ νῆα θοῶς ὥρμαινε νέεσθαι·
ἀλλά μιν εἰσέτι μητρὸς ἐνὶ μεγάροισιν ἔρυκε

299 post h. v. lacunam esse statuerunt *st*[1]*lslk* [velut πλαζόμεθ' ἄνθρωποι ἐπ' ἀπείριτα νῶτα θαλάσσης] 303 ἠδ' *v*, ἢ *k* -ωνται *P* 305 φρεσὶν ᾗσιν *v*, φρεσὶ σῇσιν *spk* 307 θαλάσσης *AP*, θύελλαι *rtl*; illa voce retenta ante h. v. lacunae signa [velut παντόθεν ἐγρομένων ἀνέμων κελαδεινὰ θύελλαι] pos. *k* 309 ἐν δὲ *v*, ἠδὲ (*r*)*tk* 311 ἠδ' *v*, ἢ *rpk* 314 ὅρμ. *P*

δακρυόεις ὀαρισμὸς ἐπισπεύδοντα πόδεσσιν·
ὡς δ' ὅτε τις θοὸν ἵππον ἐπὶ δρόμον ἰσχανόωντα
εἴργει ἐφεζόμενος, ὁ δ' ἐρυκανόωντα χαλινὸν
δάπτει ἐπιχρεμέθων, στέρνον δέ οἱ ἀφριόωντος
δεύεται, οὐδ' ἵστανται ἐελδόμενοι πόδες οἴμης,
πουλὺς δ' ἀμφ' ἕνα χῶρον ἐλαφροτάτοις ὑπὸ ποσσὶ
ταρφέα κινυμένοιο πέλει κτύπος, ἀμφὶ δὲ χαῖται
ῥώοντ' ἐσσυμένοιο, κάρη δ' εἰς ὕψος ἀείρει
φυσιόων μάλα πολλά, νόος δ' ἐπιτέρπετ' ἄνακτος·
ὣς ἄρα κύδιμον υἷα μενεπτολέμου Ἀχιλῆος
μήτηρ μὲν κατέρυκε, πόδες δέ οἱ ἐγκονέεσκον·
ἡ δὲ καὶ ἀχνυμένη περ ἑῷ ἐπαγάλλετο παιδί.
ὃς δέ μιν ἀμφικύσας μάλα μυρία κάλλιπε μούνην
μυρομένην ἀλεγεινὰ φίλου κατὰ δώματα πατρός·
οἵη δ' ἀμφὶ μέλαθρα μέγ' ἀσχαλόωσα χελιδὼν
μύρεται αἰόλα τέκνα, τά που μάλα τετριγῶτα
αἰνὸς ὄφις κατέδαψε καὶ ἤκαχε μητέρα κεδνήν,
ἡ δ' ὁτὲ μὲν χήρην περιπέπταται ἀμφὶ καλιήν,
ἄλλοτε δ' εὐτύκτοισι περὶ προθύροισι ποτᾶται
αἰνὰ κινυρομένη τεκέων ὕπερ· ὣς ἄρα κείνου
μύρετο Δηιδάμεια, καὶ υἱέος ἄλλοτε μέν που
εὐνὴν ἀμφιχυθεῖσα μέγ' ἴαχεν, ἄλλοτε δ' αὖτε
κλαῖεν ἐπὶ φλιῇσι· φίλῳ δ' ἐγκάτθετο κόλπῳ,
εἴ τί οἱ ἐν μεγάροισι τετυγμένον ἦεν ἄθυρμα,
ᾧ ἔπι τυτθὸς ἐὼν ἀταλὰς φρένας ἰαίνεσκεν·

319 δάκνει n 321 ἀφ' ἕνα ἐλ. A, ἀμφ' ἕ. ἐλ. VE^1, ἀμφ' ἑκάτερθεν ἐλ. r, ἀμφοτέρωθεν ἐλ. hytl, ἀμφ' ἕνα χῶρον brhkP 322 in P desunt verba πέλει — ἐσσυμένοιο 331 τετρυγ. AP, corr. d 333 χήρη v, -ην $rspl^2k$ 335 κείνη AE^1P, κοίνη V, κείνου rk, κεῖνον ptl 339 εἴ τι ἐνὶ v, εἴ τι ἐν V, εἴ τί οἱ ἐν hkP εἶδεν vel εὗρεν st^1 340 μεγάλας v, μεγάλα st^1, μεγάλ' ἅς vel μέγ' ἑὰς k olim, ἀταλὰς lk

ἀμφὶ δέ οἱ καὶ ἄκοντα λελειμμένον εἴ που ἴδοιτο,
ταρφέα μιν φιλέεσκε, καὶ εἴ τί περ ἄλλο γοῶσα
ἔδρακε παιδὸς ἑοῖο δαΐφρονος. οὐδ' ὅ γε μητρὸς
ἄσπετ' ὀδυρομένης ἔτ' ἐπέκλυεν, ἀλλ' ἀπάτερθε
βαῖνε θοὴν ἐπὶ νῆα· φέρον δέ μιν ὠκέα γυῖα
ἀστέρι παμφανόωντι πανείκελον. ἀμφὶ δ' ἄρ' αὐτῷ
ἕσπεθ' ὁμῶς Ὀδυσῆι δαΐφρονι Τυδέος υἱός,
ἄλλοι τ' εἴκοσι φῶτες ἀρηρέμενοι φρεσὶ θυμόν,
τοὺς ἔχε κεδνοτάτους ἐν δώμασι Δηιδάμεια,
καί σφας ἑῷ πόρε παιδὶ θοοὺς ἔμεναι θεράποντας.
οἱ τότ' Ἀχιλλέος υἷα θρασὺν περιποιπνύεσκον
ἐσσύμενον ποτὶ νῆα δι' ἄστεος. ὃς δ' ἐνὶ μέσσοις
ἤιε καγχαλόων· κεχάροντο δὲ Νηρηῖναι
ἀμφὶ Θέτιν, καὶ δ' αὐτὸς ἐγήθεε Κυανοχαίτης
εἰσορόων Ἀχιλῆος ἀμύμονος ὄβριμον υἷα,
ὡς ἤδη πολέμοιο λιλαίετο δακρυόεντος
καί περ ἐὼν ἔτι παιδνός, ἔτ' ἄχνοος· ἀλλά μιν ἀλκὴ
καὶ μένος ὀτρύνεσκεν· ἑῆς δ' ἐξέσσυτο πάτρης,
οἷος Ἄρης, ὅτε μῶλον ἐπέρχεται αἱματόεντα
χωόμενος δηίοισι, μέμηνε δέ οἱ μέγα θυμός,
καί οἱ ἐπισκύνιον βλοσυρὸν πέλει, ἀμφὶ δ' ἄρ' αὐτῷ
ὄμματα μαρμαίρουσιν ἶσον πυρί, ταὶ δὲ παρειαὶ
κάλλος ὁμοῦ κρυόεντι φόβῳ καταειμέναι αἰνὸν
φαίνοντ' ἐσσυμένου, τρομέουσι δὲ καὶ θεοὶ αὐτοί·

341 ἀσπίδα δ' ἦ καὶ st[1] 342 μὲν v, μιν st[1]k 344 -θεν P 348 λαοὶ AP, λαοῦ rtl, ἄλλοι dst[1]spk δ' v, τ' k ἀνειράρεμοι A, ἀνηράμενοι P, ἀρηράμ. v, ἀρηρέμ. ego 349 ἐνὶ v, ἐν k 350 σφέας ἑῷ A, σφεας ἑῷ P, σφεας ᾧ tl, σφας ἑῷ k 356 ὃς δ' v, ὅστ' r? ὡς k 358 -σκον P 359 ἐσέρχ. P 361 αὐτοῦ VP 362 τοῦ v, ταὶ k 363 αἰὲν v, αἰεὶ k[1] (simul ci. ἠὺ), αἰνὸν k[2] 364 δὲ οἱ AP, δέ οἱ thl[1], δὲ καὶ kl[2]

τοῖος ἔην Ἀχιλῆος ἐὺς πάις· οἱ δ' ἀνὰ ἄστυ
εὔχοντ' ἀθανάτοισι σαωσέμεν ἐσθλὸν ἄνακτα
ἀργαλέου παλίνορσον ἀπ' Ἄρεος· οἱ δ' ἐσάκουσαν
εὐχομένων· ὁ δὲ πάντας ὑπείρεχεν, οἵ οἱ ἕποντο.
 ἐλθόντες δ' ἐπὶ θῖνα βαρυγδούποιο θαλάσσης
εὗρον ἔπειτ' ἐλατῆρας ἐυξόου ἔνδοθι νηὸς
ἱστία τ' ἐντύνοντας ἐπειγομένους τ' ἀνὰ νῆα·
αἶψα δ' ἐν αὐτοὶ ἔβαν· τοὶ δ' ἔκτοθι πείσματ' ἔλυσαν
εὐνάς θ', αἳ νήεσσι μέγα σθένος αἰὲν ἕπονται.
τοῖσι δ' ἄρ' εὐπλοΐην πόσις ὤπασεν Ἀμφιτρίτης
προφρονέως· μάλα γάρ οἱ ἐνὶ φρεσὶ μέμβλετ' Ἀχαιῶν
τειρομένων ὑπὸ Τρωσὶ καὶ Εὐρυπύλῳ μεγαθύμῳ.
οἱ δ' Ἀχιλήιον υἷα παρεζόμενοι ἑκάτερθε
τέρπεσκον μύθοισιν ἑοῦ πατρὸς ἔργ' ἐνέποντες,
ὅσσά τ' ἀνὰ πλόον εὐρὺν ἐμήσατο καὶ ποτὶ γαίῃ
Τηλέφου ἀγχεμάχοιο, καὶ ὁππόσα Τρῶας ἔρεξεν
ἀμφὶ πόλιν Πριάμοιο φέρων κλέος Ἀτρείδῃσι·
τοῦ δ' ἄρ' ἰαίνετο θυμὸς ἐελδομένοιο καὶ αὐτοῦ
πατρὸς ἀταρβήτοιο γέρας καὶ κῦδος ἀρέσθαι.
 ἡ δέ που ἐν θαλάμοισιν ἀκηχεμένη περὶ παιδὶ
ἐσθλὴ Δηιδάμεια πολύστονα δάκρυα χεῦε,
καί οἱ ἐνὶ φρεσὶ θυμὸς ὑπ' ἀργαλέῃσιν ἀνίῃς

371 *ἐντείν. v, ἐντύν. rst¹spkP* 372 *ἄρ' v, ἀν' rbsplk, ἐν ego αὐτὸς ἔβη v, αὐτὸς ἔβαν P, αὐτοὶ ἔβαν ego οἵδ' A, οἱ δ' tl, τοὶ δ' k* 377 *-θεν v, -θε kP* 381 *ἀ. πόλιν τε φέρων καὶ ὅσσ' A, ἀ. π. Πριάμοιο φέρων καὶ ὅσσ' Pt* (*ὅσ' t*), *ἀ. π. Π. φ. κλέος* (*κλέος* iam *sc*) *lbbsplk*, sed *k* locum olim pluribus Achillis laudibus exornatum fuisse ratus probante *h* maioris lacunae signa pos. hoc modo *ἀ. π. Πριάμοιο* — — — | * * * *τε καὶ ὅσσ'* * * | — — — *φέρων κλ. Ἀ.* 382 *δ' ἰ. v, δ' ἄρ' ἰ. rspk* 383 *μένος v, κλέος scspk, γέρας ego* 384 *-μῃσιν v, -μοισιν kl²P* 385 *χεῦεν v, χεῦε k* 386 *ἀνίαις v, -ῃς tlk*

τήκεθ', ὅπως ἀλαπαδνὸς ἐπ' ἀνθρακίῃσι μόλιβδος
ἠὲ τρύφος κηροῖο· γόος δέ μιν οὔ ποτ' ἔλειπε
δερκομένην ἐπὶ πόντον ἀπείριτον· (οὕνεκα μήτηρ
ἄχνυθ' ἑῷ περὶ παιδί, καὶ ἢν ἐπὶ δαῖτ' ἀφίκηται)
καί ῥά οἱ ἱστία νηὸς ἀπόπροθι πολλὸν ἰούσης
ἤδη ἀπεκρύπτοντο καὶ ἠέρι φαίνεθ' ὁμοῖα·
ἀλλ' ἡ μὲν στενάχιζε πανημερίη γοόωσα.
  νηῦς δ' ἔθεεν κατὰ πόντον ἐπισπομένου ἀνέμοιο
τυτθὸν ἐπιψαύουσα πολυρροθίοιο θαλάσσης·
πορφύρεον δ' ἑκάτερθε περὶ τρόπιν ἔβραχε κῦμα·
αἶψα δὲ δὴ μέγα λαῖτμα διήνυσε ποντοποροῦσα·
ἀμφὶ δέ οἱ πέσε νυκτὸς ἔπι κνέφας· ἡ δ' ὑπ' ἀήτῃ
πλῶε κυβερνήτῃ τε διαπρήσσουσα θαλάσσης
βένθεα· θεσπεσίη δὲ πρὸς οὐρανὸν ἤλυθεν Ἠώς.
τοῖσι δ' ἄρ' Ἰδαίων ὀρέων φαίνοντο κολῶναι,
Χρῦσά τε καὶ Σμίνθειον ἕδος καὶ Σιγιὰς ἄκρη
τύμβος τ' Αἰακίδαο δαΐφρονος· ἀλλά μιν οὔ τι
υἱὸς Λαέρταο πύκα φρονέων ἐνὶ θυμῷ
δεῖξε Νεοπτολέμῳ, ἵνα οἱ μὴ πένθος ἀέξῃ
θυμὸς ἐνὶ στήθεσσι. παρημείβοντο δὲ νήσους
αἶψα Καλυδναίας, Τένεδος δ' ἀπελείπετ' ὀπίσσω·
φαίνετο δ' αὖτ' Ἐλεοῦντος ἕδος, τόθι Πρωτεσιλάου
σῆμα πέλει πτελέῃσι κατάσκιον αἰπεινῇσιν,
αἵ ῥ' ὁπότ' ἀθρήσωσιν ἀνερχόμεναι δαπέδοιο

388 -πεν *A*, -πε *tlkP*, οὔποτε λεῖπε *sp*   390 ἐπὴν δάιν εἴσαφ. olim ci. *k*, postea lacunae signa post h v. posuit [velut τηλόθι κεκλόμενος φίλον ἀνδρὸς ἐς ἀλλότριον δῶ]   393 στον. *v*, στεν. *ego*   395 πολιρρόοιο *P*, πολυῤῥόοιο *AV*, -ῤῥοίοιο $C^{1}tl$, -ρροθίοιο $rdst^{1}k$ (-ρροίζοιο ci. *d*)   397 δὲ μέγα *A*, νηῦς add. $rsptlk^{1}$, δέ τοι μ. *p*, δέ οἱ μ. *h*, δὲ καὶ μ. k^{2}, δὲ δὴ μ. ex *P ego*   -εῦσα *sp*   406 θυμὸν *P*   407 αἶψα om. *A*, add. *rP*   408 δὲ πτελ. *AP*, δ' αὖθ' Ἐλ. *rtl*, δ' αὖτ' *k*   θ' ὃν *A*, θ' ὅη *P*, οὗ *dtl*, τόθι *k*   410 -μενον *AP*, -μεναι em. *p*

Ἴλιον, αὐτίκα τῇσι θοῶς αὐαίνεται ἄκρα.
νῆα δ' ἐρεσσομένην ἄνεμος φέρεν ἀγχόθι Τροίης·
ἵκετο δ', ἧχι καὶ ἄλλαι ἔσαν παρὰ θίνεσι νῆες
Ἀργείων, οἳ τῆμος ὀιζυρῶς πονέοντο
μαρνάμενοι περὶ τεῖχος, ὅ περ πάρος αὐτοὶ ἔδειμαν
νηῶν ἔμμεναι ἕρκος ἐυσθενέων θ' ἅμα λαῶν
ἐν πολέμῳ· τὸ δ' ἄρ' ἤδη ὑπ' Εὐρυπύλοιο χέρεσσι
μέλλεν ἀμαλδύνεσθαι ἐρειπόμενον ποτὶ γαίῃ,
εἰ μὴ ἄρ' αἶψ' ἐνόησε κραταιοῦ Τυδέος υἱὸς
βαλλόμεν' ἕρκεα μακρά· θοῆς δ' ἄφαρ ἔκθορε νηός,
θαρσαλέως τ' ἐβόησεν, ὅσον χάδε οἱ κέαρ ἔνδον·
„ὦ φίλοι, ἦ μέγα πῆμα κυλίνδεται Ἀργείοισι
σήμερον· ἀλλ' ἄγε θᾶσσον ἐς αἰόλα τεύχεα δύντες
ἴομεν ἐς πολέμοιο πολυκμήτοιο κυδοιμόν·
ἤδη γὰρ πύργοισιν ἐφ' ἡμετέροισι μάχονται
Τρῶες ἐυπτόλεμοι, τοὶ δὴ τάχα τείχεα μακρὰ
ῥηξάμενοι πυρὶ νῆας ἐνιπρήσουσι μάλ' αἰνῶς·
νῶιν δ' οὐκέτι νόστος ἐελδομένοις ἀνὰ θυμὸν
ἔσσεται, ἀλλὰ καὶ αὐτοὶ ὑπὲρ μόρον αἶψα δαμέντες
κεισόμεθ' ἐν Τροίῃ τεκέων ἑκὰς ἠδὲ γυναικῶν."
ὣς φάτο· τοὶ δ' ὤκιστα θοῆς ἐκ νηὸς ὄρουσαν
πανσυδίῃ· πάντας γὰρ ἕλε τρόμος εἰσαΐοντας
νόσφι Νεοπτολέμοιο θρασύφρονος, οὕνεκ' ἐῴκει
πατρὶ ἑῷ μέγα κάρτος· ἔρως δέ οἱ ἔμπεσε χάρμης.
καρπαλίμως δ' ἵκοντο ποτὶ κλισίην Ὀδυσῆος·
ἡ γὰρ ἔην ἄγχιστα νεὼς κυανοπρῴροιο·
πολλὰ δ' ἄρ' ἐξημοιβὰ παραυτόθι τεύχεα κεῖτο

411 ἤλιον *AP*, em. *br* 420 ἄφαρ om. *A*, add. *rP* 421 δ' *v*, τ' ex *Pego* 425 ὑφ' *Ast*[1], ἐφ' *VPtlk* 433 δαΐφρ. *v*, θρασύφρ. ex *Pego* 434 ἑῷ om. *A*, add. *dP*, φίλῳ *rtlk* 437 γὰρ *v* et sic *k* lacunae signis ante h. v. positis [velut ἐλ-

ἠμὲν Ὀδυσσῆος πυκιμήδεος ἠδὲ καὶ ἄλλων
ἀντιθέων ἑτάρων, ὁπόσα κταμένων ἀφέλοντο.
ἔνθ' ἐσθλὸς μὲν ἔδυ καλὰ τεύχεα, τοὶ δὲ χέρεια
δῦσαν, ὅσοις ἀλαπαδνὸν ὑπὸ κραδίῃ πέλεν ἦτορ·
αὐτὰρ Ὀδυσσεὺς δύσαθ', ἅ οἱ Ἰθάκηθεν ἕποντο·
δῶκε δὲ Τυδείδῃ Διομήδεϊ κάλλιμα τεύχη
κεῖνα, τὰ δὴ Σώκοιο βίην ἐνάριξε πάροιθεν.
υἱὸς δ' αὖτ' Ἀχιλῆος ἐδύσατο τεύχεα πατρός,
καί οἱ φαίνετο πάμπαν ἀλίγκιος· ἀμφὶ δ' ἐλαφρὰ
Ἡφαίστου παλάμῃσι περὶ μελέεσσιν ἀρήρει,
καί περ ἐόνθ' ἑτέροισι πελώρια· τῷ δ' ἅμα πάντα
φαίνετο τεύχεα κοῦφα· μακρὴ δέ μιν οὔ τι βάρυνε
Πηλιάς, ἀλλά ἑ χερσὶ καὶ ἠλίβατόν περ ἐοῦσαν
ῥηιδίως ἀνάειρεν ἔθ' αἵματος ἰσχανόωσαν.
Ἀργείων δέ μιν ὅσσοι ἐσέδρακον, οὔ τι δύναντο
καί περ ἐελδόμενοι σχεδὸν ἐλθέμεν, οὕνεκ' ἄρ' αὐτοὺς
πᾶν περὶ τεῖχος ἔτειρε βαρὺς πολέμοιο κυδοιμός·
ὡς δ' ὅτ' ἀν' εὐρέα πόντον ἐρημαίῃ περὶ νήσῳ
ἀνθρώπων ἀπάτερθεν ἐεργμένοι ἀσχαλόωσιν
ἀνέρες, οὕς τ' ἀνέμοιο καταιγίδες ἀντιόωσαι
εἴργουσιν μάλα πολλὸν ἐπὶ χρόνον, οἱ δ' ἀλεγεινοὶ
νηὶ περιτρωχῶσι, καταφθινύθει δ' ἄρα πάντα
ἤια, γηθομένοισι δ' ἐπιπνεύσῃ λιγὺς οὖρος·

θόντες δὲ θοῶς ἅμα πάντες ἐν ἔντεσι δῦσαν·], *δ' ἄρ'* *ptl* 440 *κλυτὰ τ.* *st*[2] 444 *εἴρυσε* *AP*, *-σσε* *tlk*, *ἀπέδυσε* *hy*, *ἔκδυσε* et *σύλησε* *ego* olim ci., *ἐνάριξε* ci. *k* 449 *κάρη* *v*, *μακρὴ* *ego* *δέ μιν* *v*, *δέ οἱ* *p*, *γε μὲν* *k* 450 *πήληξ* *v*, sed *tksp* lacunae signis post hanc vocem positis [velut *οὐ παλάμῃσιν ἐπέβρισεν δόρυ μακρὸν*] *Πηλιάς*, lacunam hac coniectura omissa *l* quoque signavit, *ego* *Πηλιάς* recepi *οἱ* *AP*, *ἑ* *rtlk*, *ἀλλ' ὅγε* *sp* 452 *ἐπέδρ.* *v*, *ἐσέδρ.* ex *P* (sed *σέ* in ras.) *ego* 458 *-γεινὸν* *st*[1] 460 *τειρομένοισι* *v* et sic *k* lacunae signis *p* auctore post h. v. positis ('diserte de gaudio,

ὣς ἄρ' Ἀχαιῶν ἔθνος ἀκηχέμενον τὸ πάροιθεν
ἀμφὶ Νεοπτολέμοιο βίῃ κεχάροντο μολόντι
ἐλπόμενοι στονόεντος ἀναπνεύσειν καμάτοιο.
ὄσσε δέ οἱ μάρμαιρεν ἀναιδέος εὖτε λέοντος,
ὅς τε κατ' οὔρεα μακρὰ μέγ' ἀσχαλόων ἐνὶ θυμῷ
ἔσσυται ἀγρευτῆσιν ἐναντίον, οἵ τέ οἱ ἤδη
ἄντρῳ ἐπεμβαίνωσιν ἐρύσσασθαι μεμαῶτες
σκύμνους οἰωθέντας ἑῶν ἀποτῆλε τοκήων
βήσσῃ ἔνι σκιερῇ, ὁ δ' ἄρ' ὑψόθεν ἔκ τινος ἄκρης
ἀθρήσας ὀλοοῖσιν ἐπέσσυται ἀγρευτῆσι
σμερδαλέον βλοσυρῇσιν ὑπαὶ γενύεσσι βεβρυχώς·
ὣς ἄρα φαίδιμος υἱὸς ἀταρβέος Αἰακίδαο
θυμὸν ἐπὶ Τρώεσσιν ἐυπτολέμοισιν ὄρινεν.
οἴμησεν δ' ἄρα πρῶτον, ὅπῃ μάλα δῆρις ὀρώρει
ἂμ πεδίον· τῇ γὰρ φρεσὶν ἔλπετο τεῖχος Ἀχαιῶν
ῥηίτερον δηίοισι κατὰ κλόνον ἐσσυμένοισιν,
οὕνεκ' ἀκιδνοτέρῃσιν ἐπάλξεσιν ἠρήρειστο·
σὺν δέ οἱ ἄλλοι ἔβαν μέγα μαιμώωντες Ἄρηι·
εὗρον δ' Εὐρύπυλον κρατερόφρονα, τῷ δ' ἅμ' ἑταίρους
πύργῳ ἐπεμβεβαῶτας, ὀιομένους περὶ θυμῷ
ῥήξειν τείχεα μακρὰ καὶ Ἀργείους ἀπολέσσειν
πανσυδίῃ· τοῖς δ' οὔ τι θεοὶ τελέεσκον ἐέλδωρ,
ἀλλά σφεας Ὀδυσεύς τε καὶ ὁ σθεναρὸς Διομήδης

in quo sane tertium comparationis positum, dicendum erat'), *γηθομένοισι ego* 466 -ῆρσιν *v*, -ῇσιν *VE*[1]*k* 470 -ῆρσιν *v*, -ῇσιν *V*, -ῇσι *kP* 471 -ροῖσιν *AP*, em. *p* 475 γάρ σφιν ἐπέπλετο *AP*, γὰρ μὲν ἐπέπλ. *ptst*[2], γάρ που ἐπέπλ. *sp*, γάρ σφισιν ἔπλ. *hlk*[1], γάρ σφιν ἐείδετο *k*[2] (qui γάρ μιν ἐκέκλετο acutam dicit, sed falsam emendationem), δὴ γάρ σφιν ἐπέπλετο τ. Ἀ. | ῥ. δηίοιο μετὰ κλόνου ἐ. ci. *h*; Τρώων ἂμ πεδίον, τῇ ἄρ' ἔπλετο *ego* antehac conieci, scripsi γὰρ φρεσὶν ἔλπετο 476 μετὰ *v*, κατὰ *spk* 483 καὶ ὁ *A*, τε καὶ ὁ *rP*, τε ἰδὲ *VE*[1]*tn*, τ' ἠδὲ *splk*

ἰσόθεός τε Νεοπτόλεμος δῖός τε Λεοντεὺς
ἂψ ἀπὸ τείχεος ὦσαν ἀπειρεσίοις βελέεσσιν.
ὡς δ' ὅτ' ἀπὸ σταθμοῖο κύνες μογεροί τε νομῆες
κάρτεϊ καὶ φωνῇ κρατεροὺς σεύουσι λέοντας
πάντοθεν ἐσσύμενοι, τοὶ δ' ὄμμασι γλαυκιόωντες
στρωφῶντ' ἔνθα καὶ ἔνθα λιλαιόμενοι μέγα θυμῷ
πόρτιας ἠδὲ βόας μετὰ γαμφηλῇσι λαφύξαι,
ἀλλὰ καὶ ὧς εἴκουσι κυνῶν ὕπο καρτεροθύμων
σευόμενοι, μάλα γάρ σφιν ἐπαΐσσουσι νομῆες·

* * * * * *

βαιόν, ὅσον τις ἵησι χερὸς περιμήκεα λᾶαν·
οὐ γὰρ Τρῶας ἔα νηῶν ἀπονόσφι φέβεσθαι
Εὐρύπυλος, δηίων δὲ μάλα σχεδὸν ὀτρύνεσκε
μίμνειν, εἰς ὅ κε νῆας ἕλῃ καὶ πάντας ὀλέσσῃ
Ἀργείους. Ζεὺς γάρ οἱ ἀπειρέσιον βάλε κάρτος.
αὐτίκα δ' ὀκριόεσσαν ἑλὼν καὶ ἀτειρέα πέτρην
ἧκεν ἐπεσσύμενος κατὰ τείχεος ἠλιβάτοιο·
σμερδαλέον δ' ἄρα πάντα περιπλατάγησε θέμεθλα
ἕρκεος αἰπεινοῖο· δέος δ' ἕλε πάντας Ἀχαιούς,
τείχεος ὡς ἤδη συνοχωκότος ἐν κονίῃσιν.
ἀλλ' οὐδ' ὧς ἀπόρουσαν ἀταρτηροῖο κυδοιμοῦ,
ἀλλ' ἔμενον θώεσσιν ἐοικότες ἠὲ λύκοισι,
μήλων ληιστῆρσιν ἀναιδέσιν, οὕς τ' ἐν ὄρεσσιν
ἄντρων ἐξελάσωσιν ὁμῶς κυσὶν ἀγροιῶται
ἱέμενοι σκύμνοισι φόνον στονόεντα βαλέσθαι
ἐσσυμένως, τοὶ δ' οὔ τι βιαζόμενοι βελέεσσι

485 *αἶψ' v, ἂψ splk* 487 *-ωσι r* 490 *ἠὲ sp*
492 lacunam hic esse omnes consentiunt [velut ὡς καὶ Τηλέφου υἱὸς ἅμ' ἀνδράσι χάσσατ' ὀπίσσω] 498 *ὀκρυόεσσ. v, ὀκριόεσσ. splk* 499 *ἐπεσσυμένως v, -σύμενος ego*
500 *πάντα* om. *A*, add. *rP* 505 *εὖτ' v, οὖστ' kst²*
-σσι v, -σσιν kP

χάζοντ', ἀλλὰ μένοντες ἀμύνουσιν τεκέεσσιν·
ὣς οἵ ἀμυνόμενοι νηῶν ὕπερ ἠδὲ καὶ αὐτῶν
μίμνον ἐν ὑσμίνῃ. τοῖς δ' Εὐρύπυλος θρασυχάρμης
ἠπείλει μέγα πᾶσι νεῶν προπάροιθε θοάων·
„ἆ δειλοὶ καὶ ἄναλκιν ἐνὶ φρεσὶ θυμὸν ἔχοντες,
οὐκ ἂν δὴ βελέεσσι νεῶν ἄπο ταρβήσαντα
ἠλάσατ', εἰ μὴ τεῖχος ἐμὴν ἀπέρυκεν ὁμοκλήν·
νῦν δέ μοι εὖτε λέοντι κύνες πτώσσοντες ἐν ὕλῃ
μάρνασθ' ἔνδον ἐόντες ἀλευόμενοι φόνον αἰπύν·
ἢν δέ ποτ' ἐκ νηῶν ἐς Τρώιον οὖδας ἵκησθε,
ὡς τὸ πάρος μεμαῶτες ἐπὶ μόθον, οὔ νύ τις ὑμέας
ῥύσεται ἐκ θανάτοιο δυσηχέος, ἀλλ' ἅμα πάντες
κείσεσθ' ἐν κονίῃσιν ἐμεῦ ὕπο δῃωθέντες.“
ὣς ἔφατ' ἀκράαντον ἱεὶς ἔπος· οὐδέ τι ᾔδη,
ὅττί ῥά οἱ μέγα πῆμα κυλίνδετο βαιὸν ἄπωθε
χερσὶ Νεοπτολέμοιο θρασύφρονος, ὅς μιν ἔμελλε
δάμνασθ' οὐ μετὰ δηρὸν ὑπ' ἔγχεϊ μαιμώωντι.
οὐδὲ μὲν οὐδὲ τότ' ἔσκεν ἄτερ κρατεροῖο πόνοιο,
ἀλλ' ἄρα Τρῶας ἔναιρεν ἀφ' ἕρκεος· οἱ δ' ἐφέβοντο
βαλλόμενοι καθύπερθε, περικλονέοντο δ' ἀνάγκῃ
Εὐρυπύλῳ· πάντας γὰρ ἀνιηρὸν δέος ᾕρει·
ὡς δ' ὅτε νηπίαχοι περὶ γούνασι πατρὸς ἑοῖο
πτώσσουσιν βροντὴν μεγάλου Διὸς ἀμφὶ νέφεσσι
ῥηγνυμένην, ὅτε δεινὸν ἐπιστεναχίζεται αἰθήρ·
ὣς ἄρα Τρώιοι υἷες ἐν ἀνδράσι Κητείοισιν
ἀμφὶ μέγαν βασιλῆα Νεοπτόλεμον φοβέοντο

510 ἄρ' *v*, οἳ *k* ἀνδρῶν *v*, αὐτῶν st^1lk^1 in praef. k^2 514 δή με βέλεσσι *rtl* 521 ἐμοῦ *v*, ἐμεῦ *spk* 522 ᾔδει *v*, ᾔδη *Vk* 523 -θεν *v*, -θε k^2 527 ἀλλὰ *v*, ἀλλ' ἄρα *k* 531 -σσουσι *v*, -σσουσιν *hg* 532 ἐπιστον. *v*, -στεν. *ego* ἀήρ *v*, αἰθήρ *wlk* 534 sq. Μενεπτ. AVE^1, μενεπτ. *P*, Νεοπτ. rtl^1, omnes interpunctione post φοβέοντο posita;

πᾶν θ' ὅ τι χερσὶν ἕηκεν· ἐς ἰθὺ γὰρ ἔπτατο πῆμα,
δυσμενέων κεφαλῇσι φέρον πολύδακρυν Ἄρηα.
οἱ δ' ἄρ' ἀμηχανίῃ βεβολημένοι ἔνδοθεν ἦτορ
Τρῶες ἔφαντ' Ἀχιλῆα πελώριον εἰσοράασθαι
αὐτὸν ὁμῶς τεύχεσσι· καὶ ἀμφασίην ἀλεγεινὴν
κεῦθον ὑπὸ κραδίῃ, ἵνα μὴ δέος αἰνὸν ἵκηται
ἐς φρένα Κητείων μηδ' Εὐρυπύλοιο ἄνακτος·
αὐτοῦ δ' ἄλλοθεν ἄλλος ἀπειρέσιον τρομέοντες
μεσσηγὺς κακότητος ἔσαν κρυεροῦ τε φόβοιο·
αἰδὼς γὰρ κατέρυκεν ὁμῶς καὶ δεῖμ' ἀλεγεινόν.
ὡς δ' ὅτε παιπαλόεσσαν ὁδὸν κατὰ ποσσὶν ἰόντες
ἀνέρες ἀθρήσωσιν ἀπ' οὔρεος ἀΐσσοντα
χείμαρρον, καναχὴ δὲ περιβρομέει περὶ πέτρῃ,
οὐδέ τί οἱ μεμάασιν ἀνὰ ῥόον ἠχήεντα
δύμεναι ἐγκονέοντες, ἐπεὶ παρὰ ποσσὶν ὄλεθρον
δερκόμενοι τρομέουσι καὶ οὐκ ἀλέγουσι κελεύθου·
ὣς ἄρα Τρῶες ἔμιμνον ἐελδόμενοί περ ἀϋτῆς
τεῖχος ὑπ' Ἀργείων· τοὺς δ' Εὐρύπυλος θεοειδὴς
αἰὲν ἐποτρύνεσκε ποτὶ κλόνον· ἦ γὰρ ἐώλπει
πολλοὺς δηιόωντα πελώριον ἐν δαΐ φῶτα
χεῖρα καμεῖν καὶ κάρτος· ὁ δ' οὐκ ἀπέληγε μόθοιο.
τῶν δ' ἄρ' Ἀθηναίη κρατερὸν πόνον εἰσορόωσα
κάλλιπεν Οὐλύμποιο θυώδεος αἰπὰ μέλαθρα·

Νεοπτολέμου φ | *πᾶν ὅ τι* olim ci. *k*, rec. *l*²; *μενεπτόλεμον* sequente lacuna ['requiritur aliquid participii'] et *Νεοπτόλεμον φοβέοντο* sequente altera lacuna edd. *k*; *θ'* post *πᾶν* *ego* inserui 542 *αὐτοὶ rtl* 544 post h. v. lacunae signa pos. *k* [velut *μὴ δὴ καὶ Κήτειοι ἀπὸ πτολέμοιο φέβωνται*] 545 *κάτα sphlk* 547 *καναχῇ* et *πέρι πέτρῃ h* 548 *οὐδέ τι οἱ A*, *οὐδέ τι οἷ P*, *οὐδέ τί οἱ hspl*, *οὐδ' ἔτι οἱ pk*, *οὐδ' ἔτι τοὶ st*¹ 549 *θύμ. A*, *θήμ. E*¹*P*, *βήμ. rt*, *δύμ. hsplk* 551 *ἐελδ. μέγα φύξης* olim ci. *k*, *ἐελδ. περ ἀλύξαι* ci. *st*¹*k*, sed in edd. post h. v. lacunae signa pos. *k* [velut *ἐκφυγέειν, χεῖρας δὲ Νεοπτολέμου ὑπαλύξαι*] 557 *εὐωδέος AP*, *θυώδεος rl*²*k*

βῆ δ' ἄρ' ὑπὲρ κορυφὰς ὀρέων· οὐδ' ἴχνεσι γαίης
ψαῦε μέγ' ἐγκονέουσα· φέρεν δέ μιν ἱερὸς ἀὴρ
εἰδομένην νεφέεσσιν, ἐλαφροτέρην δ' ἀνέμοιο.
Τροίην δ' αἶψ' ἀφίκανε, πόδας δ' ἐπέθηκε κολώνῃ
Σιγέου ἠνεμόεντος· ἐδέρκετο δ' ἔνθεν ἀυτὴν
ἀγχεμάχων ἀνδρῶν, κύδαινε δὲ πολλὸν Ἀχαιούς.
υἱὸς δ' αὖτ' Ἀχιλῆος ἔχεν πολὺ φέρτατον ἄλλων
θάρσος ὁμοῦ καὶ κάρτος, ἅ τ' ἀνδράσιν εἰς ἓν ἰόντα
τεύχουσιν μέγα κῦδος· ὁ δ' ἀμφοτέροισι κέκαστο,
οὕνεκ' ἔην Διὸς αἷμα, φίλῳ δ' ἤικτο τοκῆι·
τῷ καὶ ἄτρεστος ἐὼν πολέας κτάνεν ἀγχόθι πύργων.
ὡς δ' ἁλιεὺς κατὰ πόντον ἀνὴρ λελιημένος ἄγρης
τεύχων ἰχθύσι πῆμα φέρει μένος Ἡφαίστοιο
νηὸς ἑῆς ἔντοσθε, διεγρομένῃ δ' ὑπ' ἀυτμῇ
μαρμαίρει περὶ νῆα πυρὸς σέλας, οἱ δὲ κελαινῆς
ἐξ ἁλὸς ἀίσσουσι μεμαότες ὕστατον αἴγλην
εἰσιδέειν, τοὺς γάρ ῥα τανυγλώχινι τριαίνῃ
κτείνει ἐπεσσυμένους, γάνυται δέ οἱ ἦτορ ἐπ' ἄγρῃ·
ὣς ἄρα κύδιμος υἱὸς ἐυπτολέμου Ἀχιλῆος
λαΐνεον περὶ τεῖχος ἐδάμνατο δήια φῦλα
ἀντί' ἐπεσσυμένων. πονέοντο δὲ πάντες Ἀχαιοὶ
ἄλλοι ὁμῶς ἄλλῃσιν ἐπάλξεσιν· ἔβραχε δ' εὐρὺς
αἰγιαλὸς καὶ νῆες, ἐπεστενάχοντο δὲ μακρὰ
τείχεα βαλλομένων. κάματος δ' ὑπεδάμνατο λαοὺς
ἄσπετος ἀμφοτέρωθε, λύεν δέ τε γυῖα καὶ ἀλκὴν
αἰζηῶν· ἀλλ' οὔ τι μενεπτολέμου Ἀχιλῆος

558 κεφαλῆς *v*, κορυφὰς *ego* 561 ἐκίχανε *v*, ἀφίκανε *tk* 572 κελαίνης *v*, κελαινῆς ex *P ego*, μελαίνης *E*[1] 578 ἀντίον ἐπεσσ. *AP*, ἀντί' ἐπεσσ. *Vrtlk* (vel ἀντίον ἐσσ. *r*) 582 λύοντο δὲ γ. κ. ἀλκὴ *v*, λύεν δέ τε γ. κ. ἀλκὴν *ego* 583 κόρος πολέμου *l*[2]

ἄμφεχεν υἱέα δῖον· ἐπεὶ δέ οἱ ὄβριμον ἦτορ
πάμπαν ἔην ἄτρυτον, ἀνιηρὸν δέος οὔ τι
ἥψατο μαρναμένοιο· μένος δ' ἀκάμαντι ἐοικὼς
ἀενάῳ ποταμῷ, τὸν ἀπειρεσίη πυρὸς ὁρμὴ
οὔ ποτ' ἰοῦσ' ἐφόβησε, καὶ εἰ μέγα μαίνετ' ἀήτης
Ἡφαίστου κλονέων ἱερὸν μένος — ἢν γὰρ ἵκηται
ἐγγὺς ἐπὶ προχοῇσι, μαραίνεται, οὐδέ οἱ ἀλκὴ
ἅψασθ' ἀργαλέη σθένει ὕδατος ἀκαμάτοιο —·
ὣς ἄρα Πηλείδαο δαΐφρονος υἱέος ἐσθλοῦ
οὔτε μόγος στονόεις οὔτ' ἂρ δέος ἥψατο γούνων
αἰὲν ἐρειδομένοιο καὶ ὀτρύνοντος ἑταίρους.
οὐδὲ μὲν οὐδὲ βέλος κείνου χρόα καλὸν ἵκανε
πολλῶν βαλλομένων· ἀλλ' ὡς νιφάδες περὶ πέτρῃ
πολλάκις ἠίχθησαν ἐτώσια· πάντα γὰρ εὐρὺ
εἶργε σάκος βριαρή τε κόρυς, κλυτὰ δῶρα θεοῖο·
τοῖς ἐπικαγχαλόων κρατερὸς πάις Αἰακίδαο
φοίτα μακρὰ βοῶν περὶ τείχεϊ πολλὰ κελεύων
ἐς μόθον Ἀργείοισιν ἀταρβέσιν, οὕνεκα πάντων
πολλὸν ἔην ὄχ' ἄριστος, ἔχεν δ' ἔτι θυμὸν ὁμοκλῆς
λευγαλέης ἀκόρητον, ἑοῦ δ' ἄρα μήδετο πατρὸς
τίσασθ' ἀλγινόεντα φόνον· κεχάροντο δ' ἄνακτι
Μυρμιδόνες· στυγερὴ δὲ πέλεν περὶ τεῖχος ἀυτή·

584 *δῖον, ἐπεί ῥά v*; *δεῖος, ἐπεί ῥά* st^{1}l^1; *δῖον· ἐπεὶ δέ ego* 585 *ἄτρυτον· ἀ. δέ οἱ v*; *ἄτρυτον, ἀ. δέος ego* 586 *μαρναμένοιο δέος* sequente lacuna [velut *πολλῶν ἐπιόντων* | *δυσμενέων τείχεσσι·*] et tum *μένος δ' k* *ἐοικὼς v, ἐῴκει rpk* 588 *ἰοῦσα φόβησε P* *ἢν v, εἰ* st^1 (k^1 in Prol.) 595 *οὐ μὴν v, οὐδὲ μὲν ego* 596 *πέτρην v. -η P, ῃ ego* 597 *ἠΰτησαν v, ἠίχθ. spk* 601 *ἀταρβέα θῦναι, οὔν. A*; *ἀταρβέα· θῦνε οὔν. P*; *ἀταρβέα, οὔν.* VV^{3}E^{1}rtl, et sic *k* sed lacunae signis post *ἀτ.* positis [velut *θυμὸν ἔχουσιν* | *ὁρμαίνειν Τρώεσσιν ἐναντίον·*]; *ἀταρβέσιν, οὔν. sp* 604 *τίσσεσθ' A, τίθεσθ' VP, τιθέασθ' E*^{1}, *τίσεσθ' rtlk, τίσασθ'* ex C^1 *ego*

ἔνθα δύω κτάνε παῖδε πολυχρύσοιο Μέγητος,
ὃς γόνος ἔσκε Δύμαντος, ἔχεν δ' ἐρικυδέας υἷας
εἰδότας εὖ μὲν ἄκοντα βαλεῖν, εὖ δ' ἵππον ἐλάσσαι
ἐν πολέμῳ καὶ μακρὸν ἐπισταμένως δόρυ πῆλαι,
τοὺς τέκε οἱ Περίβοια μιῇ ὠδῖνι παρ' ὄχθῃς
Σαγγαρίου, Κελτόν τε καὶ Εὔβιον· οὐδ' ἀπόναντο
ὄλβου ἀπειρεσίοιο πολὺν χρόνον, οὕνεκα Μοῖραι
παῦρον ἐπὶ σφίσι πάγχυ τέλος βιότοιο βάλοντο·
ἄμφω δ' ὡς ἴδον ἦμαρ ὁμῶς, καὶ κάτθανον ἄμφω
χερσὶ Νεοπτολέμοιο θρασύφρονος, ὃς μὲν ἄκοντι
βλήμενος ἐς κραδίην, ὁ δὲ χερμαδίῳ ἀλεγεινῷ
κὰκ κεφαλῆς· βριαρὴ δὲ περιθραυσθεῖσα καρήνῳ
ἐθλάσθη τρυφάλεια καὶ ἐγκέφαλον συνέχευεν.
ἀμφὶ δ' ἄρά σφισι φῦλα περικτείνοντο καὶ ἄλλων
μυρία δυσμενέων· μέγα δ' Ἄρεος ἔργον ὀρώρει,
μέσφ' ὅτε δὴ βουλυτὸς ἐπήλυθεν, ἤνυτο δ' ἠὼς
ἀμβροσίη, καὶ λαὸς ἀταρβέος Εὐρυπύλοιο
χάσσατο τυτθὸν ἄπωθε νεῶν· οἱ δ' ἀγχόθι πύργων
βαιὸν ἀνέπνευσαν· καὶ δ' αὐτοὶ Τρώιοι υἷες
ἀμπαύοντο μόθοιο δυσηχέος, οὕνεκ' ἐτύχθη
φύλοπις ἀργαλέη περὶ τείχεϊ. καί νύ χ' ἅπαντες
Ἀργεῖοι τότε νηυσὶν ἔπι σφετέρῃσιν ὄλοντο,
εἰ μὴ Ἀχιλλῆος κρατερὸς πάις ἤματι κείνῳ
δυσμενέων ἀπάλαλκε πολὺν στρατὸν ἠδὲ καὶ αὐτὸν
Εὐρύπυλον. τῷ δ' αἶψα γέρων σχεδὸν ἤλυθε Φοῖνιξ,
καί μιν ἰδὼν θάμβησεν ἐοικότα Πηλείωνι·

607 *γένος P* 611 *Κέλτον v*, *Κελτόν* ex *P ego* 614 *καὶ* om. *A*, add. *rP* (*ὁμῶς καὶ P*), *ὣς dk*, *ὁμοῦ ὣς tl* 617 *-θραυσθεῖσα Ark*, *-θραυθ. P*, *-θρυφθεῖσα tl* 618 *ἐθραύσθη APtl*, *ἐκλάσθη r*, *ἐθλάσθη k* 621 *ἄνυτο A*, *οὔν. P*, *ἤν. tlk* 623 *ἐνδόθι k* ol. et *l* 625 *-αλκέος AP*, *-αλγέος ptl*, *-ηχέος spk*

ἀμφὶ δέ οἱ μέγα χάρμα καὶ ἄσπετον ἄλγος ἵκανεν,
ἄλγος μὲν μνησθέντι ποδώκεος ἀμφ' Ἀχιλῆος,
χάρμα δ' ἄρ', οὕνεκά οἱ κρατερὸν παῖδ' εἰσενόησε·
κλαῖε δ' ὅ γ' ἀσπασίως, ἐπεὶ οὔ ποτε φῦλ' ἀνθρώπων
νόσφι γόου ζώουσι, καὶ εἴ ποτε χάρμα φέρονται.
ἀμφεχύθη δέ οἱ, εὖτε πατὴρ περὶ παιδὶ χυθείη,
ὅς τε θεῶν ἰότητι πολὺν χρόνον ἄλγε' ἀνατλὰς
ἔλθῃ ἑὸν ποτὶ δῶμα φίλῳ μέγα χάρμα τοκῆι·
ὣς ὁ Νεοπτολέμοιο κάρη καὶ στήθεα κύσσεν
ἀμφιχυθείς, καὶ τοῖον ἀγασσάμενος φάτο μῦθον·
„χαῖρέ μοι, ὦ τέκος ἐσθλὸν Ἀχιλλέος, ὅν ποτ' ἔγωγε
τυτθὸν ἐόντ' ἀτίταλλον ἐν ἀγκοίνῃσιν ἐμῇσι
προφρονέως· ὁ δ' ἄρ' ὦκα θεῶν ἐρικυδέι βουλῇ
ἔρνος ὅπως ἐριθηλὲς ἀέξετο· καί οἱ ἔγωγε
γήθεον εἰσορόων ἠμὲν δέμας ἠδὲ καὶ ἀλκήν·
ἔσκε δέ μοι μέγ' ὄνειαρ· ἴσον δέ ἑ παιδὶ τίεσκον
τηλυγέτῳ· ὁ δ' ἄρ' ἶσον ἑῷ πατρὶ τῖεν ἐμὸν κῆρ·
κείνῳ μὲν γὰρ ἔγωγε πατήρ, ὁ δ' ἄρ' υἱὸς ἔμοιγε
ἔσκε νόῳ· φαίης κεν ἰδὼν ἑνὸς αἵματος εἶναι
εἵνεχ' ὁμοφροσύνης· ἀρετῇ δ' ὅ γε φέρτερος ἦεν
πολλόν, ἐπεὶ μακάρεσσι δέμας καὶ κάρτος ἐῴκει.
τῷ σύγε πάμπαν ἔοικας· ἐγὼ δ' ἄρα κεῖνον ὀίω
ζωὸν ἔτ' Ἀργείοισι μετέμμεναι, οὗ μ' ἄχος ὀξὺ
ἀμφέχει ἤματα πάντα, λυγρῷ δ' ἐπὶ γήραϊ θυμὸν

633 ἀντ' *A*, ἄντ' *Prtl*, ἀμφ' *spk* 634 post h. v. in *C*[1] legitur versus πατρὶ βίηφι ὅμοιον ἰδ' ἀλκῇ ἅμ' εἴδεϊ αὐτῷ, quo v. neglecto, ut iure neglexerunt ceteri omnes, tamen lacunae signa pos. *k* 636 -ωνται *P* 637 παῖδα *A*, παιδὶ *rP* 639 ἔλθοι *v*, ῃ *k* 641 ἀγαπαζόμ. *AP*, ἀγαζόμ. *rtl*, ἀγασσάμ. *spk* 646 αὐδήν *v*, ἀλκήν *k* 649 κείνου *AP*, -ῳ *ptlk* 650 ἔσκεν ὅπως *v*, ἔ. ὅλως *p*, ἔ. ὅ τις *st*[1], ἔσκε νόῳ *k* φήσασκεν *v*, φήσας κεν *E*[1], φαίης κεν *tlk* ἐσμὲν *A*, ἔσμεν *P*, ἔμμεν (*r*)*pt*, εἶναι (*r*)*lk* 653 ἂρ *v*, ἄρα *wsplk*

τείρομαι· ὡς ὄφελόν με χυτὴ κατὰ γαῖα κεκεύθει
κείνου ἔτι ζώοντος, ἐπεὶ πέλει ἀνέρι κῦδος
κηδεμονῆος ἑοῦ ὑπὸ χείρεσι ταρχυθῆναι.
ἀλλά, τέκος, κείνου μὲν ἐγὼν οὐ λήσομαι ἦτορ
ἀχνύμενος· σὺ δὲ μή τι χαλέπτεο πένθεϊ θυμόν·
ἀλλ' ἄγε Μυρμιδόνεσσι καὶ ἱπποδάμοισιν Ἀχαιοῖς
τειρομένοις ἐπάμυνε μέγ' ἀμφ' ἀγαθοῖο τοκῆος
χωόμενος δηίοισι· κλέος δέ τοι ἔσσεται ἐσθλὸν
Εὐρύπυλον δαμάσαντι μάχης ἀκόρητον ἐόντα·
τοῦ γὰρ ὑπέρτερός ἐσσι καὶ ἔσσεαι, ὅσσον ἀρείων
σεῖο πατὴρ κείνοιο πέλεν μογεροῖο τοκῆος."
ὣς φάμενον προσέειπε πάις ξανθοῦ Ἀχιλῆος·
„ὦ γέρον, ἡμετέρην ἀρετὴν ἀνὰ δηιοτῆτα
Αἶσα διακρινέει κρατερὴ καὶ ὑπέρβιος Ἄρης."
ὣς εἰπὼν αὐτῆμαρ ἐέλδετο τείχεος ἐκτὸς
σεύεσθ' ἐν τεύχεσσιν ἑοῦ πατρός· ἀλλά μιν ἔσχε
νύξ, ἥ τ' ἀνθρώποισι λύσιν καμάτοιο φέρουσα
ἔσσυτ' ἀπ' Ὠκεανοῖο καλυψαμένη δέμας ὄρφνῃ.
Ἀργείων δέ μιν υἷες ἴσον κρατερῷ Ἀχιλῆι
κύδαινον παρὰ νηυσὶ γεγηθότες, οὕνεκ' ἄρ' αὐτοὺς
θαρσαλέους κατέτευξεν ἰὼν ἐπὶ δῆριν ἑτοίμως·
τοὔνεκά μιν τίεσκον ἀγακλειτοῖς γεράεσσιν
ἄσπετα δῶρα διδόντες, ἅ τ' ἀνέρι πλοῦτον ὀφέλλει·
οἱ μὲν γὰρ χρυσόν τε καὶ ἄργυρον, οἱ δὲ γυναῖκας
δμωίδας, οἱ δ' ἄρα χαλκὸν ἀάσπετον, οἱ δὲ σίδηρον,
ἄλλοι δ' οἶνον ἐρυθρὸν ἐν ἀμφιφορεῦσιν ὄπασσαν
ἵππους τ' ὠκύποδας καὶ ἀρήια τεύχεα φωτῶν
φάρεά τ' εὐποίητα γυναικῶν κάλλιμα ἔργα·

657 ὃ *καὶ APk*, ὃ *γὰρ* C^{1}*rptl*, *ἐπεὶ ego* 659 *ἐγὼ v*, *ἐγὼν rspk* 676 *ἑὼν* et *ἑτοίμως A*, *ἰὼν . . ἑ. rtlk*, *ἑῶν . . ἕτοιμος P*

τοῖς ἔπι θυμὸν ἴαινε Νεοπτολέμοιο φίλον κῆρ.
καί ῥ' οἱ μὲν δόρποιο ποτὶ κλισίῃσι μέλοντο
υἱὸν Ἀχιλλῆος θεοειδέα κυδαίνοντες
ἶσον ἐπουρανίοισιν ἀτειρέσι. τῷ δ' Ἀγαμέμνων
πόλλ' ἐπικαγχαλόων τοῖον ποτὶ μῦθον ἔειπεν·
„ἀτρεκέως πάις ἐσσὶ θρασύφρονος Αἰακίδαο,
ὦ τέκος, οὕνεκά οἱ κρατερὸν μένος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος καὶ θάρσος ἰδὲ φρένας ἔνδον ἔοικας·
τῷ σοὶ ἐγὼ μέγα θυμὸν ἰαίνομαι· ἦ γὰρ ἔολπα
σῇσιν ὑπαὶ παλάμῃσι καὶ ἔγχεϊ δήια φῦλα
καὶ Πριάμοιο πόληα περικλειτὴν ἐναρίξαι,
οὕνεκα πατρὶ ἔοικας· ἐγὼ δ' ἄρα κεῖνον ὀίω
εἰσοράαν παρὰ νηυσίν, ὅτε Τρώεσσιν ὁμόκλα
χωόμενος Πατρόκλοιο δεδουπότος· ἀλλ' ὁ μὲν ἤδη
ἐστὶ σὺν ἀθανάτοισι· σὲ δ' ἐκ μακάρων προέηκε
σήμερον Ἀργείοισιν ἀπολλυμένοις ἐπαμῦναι."
ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
„εἴθέ μιν, ὦ Ἀγάμεμνον, ἔτι ζώοντα κίχανον,
ὄφρα καὶ αὐτὸς ἄθρησεν ἑὸν θυμήρεα παῖδα
οὔ τι καταισχύνοντα βίην πατρός, ὥς περ ὀίω
ἔσσεσθ', ἤν με σόωσιν ἀκηδέες Οὐρανίωνες."
ὣς ἄρ' ἔφη πινυτῇσιν ἀρηρέμενος φρεσὶ θυμόν·
λαοὶ δ' ἀμφιέποντες ἐθάμβεον ἀνέρα δῖον.
ἀλλ' ὅτε δὴ δόρποιο καὶ εἰλαπίνης κορέσαντο,
δὴ τότ' ἄρ' Αἰακίδαο θρασύφρονος ὄβριμος υἱὸς
ἀνστὰς ἐκ δόρποιο ποτὶ κλισίην ἀφίκανε

692 ἔωλπα *v*, ἔολπα *spkP* 698 sq. σὲ — Ἀργείοισιν in *P* desunt 699 -μένοισιν ἀμῦναι ci. *k* 701 εἴθε ὦ *AP*, μιν add. *rtlk*, ὡς εἴθ' *br* 702 ὄφρα με καὶ *A*, ὄφρά με καὶ *P*, με del. *rtlk* 704 σώωσιν *A*, σάωσιν *C*[1]*rtlk*, σόωσιν *pP* 705 -άμενος *v*, -έμενος *ego* 709 κλισίας *AP*, -ην *ptlk* -νεν *v*, -νε *kP*

πατρὸς ἑοῦ. τὰ δὲ πολλὰ δαϊκταμένων ἡρώων
ἔντεά οἱ παρέκειντο· αἱ δ' ἀμφί μιν ἄλλοθεν ἄλλαι
χήρην ληιάδες κλισίην ἐπιπορσύνεσκον,
ὡς ζώοντος ἄνακτος. ὁ δ' ὡς ἴδεν ἔντεα Τρώων
καὶ δμῳάς, στονάχησεν· ἔρως δέ μιν εἷλε τοκῆος·
ὡς δ' ὅτ' ἀνὰ δρυμὰ πυκνὰ καὶ ἄγκεα ῥωπήεντα
σμερδαλέοιο λέοντος ὑπ' ἀγρευτῆσι δαμέντος
σκύμνος ἐς ἄντρον ἵκηται ἐύσκιον, ἀμφὶ δὲ πάντῃ
ταρφέα παπταίνει κενεὸν σπέος, ἀθρόα δ' αὐτοῦ
ὀστέα δερκόμενος κταμένων πάρος οὐκ ὀλίγων περ
ἵππων ἠδὲ βοῶν, μεγάλ' ἄχνυται ἀμφὶ τοκῆος·
ὣς ἄρα θαρσαλέοιο πάις τότε Πηλείδαο
θυμὸν ἐπαχνώθη· δμῳαὶ δέ μιν ἀμφαγάσαντο·
καὶ δ' αὐτὴ Βρισηίς, ὅτ' ἔδρακεν υἷ' Ἀχιλῆος,
ἄλλοτε μὲν θυμῷ μέγ' ἐγήθεεν, ἄλλοτε δ' αὖτε
ἄχνυτ' Ἀχιλλῆος μεμνημένη· ἐν δέ οἱ ἦτορ
ἀμφασίῃ βεβόλητο κατὰ φρένας, ὡς ἐτεόν περ
αὐτοῦ ἔτι ζώοντος ἀταρβέος Αἰακίδαο.
Τρῶες δ' αὖτ' ἀπάνευθε γεγηθότες ὄβριμον ἄνδρα
Εὐρύπυλον κύδαινον ἐνὶ κλισίῃσι καὶ αὐτοί,
ὁππόσον Ἕκτορα δῖον, ὅτ' Ἀργείους ἐδάιζε
ῥυόμενος πτολίεθρον ἑὸν καὶ κτῆσιν ἅπασαν.
ἀλλ' ὅτε δὴ μερόπεσσιν ἐπὶ γλυκὺς ἤλυθεν ὕπνος,
δὴ τότε Τρώιοι υἷες ἰδ' Ἀργεῖοι μενεχάρμαι
νόσφι φυλακτήρων εὗδον βεβαρηότες ὕπνῳ.

712 χῆραι *v*, χήρην *kl*² 714 δμῶας *AP*, δμωὰς *C*¹*r* ἔρος *P* 715 ῥιπήεντα *APd*, ῥωπ. *VV*³*rtst*¹*lk*, ὑλήεντα *sp* 716 -τῆρσι *v*, -τῆσι *VPk* 718 κεῖνο *AP*, κενεὸν *rtsplk* αὖτε *v*, αὐτοῦ *k* 721 Πηληϊάδαο *AP*, em. *r* 722 ἀμφ' ἀγ. *v*, ἀμφαγ. *E*¹*Prst*¹*spk* 724 μέγ' om. *A*, add. *dtlkP* 730 ἐδάϊξε *tl* 734 -τῆρες *A*, em. *rP*

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Ἦμος δ' ἠελίοιο φάος περικίδνατο γαῖαν
ἐκ περάτων ἀνιόντος, ὅθι σπέος Ἠριγενείης,
δὴ τότε που Τρῶες καὶ Ἀχαιῶν ὄβριμοι υἷες
θωρήσσονθ' ἑκάτερθεν ἐπειγόμενοι ποτὶ δῆριν·
καὶ τοὺς μὲν πάις ἐσθλὸς Ἀχιλλέος ὀτρύνεσκεν
ἀντιάαν Τρώεσσιν ἀταρβέα θυμὸν ἔχοντας,
τοὺς δ' ἄρα Τηλεφίδαο μέγα σθένος· ἦ γὰρ ἐώλπει
τεῖχος μὲν χαμάδις βαλέειν νῆάς τ' ἀμαθῦναι
ἐν πυρὶ λευγαλέῳ, λαοὺς δ' ὑπὸ χερσὶ δαΐξαι.
ἀλλά οἱ ἐλπωρὴ μὲν ἔην ἐναλίγκιος αὔρῃ
μαψιδίῃ· Κῆρες δὲ μάλα σχεδὸν ἑστηυῖαι
πολλὸν καγχαλάασκον ἐτώσια μητιόωντι.
καὶ τότε Μυρμιδόνεσσιν Ἀχιλλέος ἄτρομος υἱὸς
θαρσαλέον φάτο μῦθον ἐποτρύνων πονέεσθαι·
„κέκλυτέ μευ, θεράποντες, ἀρήιον ἐν φρεσὶ θυμὸν
θέντες, ἵν' Ἀργείοισιν ἄκος πολέμου ἀλεγεινοῦ,
δυσμενέεσσι δὲ πῆμα γενώμεθα· μηδέ τις ἡμέων
ταρβείτω· κρατερὴ γὰρ ἄδην ἐκ θάρσεος ἀλκὴ

1 *-ται αἶαν v, -το γαῖαν* kl^2 4 *περὶ v, ποτὶ sptlk*
5 *καὶ* omiss. add. *k, τοὺς μὲν δὴ rtl* 8 *ἀμαθύνειν v, -ῦναι* st^1
11 *μαψιδίη blP* *-κυῖαι v, -υῖαι spkP*

γίνεται ἀνθρώποισι, δέος δὲ βίην ἀμαθύνει
καὶ νόον· ἀλλ' ἄγε πάντες ἐς Ἄρεα καρτύνασθε,
ὄφρα μὴ ἀμπνεύσῃ Τρώων στρατός, ἀλλ' Ἀχιλῆα
φαίη ἔτι ζώοντα μετέμμεναι Ἀργείοισιν."
ὣς εἰπὼν ὤμοισι πατρώια δύσατο τεύχη
πάντοθε μαρμαίροντα· Θέτις δ' ἠγάλλετο θυμῷ
ἐξ ἁλὸς εἰσορόωσα μέγα σθένος υἱωνοῖο.
καί ῥα θοῶς οἴμησε πρὸ τείχεος αἰπεινοῖο
ἐμβεβαὼς ἵπποισιν ἑοῦ πατρὸς ἀθανάτοισιν·
οἷος δ' ἐκ περάτων ἀναφαίνεται Ὠκεανοῖο
Ἠέλιος θνητὸν ἐπὶ χθόνα πῦρ ἀμαρύσσων,
πῦρ, ὅτε οἱ πώλοισι καὶ ἅρμασι συμφέρετ' ἀστὴρ
Σείριος, ὅς τε βροτοῖσι φέρει πολυκηδέα νοῦσον·
τοῖος ἐπὶ Τρώων στρατὸν ἤιεν ὄβριμος ἥρως,
υἱὸς Ἀχιλλῆος. φόρεον δέ μιν ἄμβροτοι ἵπποι,
τούς οἱ ἐελδομένῳ νηῶν ἄπο λαὸν ἐλάσσαι
ὤπασεν Αὐτομέδων· ὃς γάρ σφεας ἡνιόχευεν·
ἵπποι δ' αὖτ' ἐχάρησαν ἑὸν φορέοντες ἄνακτα
εἴκελον Αἰακίδῃ· τῶν δ' ἄφθιτον ἦτορ ἐώλπει
ἔμμεναι ἀνέρα κεῖνον Ἀχιλλέος οὔ τι χερείω.
ὣς δὲ καὶ Ἀργεῖοι μέγα καγχαλόωντες ἄγερθεν
ἀμφὶ Νεοπτολέμοιο βίην ἄμοτον μεμαῶτες,
λευγαλέοις σφήκεσσιν ἐοικότες, οὕς τε κλονήσῃ
* * * * * *
χηραμοῦ ἐκποτέονται ἐελδόμενοι χρόα θεῖναι
ἀνδρόμεον, πάντες δὲ περὶ στέγος ὁρμαίνοντες

20 -ασθε *APk*, -ασθαι *V*, -εσθε *ptl* 28 ἀμφαίν. *v*, ἀναφ. *spk* 30 ἅρματι *v*, -σι *spk*[1] in praef. *k*[2] 41 αἵ τε κλονήσει *A*, οἵτε κλ. *P* (et sic *l* sequente lacuna), οὕς τε κλ. *C*[1], οὕστε κλονήσῃ sequente lacuna [velut δρυτόμος, οἱ δ' ἄρα πάντες ὀρινόμενοι περὶ θυμῷ] *Pierson k* 42 θεῖναι *APk*, θείνειν *dtl* 43 στένος *A*, σθένος *E*[1]*P*, στέγος *rtlk*

τεύχουσιν μέγα πῆμα παρεσσυμένοισι βροτοῖσιν·
ὣς οἵ γ' ἐκ νηῶν καὶ τείχεος ἐξεχέοντο
μαιμώωντες Ἄρηι· πολὺς δ' ἐστείνετο χῶρος.
πᾶν πεδίον δ' ἀπάνευθεν ἐλάμπετο τεύχεσι φωτῶν
ἠελίου καθύπερθεν ἀπείριτα μαρμαίροντος·
οἷον δὲ νέφος εἶσι δι' ἠέρος ἀπλήτοιο
πνοιῇσιν μεγάλῃσιν ἐλαυνόμενον Βορέαο,
ἦμος δὴ νιφετός τε πέλει καὶ χείματος ὥρη
ἀργαλέη, πάντῃ δὲ περιστέφει οὐρανὸν ὄρφνη·
ὣς τῶν πλήθετο γαῖα συνερχομένων ἑκάτερθε
νηῶν βαιὸν ἄπωθε. κόνις δ' εἰς οὐρανὸν εὐρὺν
πέπτατ' ἀειρομένη· κανάχιζε δὲ τεύχεα φωτῶν,
σὺν δὲ καὶ ἅρματα πολλά· διεσσύμενοι δ' ἐπὶ μῶλον
ἵπποι ἐπεχρεμέτιζον· ἑὴ δ' ἐκέλευεν ἕκαστον
ἀλκὴ ἀνιηρὴν ἐς φύλοπιν ὀτρύνουσα.
ὡς δ' ὅτε κύματα μακρὰ δύο κλονέουσιν ἀῆται
σμερδαλέον βρομέοντες ἀνὰ πλατὺ χεῦμα θαλάσσης
ἔκποθεν ἀλλήλοισι περιρρηγνύντες ἀέλλας,
ὁππότε χεῖμ' ἀλεγεινὸν ἀν' εὐρέα βένθεα πόντου
μαίνετ', ἀμαιμακέτη δὲ περιστένει Ἀμφιτρίτη
κύμασι λευγαλέοισι, τὰ δ' ἄλλοθεν ἄλλα φέρονται
οὔρεσιν ἠλιβάτοισιν ἐοικότα, τῶν δ' ἀλεγεινὴ
ὀρνυμένων ἑκάτερθε πέλει κατὰ πόντον ἰωή·
ὣς οἵ γ' ἀμφοτέρωθεν ἐπ' Ἄρεα συμφορέοντο
σμερδαλέον μεμαῶτες· Ἔρις δ' ὀρόθυνε καὶ ἀλκή.
σὺν δ' ἔβαλον βροντῇσιν ἐοικότες ἢ στεροπῇσιν,
αἵ τε μέγα κτυπέουσι δι' ἠέρος, ὁππότ' ἀῆται

45 τε καὶ *AP*, τε del. *tlk*, τε καὶ ἕρκεος ci. *k*[1] in praef. 48 ὑπ' ἠέρι *v*, ὑπ' αἰθέρι *tl* (vel ἐν αἰθ. *t*), ἀπείριτα *k* 53 -θεν *v*, -θε *k* 57 ὑπεχρ. *v*, ἐπεχρ. *k* 61 ἔκτοθεν *V* 68 αὐτή *v*, ἀλκή *k*

λάβροι ἐριδμαίνωσι, καὶ ὁππότε λάβρον ἀέντες
σὺν νέφεα ῥήξωσι Διὸς μέγα χωομένοιο
ἀνδράσιν, οἵ τ' ἐρίτιμον ὑπὲρ Θέμιν ἔργα κάμωνται·
ὣς οἵ γ' ἀλλήλοισιν ἐπέχραον· ἔγχεϊ δ' ἔγχος
συμφέρετ', ἀσπίδι δ' ἀσπίς, ἐπ' ἀνέρα δ' ἤιεν ἀνήρ.
πρῶτος δ' ὄβριμος υἱὸς ἐυπτολέμου Ἀχιλῆος
δάμνατ' ἐὺν Μελανῆα καὶ ἀγλαὸν Ἀλκιδάμαντα,
υἷας Ἀλεξινόμοιο δαΐφρονος, ὅς τ' ἐνὶ κοίλῃ
Καύνῳ ναιετάασκε διειδέος ἀγχόθι λίμνης
Ἴμβρῳ ὕπο νιφόεντι παραὶ ποσὶ Ταρβήλοιο.
κτεῖνε δὲ Κασσάνδροιο θοὸν ποσὶ παῖδα Μένητα,
ὃν τέκε δῖα Κρέουσα παρὰ προχοῇς ποταμοῖο
Λίνδου ἐυρρείταο, μενεπτολέμων ὅθι Καρῶν
πείρατα καὶ Λυκίης ἐρικυδέος ἄκρα πέλονται.
εἷλε δ' ἄρ' αἰχμητῆρα Μόρυν Φρυγίηθε μολόντα·
τῷ δ' ἄρ' ὁμῶς Πόλυβόν τε καὶ Ἱππομέδοντα κατέκτα,
τὸν μὲν ὑπὸ κραδίην, τὸν δ' ἐς κληῖδα τυχήσας·
δάμνατο δ' ἄλλοθεν ἄλλον· ἐπέστενε δ' αἶα νέκυσσι
Τρώων. οἱ δ' ὑπόεικον ἐοικότες αὐαλέοισι
θάμνοις, οὓς ὀλοοῖο πυρὸς καταδάμνατ' ἀυτμὴ
ῥηιδίως ἐπιόντος ὀπωρινοῦ Βορέαο·
ὣς τοῦ ἐπεσσυμένοιο κατηρείποντο φάλαγγες.
Αἰνείας δ' ἐδάμασσεν Ἀριστόλοχον μενεχάρμην
πλήξας χερμαδίῳ κατὰ κράατος· ἐν δ' ἄρ' ἔθλασσεν

71 πάντες ἐριδμ. ci. *k* 72 συνέφεας *A*, συν νεφέας *E*[1], σὺν νέφεα *rtlkP* (aut σὺν νεφέλας *br*) 73 -τυμον *A*, -τιμον *VPk*, -θυμον *rtl*, -θυμοι *st*[1] 79 -άεσκε *v*, -άασκε *splk* 80 ὑπαὶ *v*, ὑπὸ *E*[1]*Pk* 81 Μύνητα ci. *r* 86 Πόλυνόν *A*, Πολυνόν *rtl*, Πολυβόν *P*, Πόλυβόν *ksp* 87 δὲ *v*, δ' ἐς *k* 89 ὑπέκειντο *k* olim et *l*[2], ὑπέρειπον *st*[1] 90 κατεδάμνατ' *v*, καταδάμνατ' *ego* 94 ἀνέθλασεν *A*, -σσεν *E*[1]*rtl*, ἀνέθρασεν *V*, ἄρ' ἔθλ. *kP*

ὀστέα σὺν πήληκι· λίπεν δ' ἄφαρ ὀστέα θυμός.
Τυδείδης δ' Εὔμαιον ἕλεν θοόν, ὅς ῥά τ' ἔναιε
Δάρδανον αἰπήεσσαν, ἵν' Ἀγχίσαο πέλονται
εὐναί, ὅπου Κυθέρειαν ἐν ἀγκοίνῃσι δάμασσεν.
ἔνθ' Ἀγαμέμνων κτεῖνεν ἐὺν Στράτον· οὐδ' ὅ γε Θρήκην
ἵκετ' ἀπὸ πτολέμοιο, φίλης δ' ἑκὰς ἔφθιτο πάτρης.
Μηριόνης δ' ἐδάμασσε Χλέμον Πεισήνορος υἷα,
ἀντιθέου Γλαύκοιο φίλον καὶ πιστὸν ἑταῖρον,
ὅς ῥά τε ναιετάασκε παρὰ προχοῇς Λιμυροῖο,
καί ῥά μιν ὡς βασιλῆα περικτίονες τίον ἄνδρες
Γλαύκου ἀποκταμένοιο καὶ οὐκέτι κοιρανέοντος,
πάντες, ὅσοι Φοίνικος ἕδος περὶ πάγχυ νέμοντο
αἰπύ τε Μασσικύτοιο ῥίον κρημνόν τε Χιμαίρης.
  ἄλλος δ' ἄλλον ἔπεφνε κατὰ μόθον· ἐν δ' ἄρα τοῖσιν
Εὐρύπυλος πολέεσσι κακὰς ἐπὶ κῆρας ἴαλλε
δυσμενέσιν· πρῶτον δὲ μενεπτόλεμον κατέπεφνεν
Εὔρυτον, αὐτὰρ ἔπειτα Μενοίτιον αἰολομίτρην,
ἀντιθέους ἑτάρους Ἐλεφήνορος, ἀμφὶ δ' ἄρά σφιν
Ἅρπαλον, ὅς ῥ' Ὀδυσῆος ἐΰφρονος ἔσκεν ἑταῖρος·
ἀλλ' ὁ μὲν οὖν ἀπάτερθεν ἔχεν πόνον, οὐδ' ἐπαμύνειν
ἔσθενεν ᾧ θεράποντι δεδουπότι· τοῦ δ' ἄρ' ἑταῖρος
Ἄντιφος ὀβριμόθυμος ἀποκταμένοιο χολώθη,
καὶ βάλεν Εὐρυπύλοιο καταντίον· ἀλλά μιν οὔ τι
οὔτασεν, οὕνεκά οἱ κρατερὸν δόρυ τυτθὸν ἄπωθεν
ἔμπεσε Μειλανίωνι δαΐφρονι, τόν ποτε μήτηρ

96 ποτ' *v*, ῥά τ' *k* ἔναιεν *v*, -ε *k* 99 ἀνδ' *AP*, em. *r* 102 καὶ om. *AP*, add. *r* 103 -άεσκε *AP*, -άασκε *Vsplk* -χοαῖς *AP*, -χοῇς *tlk* ἀμυροῖο *A*, ἀμύροιο *P*, Λιμυροῖο *rtlk* 106 -ονται *v*, -οντο *VE*[1]*Pk* 107 βωμόν *v*, βουνόν *br*, κνημόν *k* ol., ῥωχμόν *k* in edd., κρημνόν *ego* 113 δαΐφρ. *AP*, ἐχέφρ. *brtl*, ἐΰφρ. *rk* 119 Μαιναλίωνι ci. *k*

γείνατο πὰρ προχοῇσιν ἐυρρείταο Καΐκου,
Κλείτη καλλιπάρῃος ὑποδμηθεῖσ' Ἐρυλάῳ.
Εὐρύπυλος δ' ἑτάροιο χολωσάμενος κταμένοιο
Ἀντίφῳ αἶψ' ἐπόρουσεν· ὁ δ' ἔκφυγε ποσσὶ θοοῖσιν
ἐς πληθὺν ἑτάρων· κρατερὸν δέ μιν οὔ τι δάμασσεν
ἔγχος Τηλεφίδαο δαΐφρονος, οὕνεκ' ἔμελλεν
ἀργαλέως ὀλέεσθαι ὑπ' ἀνδροφόνοιο Κύκλωπος
ὕστερον· ὣς γάρ που στυγερῇ ἐπιήνδανε Μοίρῃ.
Εὐρύπυλος δ' ἑτέρωθεν ἐπῴχετο· τοῦ δ' ὑπὸ δουρὶ
αἰὲν ἐπεσσυμένοιο κατήριπε πουλὺς ὅμιλος·
ἠύτε δένδρεα μακρὰ βίῃ δμηθέντα σιδήρου
οὔρεσιν ἐν λασίοισιν ἀναπλήσωσι φάραγγας
κεκλιμέν' ἄλλοθεν ἄλλα κατὰ χθονός· ὣς ἄρ' Ἀχαιοὶ
δάμναντ' Εὐρυπύλοιο δαΐφρονος ἐγχείῃσι,
μέσφ' ὅτε οἱ κίεν ἄντα μέγα φρονέων ἐνὶ θυμῷ
υἱὸς Ἀχιλλῆος. τὼ δ' ἄμφω δούρατα μακρὰ
ἐν παλάμῃσι τίνασσον ἐπὶ σφίσι μαιμώωντες·
Εὐρύπυλος δέ ἑ πρῶτος ἀνειρόμενος προσέειπε·
„τίς πόθεν εἰλήλουθας ἐναντίον ἄμμι μάχεσθαι;
ἦ σε πρὸς Ἄιδα Κῆρες ἀμείλικτοι φορέουσιν·
οὐ γάρ τίς μ' ὑπάλυξεν ἐν ἀργαλέῃ ὑσμίνῃ,
ἀλλά μοι ὅσσοι ἔναντα λιλαιόμενοι μαχέσασθαι
δεῦρο κίον, πάντεσσι φόνον στονόεντ' ἐφέηκα
ἀργαλέως, πάντων δὲ παρὰ Ξάνθοιο ῥέεθρα
ὀστέα τε σάρκας τε κύνες διὰ πάντα δάσαντο.
ἀλλά μοι εἰπέ, τίς ἐσσι, τίνος δ' ἐπαγάλλεαι ἵπποις;"
ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·

121 *Κλειτὴ v, Κλείτη spk* *Εὐρυάλῳ A, ἐυρύλαο P, Ἐρυλάῳ* C^1*tsplk* 133 *-σιν v, -σι kP* 137 *δὲ v, δέ ἑ blk* 144 *πάντ' ἐδάσ. v, πάντα δάσ.* k^1 in praef. k^2*P*

„τίπτέ μ' ἐπισπεύδοντα ποτὶ κλόνον αἱματόεντα
ἐχθρὸς ἐὼν ὡς εἴ τε φίλα φρονέων ἐρεείνεις
εἰπέμεναι γενεήν, ἥν περ μάλα πολλοὶ ἴσασιν;
υἱὸς Ἀχιλλῆος κρατερόφρονος, ὅς τε τοκῆα
σεῖο πάροιθ' ἐφόβησε βαλὼν περιμήκεϊ δουρί·
καί νύ κέ μιν θανάτοιο κακαὶ περὶ Κῆρες ἔμαρψαν,
εἰ μή οἱ στονόεντα θοῶς ἰήσατ' ὄλεθρον.
ἵπποι δ', οἵ φορέουσιν, ἐμοῦ πατρὸς ἀντιθέοιο,
οὓς τέκεθ' Ἅρπυια Ζεφύρῳ πάρος εὐνηθεῖσα,
οἵ τε καὶ ἀτρύγετον πέλαγος διὰ ποσσὶ θέουσιν
ἀκρονύχως ψαύοντες, ἴσον δ' ἀνέμοισι φέρονται.
νῦν δ' ἐπεὶ οὖν γενεὴν ἐδάης ἵππων τε καὶ αὐτοῦ,
καὶ δόρατος πείρησαι ἀτειρέος ἡμετέροιο
γνώμεναι ἄντα βίην· γενεὴ δέ οἱ ἐν κορυφῇσι
Πηλίου αἰπεινοῖο, τομὴν ὅθι λεῖπε καὶ ὕλην."
ἦ ῥα καὶ ἐξ ἵππων χαμάδις θόρε κύδιμος ἀνὴρ
πάλλων ἐγχείην περιμήκετον· ὃς δ' ἑτέρωθι
χερσὶν ὕπο κρατερῇσιν ἀπειρεσίην λάβε πέτρην,
καί ῥα Νεοπτολέμοιο κατ' ἀσπίδος ἧκε φέρεσθαι
χρυσείης. τὸν δ' οὔ τι προσεσσυμένη στυφέλιξεν,
ἀλλ' ἅτε πρὼν εἱστήκει ἀπείριτος οὔρεϊ μακρῷ,
τόν ῥα διιπετέων ποταμῶν μένος οὐδ' ἅμα πάντων
ἂψ ὦσαι δύναται, ὁ γὰρ ἔμπεδον ἐρρίζωται·
ὣς μένεν ἄτρομος αἰὲν Ἀχιλλέος ὄβριμος υἱός.

157 ἄκρ' ὀνύχων *A*, ἀκρ' ὀν. *P*, ἀκρον. *E*[1]*t*, ἄκρ' ὀν. δεύοντες vel βάπτοντες *p*, ἄκρον ὕδωρ ψ. *st*[1]*l*[1], ἀκρόνυχοι *spl*[2], ἀκρονυχὶ *spk*, ἀκρονύχως *ego* 160 ἀντιβίην *AP*, em. *r* 161 εὐνήν *v*, ὕλην *k*, καθ' ὕλην *h* 163 -θεν *v*, -θι *ego* 164 ἀπειρέσιον λ. πέτρον *h* 166 ποσεσσυμένον *A*, προσεσσ. *VE*[1], προσεσσύμενον *P*, -μενος *h*, -εσσυμένη *rtlk* (προϊσχόμενον *k* olim) 170 αἰὲν omiss. add. *rP*, ὣς μ. ἄ. υἱὸς Ἀ. ὀβριμοθύμου *dtl* (ὀβριμόθυμος *Jacobs*), ὣς ἄρα μίμνεν ἄτρεστος Ἀ. ὄ. υἱός *k*

ἀλλ' οὐδ' ὣς τάρβησε θρασὺ σθένος Εὐρυπύλοιο
ἄσχετον υἷ' Ἀχιλῆος, ἐπεί ῥά μιν ὀτρύνεσκε
θάρσος ἑὸν καὶ Κῆρες· ὑπὸ κραδίῃσι δὲ θυμὸς
ἔζεεν ἀμφοτέροισι· περὶ σφίσι δ' αἰόλα τεύχη
ἔβραχεν. οἱ δ' ἅτε θῆρες ἐπήεσαν ἀλλήλοισι
σμερδαλέοι, τοῖσίν τε κατ' οὔρεα δῆρις ἀέξει,
ὁππότε λευγαλέῃ λιμῷ βεβολημένοι ἦτορ
ἢ βοὸς ἢ ἐλάφοιο περὶ κταμένου πονέωνται
ἄμφω παιφάσσοντες, ἐπικτυπέουσι δὲ βῆσσαι
μαρναμένων· ὣς οἵ γε συνήεσαν ἀλλήλοισι
δῆριν συμφορέοντες ἀμείλιχον. ἀμφὶ δὲ μακραὶ
λαῶν ἀμφοτέρωθεν ἅδην πονέοντο φάλαγγες
ἐς μόθον· ἀργαλέη δὲ περὶ σφίσι δῆρις ὀρώρει.
οἱ δ' ἀνέμων ῥιπῇσιν ἐοικότες αἰψηρῇσι
σύν ῥ' ἔβαλον μελίῃσι μεμαότες αἷμα κεδάσσαι
ἀλλήλων· τοὺς δ' αἰὲν ἐποτρύνεσκεν Ἐνυὼ
ἐγγύθεν ἱσταμένη· τοὶ δ' οὐκ ἀπέληγον ὁμοκλῆς,
ἀλλά σφεας ἐδάιζον ἐς ἀσπίδας, ἄλλοτε δ' αὖτε
οὔταζον κνημῖδας ἰδ' ὑψιλόφους τρυφαλείας·
καί τις καὶ χροὸς ἥψατ', ἐπεὶ πόνος αἰνὸς ἔπειγε
θαρσαλέους ἥρωας· Ἔρις δ' ἐπετέρπετο θυμῷ
κείνους εἰσορόωσα· πολὺς δ' ἐξέρρεεν ἱδρὼς
ἀμφοτέρων· οἱ δ' αἰὲν ἐκαρτύνοντο μένοντες·
ἄμφω γὰρ μακάρων ἔσαν αἵματος· οἱ δ' ἀπ' Ὀλύμπου
* * * * * *
οἱ μὲν γὰρ κύδαινον Ἀχιλλέος ὄβριμον υἷα,
οἱ δ' αὖτ' Εὐρύπυλον θεοειδέα. τοὶ δ' ἑκάτερθε

172 ἄσπετον *v*, ἄσχ. *hw* 173 -ησί τε *v*, -ησι δὲ *rk* 177 λευγαλέῳ *v*, -έῃ *VP*, -έῃ *ego* 194 οἳ δ' *v*, ἠδ' *P*. lacunam post h. v. [velut ἀθάνατοι δέρκοντο διάνδιχα μητιόωντες] exceptis *br* et *st*[1] omnes agnoverunt 195 υἷα *v*, υἱὸν *VP* 196 -θεν *v*, -θε ex *Pego*

μάρναντ' ἀκμήτοισιν ἐειδόμενοι σκοπέλοισιν
ἠλιβάτων ὀρέων· μέγα δ' ἔβραχον ἀμφοτέρωθε
θεινόμεναι μελίῃσιν ὕπ' ἀσπίδες. ὀψὲ δὲ μακρὴ
Πηλιὰς Εὐρυπύλοιο διήλυθεν ἀνθερεῶνος
πολλὰ πονησαμένη· τοῦ δ' ἔκχυτο φοίνιον αἷμα
ἐσσυμένως· ψυχὴ δὲ δι' ἕλκεος ἐξεποτήθη
ἐκ μελέων, ὀλοὴ δὲ κατ' ὀφθαλμῶν πέσεν ὄρφνη.
ἤριπε δ' ἐν τεύχεσσι κατὰ χθονός, ἠύτε βλωθρὴ
ἢ πίτυς ἢ ἐλάτη κρυεροῦ Βορέαο βίηφιν
ἐκ ῥιζέων ἐριποῦσα· τόσην ἐπικάππεσε γαῖαν
Εὐρυπύλοιο δέμας· μέγα δ' ἔβραχε Τρώιον οὖδας
καὶ πεδίον· χλοερὴ δὲ θοῶς κατεχεύατο νεκρῷ
ἀχροίη καὶ καλὸν ἀπημάλδυνεν ἔρευθος.
τῷ δ' ἐπικαγχαλόων μεγάλ' εὔχετο καρτερὸς ἥρως·
„Εὐρύπυλ', ἦ που ἔφης Δαναῶν νέας ἠδὲ καὶ αὐτοὺς
δῃώσειν καὶ πάντας ὀιζυρῶς ἀπολέσσειν
ἡμέας· ἀλλὰ σοὶ οὔ τι θεοὶ τελέεσκον ἐέλδωρ,
ἀλλ' ὑπ' ἐμοί σ' ἐδάμασσε καὶ ἀκάματόν περ ἐόντα
πατρὸς ἐμοῖο μέγ' ἔγχος, ὅ περ βροτὸς οὔ τις ἀλύξει
ἡμῖν ἄντα μολών, οὐδ' εἰ παγχάλκεος ἦεν."
ἦ ῥα καὶ ἐκ νέκυος περιμήκετον εἴρυσεν αἰχμὴν
ἐσσυμένως· Τρῶες δὲ μέγ' ἔτρεσαν εἰσορόωντες
ἀνέρα καρτερόθυμον. ὁ δ' αὐτίκα τεύχε' ἀπούρας
δῶκε θοοῖς ἑτάροισι φέρειν ποτὶ νῆας Ἀχαιῶν·
αὐτὸς δ' ἐς θοὸν ἅρμα θορὼν καὶ ἀτειρέας ἵππους
ἤιεν, οἷός τ' εἶσι δι' αἰθέρος ἀπλήτοιο
ἐκ Διὸς ἀκαμάτοιο σὺν ἀστεροπῇσι κεραυνός,

197 *ἀκαμάτοισιν* st[2] 198 *-θεν* v, *-θε* ego 199 *μελίῃσι τότ'* v, *μ. θάμ'* k, *μελίῃσιν ὕπ'* sp 206 *ῥιζῶν* v, *-έων* spk. *ἐπὶ κ.* v, *ἐπικ.* spkP 215 *ἄλυξεν* v, *ἀλύξει* dk 221 *εἰς* v, *ἐς* k

ὅν τε περιτρομέουσι καὶ ἀθάνατοι κατιόντα
νόσφι Διὸς μεγάλοιο, ὁ δ' ἐσσύμενος ποτὶ γαῖαν
δένδρεά τε ῥήγνυσι καὶ οὔρεα παιπαλόεντα·
ὣς ὁ θοῶς Τρώεσσιν ἐπέσσυτο πῆμα κορύσσων·
δάμνατο δ' ἄλλοθεν ἄλλος, ὅσους κίχον ἄμβροτοι ἵπποι·
πλήθετο δὲ χθονὸς οὖδας, ἅδην δ' ἐρυθαίνετο λύθρῳ.
ὡς δ' ὅτε μυρία φύλλα κατ' οὔρεος ἐν βήσσῃσι
ταρφέα πεπτηῶτα χύδην κατὰ γαῖαν ἐρέψῃ·
ὣς Τρώων τότε λαὸς ἀάσπετος ἐν χθονὶ κεῖτο
χερσὶ Νεοπτολέμοιο καὶ Ἀργείων ἐριθύμων,
ὧν ἄπλετον μετὰ χερσὶν ὑπέρρεεν αἷμα κελαινὸν
αὐτῶν ἠδ' ἵππων· μάλα δ' ἄντυγες ἀμφ' ὀχέεσσι
κινύμεναι δεύοντο περὶ στροφάλιγξιν ἑῇσι.
καί νύ κε Τρώιοι υἷες ἔσω πυλέων ἀφίκοντο,
πόρτιες εὖτε λέοντα φοβεύμεναι ἢ σύες ὄμβρον,
εἰ μὴ Ἄρης ἀλεγεινὸς ἀρηγέμεναι μενεαίνων
Τρωσὶ φιλοπτολέμοισι κατήλυθεν Οὐλύμποιο
κρύβδ' ἄλλων μακάρων· φόρεον δέ μιν ἐς μόθον ἵπποι,
Αἴθων καὶ Φλογίος, Κόναβος δ' ἐπὶ τοῖσι Φόβος τε,
τοὺς Βορέῃ κελάδοντι τέκε βλοσυρῶπις Ἐριννὺς
πῦρ ὀλοὸν πνείοντας· ὑπέστενε δ' αἰόλος αἰθὴρ
ἐσσυμένων ποτὶ δῆριν. ὁ δ' ὀτραλέως ἀφίκανεν
ἐς Τροίην· ὑπὸ δ' αἶα μέγ' ἔκτυπε θεσπεσίοισιν
ἵππων ἀμφὶ πόδεσσι· μολὼν δ' ἄγχιστα κυδοιμοῦ
πῆλε δόρυ βριαρόν· μέγα δ' ἴαχε Τρωσὶ κελεύων
ἀντιάαν δηίοισι κατὰ κλόνον· οἱ δ' ἀίοντες
θεσπεσίην ὄπα πάντες ἐθάμβεον· οὐ γὰρ ἴδοντο

225 *ἐσσυμένως v, ἐσσύμενος* E^1*rk* 231 *χυτὴν k* 234 *καὶ ἱδρὼς A, κελαινὸν VPtlk* 235 *αὐτῶν v, ἀνδρῶν k. ὀχέεσφι v, -σσι lk* 236 *ἑῇσιν* (sic!) *P* 241 *φέρον A, φόρεον rtlkP* 242 *Φλόγιος v, -ίος ls*

ἄμβροτον ἀθανάτοιο θεοῦ δέμας οὐδὲ μὲν ἵππους·
ἠέρι γὰρ κεκάλυπτο. νόησε δὲ θέσκελον αὐδὴν
ἔκποθεν ἀίσσουσαν ἄδην εἰς οὔατα Τρώων
ἀντιθέου Ἑλένοιο κλυτὸς νόος· ἐν δ' ἄρα θυμῷ
γήθησεν καὶ λαὸν ἀπεσσύμενον μέγ' ἀύτει·
„ἆ δειλοί, τί φέβεσθε φιλοπτολέμου Ἀχιλῆος
υἱέα θαρσαλέον; θνητός νύ τίς ἐστι καὶ αὐτός,
οὐδέ οἱ ἶσον Ἄρηι πέλει σθένος, ὃς μέγ' ἀρήγει
ἧμιν ἐελδομένοισι· βοᾷ δ' ὅ γε μακρὰ κελεύων
μάρνασθ' Ἀργείοισι κατὰ κλόνον· ἀλλ' ἄγε θυμῷ
τλῆτε φίλοι καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε·
οὐ γὰρ ἀμείνονα Τρωσὶν ὀίομαι ἄλλον ἱκέσθαι
ἀλκτῆρα πτολέμοιο· τί γὰρ ποτὶ δῆριν Ἄρηος
λώιον, εὖτε βροτοῖσι κορυσσομένοις ἐπαμύνει;
ὣς νῦν ἧμιν ἵκανεν ἐπίρροθος· ἀλλὰ καὶ αὐτοὶ
μνήσασθε πτολέμοιο, δέος δ' ἀπονόσφι βάλεσθε."
ὣς φάτο· τοὶ δ' ἵσταντο καταντίον Ἀργείοισιν·
ἠύτ' ἐνὶ ξυλόχοισι κύνες κατέναντα λύκοιο
(φεύγοντες τὸ πάροιθε) βίην τρέψωσι μάχεσθαι,
ταρφέα μηλονόμοιο παροτρύνοντος ἔπεσσιν·
ὣς ἄρα Τρώιοι υἷες ἀνὰ μόθον αἰνὸν Ἄρηος
δείματος ἐκτὸς ἔσαν· κατὰ δ' ἀντίον ἀνέρος ἀνὴρ
μάρνατο θαρσαλέως· περὶ δ' ἔκτυπεν ἔντεα φωτῶν
θεινόμενα ξιφέεσσι καὶ ἔγχεσι καὶ βελέεσσιν·
αἰχμαὶ δ' ἐς χρόα δῦνον· ἐδεύετο δ' αἵματι πολλῷ
δεινὸς Ἄρης· ὀλέκοντο δ' ἀνὰ μόθον ἄλλος ἐπ' ἄλλῳ

252 δὲ κεκάλ. *A*, γὰρ κ. *rtlkP* 255 ἐπεσσ. *AP*, em. *r* 258 ὅς μιν *A*, ὃς μὲν *tlP*, ὃς μέγ' *rk* (vel ὅς νυν vel ὃς μάλ' *r*), ὅς οἱ *h* 261 βαλέσθαι *V* 264 -μύνη *P* 265 ὃς *Ak*, ὡς *E*[1]*Ptl* ἡμῖν *AP*, ἧμιν *E*[1]*rtlk*[1], ἄμμιν *rk*[1] in praef. *k*[2] 266 πολ. *AE*[1]*P*, em. *r* 269 στρέψωσι *P* 272 ἴσαν vel ἔβαν *k* ol.

μαρναμένων ἑκάτερθε· μάχη δ' ἔχεν ἶσα τάλαντα.
ὡς δ' ὁπότ' αἰζηοὶ μεγάλης ἀνὰ γουνὸν ἀλωῆς
ὄρχατον ἀμπελόεντα διατμήξωσι σιδήρῳ
σπερχόμενοι, τῶν δ' ἶσον ἀέξεται εἰς ἔριν ἔργον,
οὕνεκ' ἴσοι τελέθουσιν ὁμηλικίῃ τε βίῃ τε·
ὡς τῶν ἀμφοτέρωθε μάχης ἀλεγεινὰ τάλαντα
ἶσα πέλεν· Τρῶες γὰρ ὑπέρβιον ἐνθέμενοι κῆρ
μίμνον ἀταρβήτοιο πεποιθότες Ἄρεος ἀλκῇ,
Ἀργεῖοι δ' ἄρα παιδὶ μενεπτολέμου Ἀχιλῆος.
κτεῖνον δ' ἀλλήλους· ὀλοὴ δ' ἀνὰ μέσσον Ἐνυὼ
στρωφᾶτ' ἀλγινόεντι λύθρῳ πεπαλαγμένη ὤμους
καὶ χέρας· ἐκ δέ οἱ αἰνὸς ἀπὸ μελέων ῥέεν ἱδρώς·
οὐδ' ἑτέροισιν ἄμυνεν, ἴσῃ δ' ἐπετέρπετο χάρμῃ
ἀζομένη φρεσὶν ᾗσι Θέτιν καὶ δῖον Ἄρηα.
ἔνθα Νεοπτόλεμος τηλεκλειτὸν Περιμήδεα
δάμναθ', ὃς οἰκί' ἔναιε παρὰ Σμινθήιον ἄλσος·
τῷ δ' ἐπὶ Κέστρον ἔπεφνε μενεπτόλεμόν τε Φάληρον
καὶ κρατερὸν Περίλαον ἐυμμελίην τε Μενάλκην,
ὃν τέκετ' Ἰφιάνασσα παρὰ ζάθεον πόδα Κίλλης
τεχνήεντι Μέδοντι δαήμονι τεκτοσυνάων·
ἀλλ' ὁ μὲν οἴκοι ἔμιμνε φίλῃ ἐνὶ πατρίδι γαίῃ·
παιδὸς δ' οὐκ ἀπόνητο· δόμον δέ οἱ ἔργά τε πάντα
χηρωσταὶ μετόπισθεν ἀποφθιμένοιο δάσαντο.
Δηίφοβος δὲ Λύκωνα μενεπτόλεμον κατέπεφνε
τυτθὸν ὑπὲρ βουβῶνα τυχών· περὶ δ' ἔγχεϊ μακρῷ
ἔγκατα πάντ' ἐχύθησαν, ὅλη δ' ἐξέσσυτο νηδύς.

281 ὁππότ' *AP*, οὕνεκ' *rtlk* 297 ἐνὶ *v*, ἐν *P*
298 πόνον *v*, δόμον *ksp* 300 Λυκῶνα *v*, Λύκ. *k*[2] (p. 318) *P*. -μόν τε κατέκτα *A*, -μόν γε κ. *tl*[1], -μόν γε κατέπεφνε *P*, -μον κ. *Vkl*[2]

Αἰνείας δὲ Δύμαντα κατέκτανεν, ὃς τὸ πάροιθεν
Αὐλίδα ναιετάασκε, συνέσπετο δ' Ἀρκεσιλάῳ
ἐς Τροίην· ἀλλ' οὔ τι φίλην πάλιν ἔδρακε γαῖαν.
Εὐρύαλος δ' ἐδάμασσε βαλὼν ἀλεγεινῷ ἄκοντι
Ἀστραῖον· τοῦ δ' αἶψα διὰ στέρνοιο ποτήθη
αἰχμὴ ἀνιηρή, στομάχου δ' ἀπέκερσε κελεύθους
ἀνέρι κῆρα φέρουσα· μίγη δέ οἱ εἴδατα λύθρῳ.
τοῦ δ' ἄρα βαιὸν ἄπωθεν ἕλεν μεγάθυμος Ἀγήνωρ
Ἱππομένην, Τεύκροιο δαΐφρονος ἐσθλὸν ἑταῖρον,
τύψας ἐς κληῗδα θοῶς· σὺν δ' αἵματι θυμὸς
ἔκθορεν ἐκ μελέων· ὀλοὴ δέ οἱ ἀμφεχύθη νύξ.
Τεύκρῳ δ' ἔμπεσε πένθος ἀποκταμένου ἑτάροιο,
καὶ βάλεν ὠκὺν ὀιστὸν Ἀγήνορος ἄντα τανύσσας·
ἀλλά οἱ οὔ τι τύχησεν ἀλευαμένου μάλα τυτθόν·
ἔμπεσε δ' ἐγγὺς ἐόντι δαΐφρονι Δηιοφόντῃ
λαιὸν ἐς ὀφθαλμόν, διὰ δ' οὔατος ἐξεπέρησε
δεξιτεροῦ, γλήνην δὲ διέτμαγεν, οὕνεκα Μοῖραι
ἀργαλέον βέλος ὦσαν, ὅπῃ φίλον· ὃς δ' ἔτι ποσσὶν
ὀρθὸς ἀνασκαίρεσκε· βαλὼν δ' ὅ γε δεύτερον ἰὸν

* * * * * *

λαιμῷ ἐπερροίζησε· διέθρισε δ' αὐχένος ἶνας
ἄντικρυς ἀίξας· τὸν δ' ἀργαλέη κίχε Μοῖρα.

303 *Δάμ. v*, *Δείμ. V*, *Δύμ.* ex *Pego* *κατέπεφνεν AP*, em. *r* *ὅς τε πάρ. A*, *ὅς τις π. P*, *ὃς τοπάρ. st*[1]*l*, *ὃς τὸ π. k* 304 *-άεσκε v*, *-άασκε VPsplk* 305 *ἔδρακεν αἶαν v*, *ἔδρακε γαῖαν lsspk* 306 *-νὸν ἄκοντι v*, *-νὸν ἄκοντα k*, *-νῷ ἄκοντι ego* 313 *μιν v*, *οἱ sp* 317 *Δηΐφ. AE*[1], *Δηιοφ. tlkP* 318 *ἐς* om. *AP*, add. *r* 320 *θέλον v*, *φίλον ksp* 321 *ἀνεσκ. v*, corr. *st*[1]*k*. lacunae signa [velut *ἄνδρα θοῶς πέλασε χθονὶ δύσμορον, οὕνεκ' ὀιστὸς*] post h. v. pos. *kst*[2] 322 *ἐπερροίβδ. v*, *ἐπερροίζ. k* 323 *ἀντικρὺς v*, *ἄντικρυς* ex *Pego*

ἄλλος δ' ἄλλῳ τεῦχε φόνον· κεχάροντο δὲ Κῆρες
καὶ Μόρος, ἀλγινόεσσα δ' Ἔρις μέγα μαιμώωσα
ἤυσεν μάλα μακρόν, Ἄρης δέ οἱ ἀντεβόησε
σμερδαλέον, Τρώεσσι δ' ἐνέπνευσεν μέγα θάρσος,
Ἀργείοισι δὲ φύζαν, ἄφαρ δ' ἐλέλιξε φάλαγγας.
ἀλλ' οὐχ υἷα φόβησεν Ἀχιλλέος· ἀλλ' ὅ γε μίμνων
μάρνατο θαρσαλέως, ἐπὶ δ' ἔκτανεν ἄλλον ἐπ' ἄλλῳ·
ὣς δ' ὅτε τις μυίῃσι περὶ γλάγος ἐρχομένῃσι
χεῖρα περιρρίψῃ κοῦρος νέος, αἱ δ' ὑπὸ πληγῇ
τυτθῇ δαμνάμεναι σχεδὸν ἄγγεος ἄλλοθεν ἄλλαι
θυμὸν ἀποπνείουσι, πάις δ' ἐπιτέρπεται ἔργῳ·
ὣς ἄρα φαίδιμος υἱὸς ἀμειλίκτου Ἀχιλῆος
γήθεεν ἀμφὶ νέκυσσι καὶ οὐκ ἀλέγιζεν Ἄρηος
Τρωσὶν ἐποτρύνοντος· ἐτίνυτο δ' ἄλλοθεν ἄλλον
λαοῦ ἐπαΐσσοντος· ὅπως δ' ἀνέμοιο θυέλλας
μίμνει ἐπεσσυμένας ὄρεος μεγάλοιο κολώνη,
ὣς ἄρα μίμνεν ἄτρεστος. Ἄρης δέ οἱ ἐμμεμαῶτι
χώετο, καί οἱ ἔμελλεν ἐναντία δηριάασθαι
αὐτὸς ἀπορρίψας ἱερὸν νέφος, εἰ μὴ Ἀθήνη
ἔκποθεν Οὐλύμποιο θόρεν ποτὶ δάσκιον Ἴδην·
ἔτρεμε δὲ χθὼν δῖα καὶ ἠχήεντα ῥέεθρα
Ξάνθου· τόσσον ἔσεισε· δέος δ' ἀμφέκλασε θυμὸν
Νυμφάων, φοβέοντο δ' ὑπὲρ Πριάμοιο πόληος·

324 *μόρον v*, *φόνον pspk*   331 *ἀγρομέν. st*[1]
332 *-ρήσῃ A*, *-ρήσσῃ E*[1] *P*, *-ρήξῃ r*, *-ράσσῃ p*, *-ρίψῃ dlk*
333 *τυτθὸν AP*, *θᾶττον pt*, *τυτθῇ kl*   *σχεδὸν ἄλλοθεν A*, *ἀθρόαι* add. *rtlk*, *ἄγγεος* ex *Pego*   337 *ἐπαμύνοντος AP*, *Τρῶας ἐποτρύν. t*, *Τρωσὶν ἐποτρ. kl*   *ἄλλους brt*   338 *λαοὺς ἐπαΐσσοντας AP*, *λαὸν ἐπ. rt*, *λαοῦ ἐπαΐσσοντος kl*   *δ'* add. *r*
339 *μίμνῃ v*, *μίμνει* ex *Pego*   343 *Ἴδην v* et sic *P*, *ὕλην V*(?)
345 *ἔδεισε APt*, *ἔθευσε r*, *ἄϋσε hsp*, *ἔσεισε hlk*   346 post h. v. in omnibus libris legitur v. 354, quem in suum locum transpos. *tlk*

τεύχεσι δ' ἀμβροσίοισι περὶ στεροπαὶ ποτέοντο·
σμερδαλέοι δὲ δράκοντες ἀπ' ἀσπίδος ἀκαμάτοιο
πῦρ ἄμοτον πνείεσκον· ἄνω δ' ἔψαυε νέφεσσι
θεσπεσίη τρυφάλεια. θοῷ δ' ἤμελλεν Ἄρηι
μάρνασθ' ἐσσυμένως, εἰ μὴ Διὸς ἠὺ νόημα
ἀμφοτέρους ἐφόβησεν ἀπ' αἰθέρος αἰπεινοῖο
βροντήσας ἀλεγεινόν. Ἄρης δ' ἀπεχάζετο χάρμης·
δὴ γάρ οἱ μεγάλοιο Διὸς διεφαίνετο θυμός·
ἵκετο δ' ἐς Θρήκην δυσχείμερον, οὐδ' ἔτι Τρώων
μέμβλετό οἱ κατὰ θυμὸν ὑπέρβιον· οὐδὲ μὲν ἐσθλὴ
Παλλὰς ἔτ' ἐν πεδίῳ Τρώων μένεν, ἀλλὰ καὶ αὐτὴ
ἷξεν Ἀθηναίων ἱερὸν πέδον. οἱ δ' ἔτι χάρμης
μνώοντ' οὐλομένης· δεύοντο δὲ Τρώιοι υἷες
ἀλκῆς· Ἀργεῖοι δὲ μέγ' ἱέμενοι πολέμοιο
χαζομένοισιν ἕποντο κατ' ἴχνιον, ἠύτ' ἀῆται
νήεσιν ἐσσυμένῃς ὑπὸ λαίφεσιν εἰς ἁλὸς οἶδμα
ὄβριμον, ἢ θάμνοισι πυρὸς μένος, ἢ κεμάδεσσιν
ὀτρηροὶ κατ' ὄρεσφι κύνες λελιημένοι ἄγρης·
ὣς Δαναοὶ δηίοισιν ἐπήιον, οὕνεκ' ἄρ' αὐτοὺς
υἱὸς Ἀχιλλῆος μεγάλῳ δορὶ θαρσύνεσκε
κτείνων, ὅν κε κίχῃσι κατὰ κλόνον· οἱ δ' ἐπὶ φύξαν
χασσάμενοι κατέδυσαν ἐς ὑψίπυλον πτολίεθρον.

347 τεύχεσι δ' ἀ. π. στεροπῆσι (-αῖσι E^1) manco versu plerique codd., τ. δ' ἀ. π. στεροπαὶ ποτέοντο *Ptl* (sed πέρι *tl*), τεύχεα δ' ἀ. περὶ στέρνοισι sequente lacuna [velut φάανθεν, | οἷον ὅτ' οὐρανόθεν λαμπραὶ] στεροπαὶ ποτέονται *k* 348 τε ci. *r* 354 v. ad v. 346 355 οὐδέ τι *P* 357 Π. ἐν π. Τ. *A*, Π. ἐν Τ. *P*, Π. ἔναντα ἔτι Τ. VE^1, Π. ἐνὶ π. Τ. *rtl*, Π. ἔτ' ἐν π. Τ. *spgk* 358 πέδον *v*, ἕδος st^1 οὐδ' ἔτι *v*, οὐδέ τι *P*, οἳ δ' ἔτι *k* 362 ἅμα *v*, ὑπὸ *k* 366 μεγάλου st^1 367 κε κίχησε *v*, κε τύχησι *r*, γ' ἐκίχησε st^1, κε κίχησι *spk* ὑπὸ φύξαν *v*, ἐπὶ φ. (*r*)*pk*, ὑπὸ φύξης *P*, an ὑπὸ φύξῃ?

Ἀργεῖοι δ' ἄρα τυτθὸν ἀνέπνευσαν πολέμοιο
ἕλσαντες Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων,
ἄρνας ὅπως σταθμοῖσιν ἐπ' οἰοπόλοισι νομῆες·
ὡς δ' ὁπότ' ἀμπνείωσι βόες μέγα κεκμηῶτες
ἄχθος ἀνειρύσσαντες ἄνω ποτὶ δύσβατον ἄκρην
πυκνὸν ἀνασθμαίνοντες ὑπὸ ζυγόν· ὣς ἄρ' Ἀχαιοὶ
ἄμπνεον ἐν τεύχεσσι κεκμηκότες. ἀμφὶ δὲ πύργους
μάρνασθαι μεμαῶτες ἐκυκλώσαντο πόληα·
οἱ δ' ἄρ' ἑῇσι πύλῃσιν ἐπειρύσσαντες ὀχῆας
ἐν τείχεσσιν ἔμιμνον ἐπεσσυμένων μένος ἀνδρῶν·
ὡς δ' ὅτε μηλοβοτῆρες ἐνὶ σταθμοῖσι μένωσι
λαίλαπα κυανέην, ὅτε χείματος ἦμαρ ἵκηται
λάβρον ὁμοῦ στεροπῇσι καὶ ὕδατι καὶ νιφάδεσσι
ταρφέσιν, οἱ δὲ μάλ' οὔ τι λιλαιόμενοί περ ἱκέσθαι
ἐς νομὸν ἀίσσουσιν, ἄχρις μέγα λωφήσειε
χεῖμα καὶ εὐρύποροι ποταμοὶ μεγάλα βρομέοντες·
ὣς οἵ γ' ἐν τείχεσσι μένον τρομέοντες ὁμοκλὴν
δυσμενέων. λαοὶ δὲ θοῶς ἐπέχυντο πόληι·
ὡς δ' ὁπότε ψῆρες τανυσίπτεροι ἠὲ κολοιοὶ
καρπῷ ἐλαϊνέῳ θαμέες περὶ πάγχυ πέσωσι
βρώμης ἱέμενοι θυμηδέος, οὐδ' ἄρα τούς γε
αἰζηοὶ βοόωντες ἀποτρωπῶσι φέβεσθαι,
πρὶν φαγέειν, λιμὸς γὰρ ἀναιδέα θυμὸν ἀέξει·
ὣς Δαναοὶ Πριάμοιο τότ' ἀμφεχέοντο πόληι
ὄβριμοι· ἐν δὲ πύλῃσι πέσον μεμαῶτες ἐρύσσαι
ἔργον ἀπειρέσιον κρατερόφρονος Ἐννοσιγαίου.

Τρῶες δ' οὐ λήθοντο μάχης μάλα περ δεδιῶτες,
ἀλλὰ καὶ ὣς πύργοισιν ἐφεσταότες πονέοντο

377 ἄρα ᾗσι *v*, ἄφαρ ᾗσι *rspl*, ἄρ' ἑῇσι *rk* 378 τεύχ. *v*, τείχ. st^1kl 381 νεφέεσσι *v*, νιφάδ. st^1lk 396 -εστῶτες *v*, -εσταότες *spk*

νωλεμές· ἰοὶ δ' αἰὲν ἐυδμήτων ἀπὸ τειχέων
θρῷσκον ὁμῶς λάεσσι καὶ αἰγανέῃσι θοῇσι
δυσμενέων ἐς ὅμιλον, ἐπεί σφισι τλήμονα Φοῖβος
ἧκε βίην· δὴ γάρ οἱ ἀμύνειν ἤθελε θυμὸς
Τρωσὶν ἐυπτολέμοισι καὶ Ἕκτορος οἰχομένοιο.
ἔνθ' ἄρα Μηριόνης στυγερὸν προέηκε βέλεμνον,
καὶ βάλε Φυλοδάμαντα φίλον κρατεροῖο Πολίτεω
τυτθὸν ὑπὸ γναθμοῖο· πάγη δ' ὑπὸ λαιμὸν ὀιστός·
κάππεσε δ' αἰγυπιῷ ἐναλίγκιος, ὅν τ' ἀπὸ πέτρης
ἰῷ ἐυγλώχινι βαλὼν αἰζηὸς ὀλέσσῃ·
ὣς ὁ θοῶς πύργοιο κατήριπεν αἰπεινοῖο·
γυῖα δέ οἱ λίπε θυμός· ἐπέβραχε δ' ἔντεα νεκρῷ.
τῷ δ' ἐπικαγχαλόων υἱὸς κρατεροῖο Μόλοιο
ἄλλον ἀφῆκεν ὀιστὸν ἐελδόμενος μέγα θυμῷ
υἷα βαλεῖν Πριάμοιο πολυτλήτοιο Πολίτην·
ἀλλ' ὁ μὲν αἶψ' ἀλέεινε παρακλίνας ἑτέρωσε
ὃν δέμας, οὐδέ οἱ ἰὸς ἐπὶ χρόα καλὸν ἴαψεν·
ὡς δ' ὅθ' ἁλὸς κατὰ βένθος ἐπειγομένης νεὸς οὔρῳ
ναύτης παιπαλόεσσαν ἰδὼν ἐν χεύματι πέτρην
νῆα παρατρέψῃ λελιημένος ἐξυπαλύξαι
χειρὶ παρακλίνας οἰήιον, ἧχί ἑ θυμὸς
ὀτρύνει, τυτθὴ δὲ βίη μέγα πῆμ' ἀπερύκει·
ὣς ἄρ' ὅ γε προϊδὼν ὀλοὸν βέλος ἔκφυγε πότμον.

397 *νωλεμέως· οἵδ' αἰεὶ πολυκμήτων ἀπὸ χειρῶν AP*, *αἰὲν* E^1, *τειχῶν* VE^1, *ν. ἰοὶ δὲ π. ἀ. χειρῶν rt*, *ν. ἰοὶ δὲ π. ἀ. τειχῶν l*, *ν. αἰεὶ δὲ θεοδμήτων ἀπὸ τειχέων* | [*βάλλον ἄδην·*] *ἰοὶ δὲ πολυκμήτων ἀπὸ χειρῶν k*, *νωλεμέως δ' αἰεὶ βέλε' ἀκαμάτων ἀ. χ.* *ego* antehac ci., *νωλεμές· ἰοὶ δ' αἰὲν ἐυκμήτων ἀπὸ τειχέων h*, id quod ego recepi, sed *ἐυδμήτων* scripsi 400 *αἰεὶ γάρ οἱ ἀ. ἤ. θυμὸς AP*, *αἰεὶ γὰρ ἀ. ἤ. θυμῷ* rl^1, *ἀ. ἤ. θυμὸς g*, *ἀμυνέμεν ἤ. θυμὸς sp*, *δὴ γάρ οἱ ἀμύνειν ἤ. θ.* hl^2, *ἔτι γάρ οἱ ἀ. ἤ. θ. k* 403 *Πολίτου v*, *-τεω k* 408 *νεκροῦ v*, *-ῷ* st^1k 410 *ἐφῆκεν v*, *ἀφ. pk* 412 *-θεν v*, *-σε splk* 414 *πόντον v*, *βένθος k* 415 *ἐνὶ v*, *ἐν k*

οἵ δ' αἰεὶ μάρναντο· λύθρῳ δ' ἐρυθαίνετο τείχη
πύργοι θ' ὑψηλοὶ καὶ ἐπάλξιες, ἧχί τε Τρῶες
ἰοῖσιν κτείνοντο πολυσθενέων ὑπ' Ἀχαιῶν·
οὐδὲ μὲν οἵ γ' ἀπάνευθε πόνων ἔσαν, ἀλλ' ἄρα καὶ τῶν
πολλοὶ γαῖαν ἔρευθον· ὀρώρει δ' αἰπὺς ὄλεθρος
βαλλομένων ἑκάτερθε· λυγρὴ δ' ἐπετέρπετ' Ἐνυὼ
δῆριν ἐπικλονέουσα, κασιγνήτη Πολέμοιο.
καί νύ κε δὴ ῥήξαντο πύλας καὶ τείχεα Τροίης
Ἀργεῖοι, μάλα γάρ σφιν ἀάσπετον ἔπλετο κάρτος,
εἰ μὴ ἄρ' αἶψ' ἐβόησεν ἀγακλειτὸς Γανυμήδης
οὐρανοῦ ἐκκατιδών· μάλα γὰρ περιδείδιε πάτρης·
„Ζεῦ πάτερ, εἰ ἐτεόν γε τεῆς ἔξ εἰμι γενέθλης,
σῇσι δ' ὑπ' ἐννεσίῃσι λιπὼν ἐρικυδέα Τροίην
εἰμὶ μετ' ἀθανάτοισι, πέλει δέ μοι ἄμβροτος αἰών,
τῷ μευ νῦν ἐσάκουσον ἀκηχεμένου μέγα θυμῷ·
οὐ γὰρ τλήσομαι ἄστυ καταιθόμενον προσιδέσθαι,
οὐδ' ἄρ' ἀπολλυμένην γενεὴν ἐν δηιοτῆτι
λευγαλέῃ, τῆς οὔ τι χερειότερον πέλει ἄλγος·
σοὶ δὲ καὶ εἰ μέμονε κραδίῃ τάδε μηχανάασθαι,
ἔρξον ἐμεῦ ἀπονόσφιν· ἐλαφρότερον δέ μοι ἄλγος
ἔσσεται, ἢν μὴ ἔγωγε μετ' ὄμμασιν οἷσιν ἴδωμαι·
κεῖνο γὰρ οἴκτιστον καὶ κύντατον, ὁππότε πάτρην
δυσμενέων παλάμῃσιν ἐρειπομένην τις ἴδηται.“
ἦ ῥα μέγα στενάχων Γανυμήδεος ἀγλαὸν ἦτορ.
καὶ τότ' ἄρα Ζεὺς αὐτὸς ἀπειρεσίοις νεφέεσσι
νωλεμέως ἐκάλυψε κλυτὴν Πριάμοιο πόληα·
ἠχλύνθη δὲ μάχη φθισίμβροτος· οὐδέ τις ἀνδρῶν

422 -σι v, -σιν Phg 423 οὔτι v, οὐδὲ k 426 -γνήτην v, -η tlk 429 αἶψα β. P 430 οὐρανόθεν κατιδ. st[1], οὐρανοῦ ἐκ κ. sp πάτρη t 431 ἔξειμι A, ἐξ εἰμι P, ἐξ εἰμὶ tl, ἔξ εἰμι spk 432 πάτρην v, Τροίην ex VPego 436 ἐνὶ wl 437 τοῦ δ' οὔ τι k[1] in praef. k[2] 446 αὐτῶν v, ἀνδρῶν pk[2]

ἐξιδέειν ἐπὶ τεῖχος ἔτ' ἔσθενεν, ἧχι τέτυκτο·
ταρφέσι γὰρ νεφέεσσι διηνεκέως κεκάλυπτο·
ἀμφὶ δ' ἄρα βρονταί τε καὶ ἀστεροπαὶ κτυπέοντο
οὐρανόθεν. Δαναοὶ δὲ Διὸς κτύπον εἰσαΐοντες
θάμβεον· ἐν δ' ἄρα τοῖσι μέγ' ἴαχε Νηλέος υἱός·
„ὦ κλυτοὶ Ἀργείων σημάντορες, οὐκέτι νῶιν
ἔσσεται ἔμπεδα γυῖα Διὸς μέγα θαρσαλέοισι
Τρωσὶν ἀμύνοντος· μάλα γὰρ μέγα πῆμα κυλίνδει
ἡμῖν· ἀλλ' ἄγε θᾶσσον ἐὰς ἐπὶ νῆας ἰόντες
παυσώμεσθα πόνοιο καὶ ἀργαλέοιο κυδοιμοῦ,
μὴ δὴ πάντας ἐνιπρήσῃ μάλα περ μενεαίνων·
τοῦ νῦν μὲν τεράεσσι πιθώμεθα· τῷ γὰρ ἔοικε
πάντας ἀεὶ πείθεσθαι, ἐπεὶ μάλα φέρτατός ἐστιν
ἰφθίμων τε θεῶν ὀλιγοσθενέων τ' ἀνθρώπων·
καὶ γὰρ Τιτήνεσσιν ὑπερφιάλοισι χολωθεὶς
οὐρανόθεν κατέχευε πυρὸς μένος· ἡ δ' ὑπένερθε
καίετο πάντοθε γαῖα, καὶ Ὠκεανοῦ πλατὺ χεῦμα
ἔζεεν ἐκ βυσσοῖο, καὶ ἐς πέρατ' ἄχρις ἱκέσθαι,
καὶ ποταμῶν τέρσοντο ῥοαὶ μάλα μακρὰ ῥεόντων,
δάμνατο δ', ὁππόσα φῦλα φερέσβιος ἔτρεφε γαῖα,
ἠδ' ὅσα πόντος ἔφερβεν ἀπείριτος, ἠδ' ὁπόσ' ὕδωρ
ἀενάων ποταμῶν· ἐπὶ δέ σφισιν ἄσπετος αἰθὴρ
τέφρῃ ὑπεκρύφθη καὶ λιγνύι, τείρετο δὲ χθών·
τοὔνεκ' ἐγὼ δείδοικα Διὸς μένος ἤματι τῷδε.
ἀλλ' ἴομεν ποτὶ νῆας, ἐπεὶ Τρώεσσιν ἀρήγει
σήμερον· αὐτὰρ ἔπειτα καὶ ἡμῖν κῦδος ὀρέξει·

452 νύ μοι *AP*, κλυτοὶ *rtlk* νῶϊ *AP*, corr. *t* 455 θᾶττον *v*, corr. *k* 458 τοῖσιν *v*, τοῖσι *P*, τοῦ νῦν *k* -κεν *v*, -κε *kP* 459 ἐπιπίθεσθαι *A*, πάντας ἐπιπείθ. *VE*[1]*Pt*, π. μὲν (vel δὴ) πεπιθέσθαι vel π. παρπεπιθ. vel π. πείθεσθαι ἐπειὴ ci. *t*, πάντ' ἐπιπείθεσθαι ἐπειὴ *l*, πάντας ἀεὶ πείθεσθαι *k* ol., sed πεπιθέσθαι *k*[1]*k*[2] 462 -θεν *v*, -θε *kP*

ἄλλοτε γάρ τε φίλη πέλει ἠώς, ἄλλοτε δ' ἐχθρή·
καὶ δ' οὔ πώ που μοῖρα διαπραθέειν κλυτὸν ἄστυ,
εἰ ἐτεὸν Κάλχαντος ἐτήτυμος ἔπλετο μῦθος,
τόν ῥα πάρος κατέλεξεν ὁμηγερέεσσιν Ἀχαιοῖς
δηῶσαι Πριάμοιο πόλιν δεκάτῳ ἐνιαυτῷ.
ὣς φάτο· τοὶ δ' ἀπάνευθε περικλυτὸν ἄστυ λιπόντες
χάσσαντ' ἐκ πολέμοιο Διὸς τρομέοντες ὁμοκλήν·
ἀνέρι γὰρ πεπίθοντο παλαιῶν ἴστορι μύθων.
ἀλλ' οὐδ' ὣς ἀμέλησαν ἀποκταμένων ἐνὶ χάρμῃ·
ἀλλά σφεας τάρχυσαν ἀπὸ πτολέμου ἐρύσαντες·
οὐ γὰρ δὴ κείνους νέφος ἄμφεχεν, ἀλλὰ πόληα
ὑψηλὴν καὶ τεῖχος ἀνέμβατον, ᾧ πέρι πολλοὶ
Τρώων υἷες Ἄρηι καὶ Ἀργείων ἐδάμησαν.
ἐλθόντες δ' ἐπὶ νῆας ἀρήια τεύχεα θέντο,
καί ῥα κόνιν καὶ ἱδρῶτα λύθρον τ' ἀποφαιδρύναντο
κύμασιν ἐμβεβαῶτες ἐυρρόου Ἑλλησπόντου.
Ἠέλιος δ' ἀκάμαντας ὑπὸ ζόφον ἤλασεν ἵππους·
νὺξ δ' ἐχύθη περὶ γαῖαν, ἀπέτραπε δ' ἀνέρας ἔργων.
Ἀργεῖοι δ' Ἀχιλῆος ἐυπτολέμου θρασὺν υἷα
ἶσα τοκῆι τίεσκον· ὁ δ' ἐν κλισίῃσιν ἀνάκτων
δαίνυτο καγχαλόων· κάματος δέ μιν οὔ τι βάρυνεν,
οὕνεκά οἱ στονόεντα Θέτις μελεδήματα γυίων
ἐξέλετ', ἀκμήτῳ δ' ἐναλίγκιον εἰσοράασθαι
τεῦξεν. ὁ δ' ἐκ δόρποιο κορεσσάμενος κρατερὸν κῆρ
ἐς κλισίην ἀφίκανεν ἑοῦ πατρός, ἔνθά οἱ ὕπνος
ἀμφεχύθη· Δαναοὶ δὲ νεῶν προπάροιθεν ἴαυον
αἰὲν ἀμειβόμενοι φυλακάς· φοβέοντο γὰρ αἰνῶς,

474 οὔπω μ. *AP*, οὔπω τοι μ. *rtl*, οὔπω νῦν *d*, οὔπω δὴ (vel πέλε) *k*, οὔπω που *ego*, οὕτω τοι *hw* 484 ἀνάμβ. *b* 486 τεύχε' ἔθεντο *v*, corr. *k* 490 ἐχύθη *v*, ἐπῆλθε *P*

Τρώων μή ποτε λαὸς ἢ ἀγχεμάχων ἐπικούρων
νῆας ἐνιπρήσῃ, νόστου δ' ἀπὸ πάντας ἀμέρσῃ.
ὣς δ' αὔτως Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων
ἀμφὶ πύλας καὶ τεῖχος ἀμοιβαδὸν ὑπνώεσκον
Ἀργείων στονόεσσαν ὑποτρομέοντες ὁμοκλήν.

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ.

Ἦμος δ' ἤνυτο νυκτὸς ἄπο κνέφας, ἔγρετο δ' Ἠὼς
ἐκ περάτων, μάρμαιρε δ' ἀπείριτον ἄσπετος αἰθήρ,
δὴ τότ' ἀρήιοι υἷες ἐυσθενέων Ἀργείων
ἂμ πεδίον πάπταινον, ἴδοντο δὲ Ἰλίου ἄκρην
ἀννέφελον, χθιζὸν δὲ τέρας μέγα θαυμάζεσκον.
Τρῶες δ' οὐκέτ' ἔφαντο πρὸ τείχεος αἰπεινοῖο
στήμεναι ἐν πολέμῳ· μάλα γὰρ δέος ἔλλαβε πάντας
ζώειν ἐλπομένους ἐρικυδέα Πηλείωνα· 7ª
Ἀντήνωρ δ' ἐν τοῖσι θεῶν ἠρήσατ' ἄνακτι·
„Ζεῦ, Ἴδης μεδέων ἠδ' οὐρανοῦ αἰγλήεντος,
κλῦθί μευ εὐχομένοιο, καὶ ὄβριμον ἄνδρα πόληος
τρέψον ἀφ' ἡμετέρης ὀλοὰ φρεσὶ μητιόωντα,
εἴ θ' ὅ γ' Ἀχιλλεύς ἐστι καὶ οὐ κίε δῶμ' Ἀίδαο,
εἴ τέ τις ἄλλος Ἀχαιὸς ἀλίγκιος ἀνέρι κείνῳ·
λαοὶ γὰρ κατὰ ἄστυ θεηγενέος Πριάμοιο
πολλοὶ ἀποφθινύθουσι, κακοῦ δ' οὐ γίνετ' ἐρωή,
ἀλλὰ φόνος τε καὶ οἶτος ἐπὶ πλέον αἰὲν ἀέξει·
Ζεῦ πάτερ, οὐδέ νυ σοί τι δαϊζομένων ὑπ' Ἀχαιοῖς

2 *ἀπείριτος v, -τον rbsplk* 3 *ἀπείριτοι AP, ἀτειρέες tl, ἀρήιοι k* 7ª h. v. ex *P* solo addidi 8 *ἐνί P* 14 *ἄλλοι AP, λαοὶ ptlk* 15 *γίγν. v, γίν. kP*

μέμβλεται, ἀλλ' ἄρα καὶ σὺ λελασμένος υἷος ἑοῖο
Δαρδάνου ἀντιθέοιο μέγ' Ἀργείοισιν ἀρήγεις.
ἀλλὰ σοὶ εἰ τόδε θυμὸς ἐνὶ κραδίῃ μενεαίνει,
Τρῶας ὑπ' Ἀργείοισιν ὀιζυρῶς ἀπολέσσαι,
ἔρξον ἄφαρ, μηδ' ἄμμι πολὺν χρόνον ἄλγεα τεῦχε."
ἦ ῥα μέγ' εὐχόμενος· τοῦ δ' ἔκλυεν οὐρανόθι Ζεύς·
καὶ τὸ μὲν αἶψ' ἐτέλεσσε, τὸ δ' οὐκ ἤμελλε τελέσσειν·
δὴ γάρ οἱ κατένευσεν, ὅπως ἀπὸ πολλοὶ ὄλωνται
Τρῶες ὁμῶς τεκέεσσι, δαΐφρονα δ' υἷ' Ἀχιλῆος
τρεψέμεν οὐ κατένευσεν ἀπ' εὐρυχόροιο πόληος,
ἀλλά ἑ μᾶλλον ἔγειρεν, ἐπεί νύ ἑ θυμὸς ἀνώγει
ἦρα φέρειν καὶ κῦδος ἐύφρονι Νηρηίνῃ.
καὶ τὰ μὲν ὣς ὥρμαινε θεῶν μέγα φέρτατος ἄλλων.
μεσσηγὺς δὲ πόληος ἰδ' εὐρέος Ἑλλησπόντου
Ἀργεῖοι καὶ Τρῶες ἀποκταμένους ἐνὶ χάρμῃ
καῖον ὁμῶς ἵπποισι· μάχη δ' ἐπέπαυτο φόνοιο,
οὕνεκα δὴ Πριάμοιο βίη κήρυκα Μενοίτην
εἰς Ἀγαμέμνονα πέμψε καὶ ἄλλους πάντας Ἀχαιοὺς
λισσόμενος "νέκυας πυρὶ καιέμεν"· οἱ δ' ἐπίθοντο
αἰδόμενοι κταμένους· οὐ γάρ σφισι μῆνις ὀπηδεῖ.
ἦμος δὲ φθιμένοισι πυρὰς ἐκάμοντο θαμειάς,
δὴ τότ' ἄρ' Ἀργεῖοι μὲν ἐπὶ κλισίας ἀφίκοντο,
Τρῶες δ' ἐς Πριάμοιο πολυχρύσοιο μέλαθρα
ἀχνύμενοι μάλα πολλὰ δεδουπότος Εὐρυπύλοιο·
τὸν γὰρ δὴ τίεσκον ἴσον Πριάμοιο τέκεσσι·
τοὔνεκά μιν τάρχυσαν ἀποκταμένων ἑκὰς ἄλλων
Δαρδανίης προπάροιθε πύλης, ὅθι μακρὰ ῥέεθρα

19 μετ' *AP*, μέγ' *dtlk* 37 ὀπήδει *v*, ὀπηδεῖ *spk* 38 π. καίοντο θ. *p*, πυραὶ καίοντο θαμειαί *sp* 39 δὴ τότ' Ἀ. *AP*, δή ῥα τότ' Ἀ. *rtl*, δὴ τότ' ἄρ' Ἀ. *rk* 40 μέλαθρον *P* 41 πολλὰ om. *A*, add. *rP*

* * * * * *

δινήεις προΐησιν ἀεξόμενος Διὸς ὄμβρῳ.
υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀταρβέος ἵκετο πατρὸς
τύμβον ἐπ' εὐρώεντα· κύσεν δ' ὅ γε δάκρυα χεύων
στήλην εὐποίητον ἀποφθιμένοιο τοκῆος·
καί ῥα περιστενάχων τοῖον ποτὶ μῦθον ἔειπε·
„χαῖρε πάτερ καὶ ἔνερθε κατὰ χθονός· οὐ γὰρ ἔγωγε
λήσομαι οἰχομένοιο σέθεν ποτὶ δῶμ' Ἀίδαο·
ὡς εἴθε ζωόν σε μετ' Ἀργείοισι κίχανον·
τῷ κε τάχ' (ἀλλήλοισι φρένας τερφθέντ' ἐνὶ θυμῷ)
Ἰλίου ἐξ ἱερῆς ληισσάμεθ' ἄσπετον ὄλβον·
νῦν δ' οὔτ' ἄρ σύγ' ἐσεῖδες ἑὸν τέκος, οὔτέ σ' ἔγωγε
εἶδον ζωὸν ἐόντα λιλαιόμενός περ ἰδέσθαι.
ἀλλὰ καὶ ὧς (σέο νόσφι καὶ ἐν φθιμένοισιν ἐόντος)
σὸν δόρυ καὶ τεὸν υἷα μέγ' ἐν δαῒ πεφρίκασι
δυσμενέες, Δαναοὶ δὲ γεγηθότες εἰσορόωσι
σοὶ δέμας ἠδὲ φυὴν ἐναλίγκιον ἠδὲ καὶ ἔργα.“
ὣς εἰπὼν ἀπὸ θερμὸν ὀμόρξατο δάκρυ παρειῶν·
βῆ δὲ θοῶς ἐπὶ νῆας ὑπερθύμοιο τοκῆος
οὐκ οἶος· ἅμα γάρ οἱ ἴσαν δυοκαίδεκα φῶτες
Μυρμιδόνων, Φοῖνιξ δ' ὁ γέρων μετὰ τοῖσιν ὀπήδει
λυγρὸν ἀναστενάχων ἐρικυδέος ἀμφ' Ἀχιλῆος.
νὺξ δ' ἐπὶ γαῖαν ἵκανεν, ἐπέσσυτο δ' οὐρανὸν ἄστρα·
οἱ δ' ἄρα δορπήσαντες ἕλονθ' ὕπνον· ἔγρετο δ' Ἠώς.
Ἀργεῖοι δ' ἄρα δῦσαν ἐν ἔντεσι· τῆλε δ' ἀπ' αὐτῶν

45 *δινήεις v*, *Ξάνθος ἐπιπροΐησιν d*, *ὁ* (vel *οἱ*) *Σιμόεις πρ. p*, versus imperfecti cuius prima vox est *ξάνθος* spatium post h. v. reliquit C^1, lacunae signa ante h. v. pos. *spk* [velut *Ἴδηθεν πεδίοιο δι' εὐρυχόροιο Σκάμανδρος*] 47 *ἐς v*, *ἐπ'* ex *P ego* 55 *οὐδὲ σ' ἐγώπερ v*, *οὔτ' ἄρ' ἐγώ σε b*, *οὔτε σ' ἔγωγε kl* 63 *ἔσαν AP*, em. *r* 65 *περικυδ. v*, *ἐρικυδ. ego* 68 *ἄρα δύσαν AP*, *ἄρα δῦσαν tl* (voluitne *k*?), *ἄρ' ἔδυσαν k*

*αἴγλη μαρμαίρεσκεν ἐς αἰθέρα μέχρις ἰοῦσα·
καί ῥα θοῶς ἔκτοσθε πυλάων ἐσσεύοντο
πανσυδίῃ νιφάδεσσιν ἐοικότες, αἵ τε φέρονται
ταρφέες ἐκ νεφέων κρυερῇ ὑπὸ χείματος ὥρῃ·
ὣς οἵ γ' ἐξεχέοντο πρὸ τείχεος, ὦρτο δ' ἀυτὴ
σμερδαλέη· μέγα δ' αἶα περιστεναχίζετ' ἰόντων.
Τρῶες δ' εὖτ' ἐπύθοντο βοὴν καὶ λαὸν ἴδοντο,
θάμβησαν· πᾶσιν δὲ κατεκλάσθη κέαρ ἔνδον
πότμον ὀιομένων· περὶ γὰρ νέφος ὣς ἐφαάνθη
λαὸς δυσμενέων· κανάχιζε δὲ τεύχεα φωτῶν
κινυμένων· ἄμοτον δὲ κονίσαλος ὦρτο ποδοῖιν.
καὶ τότ' ἄρ' ἠὲ θεῶν τις ὑπὸ φρένας ἔμβαλε θάρσος
Δηιφόβῳ καὶ θῆκε μάλ' ἄτρομον, ἠὲ καὶ αὐτοῦ
θυμὸς ἐποτρύνεσκε ποτὶ κλόνον, ὄφρ' ἀπὸ πάτρης
δυσμενέων ἀλεγεινὸν ὑπ' ἔγχεϊ λαὸν ἐλάσσῃ·
θαρσαλέον δ' ἄρα μῦθον ἐνὶ Τρώεσσιν ἔειπεν·
„ὦ φίλοι, εἰ δ' ἄγε θυμὸν ἀρήιον ἐν φρεσὶ θέσθε
μνησάμενοι, στονόεντος ὅσα πτολέμοιο τελευτὴ
ἄλγε' ἐπ' ἀνθρώποισι δορυκτήτοισι τίθησιν·
οὐ γὰρ Ἀλεξάνδροιο πέλει περὶ μοῦνον ἄεθλος
οὐδ' Ἑλένης, ἀλλ' ἔστι περὶ πτόλιός τε καὶ αὐτῶν
ἠδ' ἀλόχων τεκέων τε φίλων γεραρῶν τε τοκήων
πάσης τ' ἀγλαΐης καὶ κτήσιος ἠδ' ἐρατεινῆς
γαίης, ἥ με δαμέντα κατὰ κλόνον ἀμφικαλύψοι
μᾶλλον, ἢ ἀθρήσαιμι φίλην ὑπὸ δούρασι πάτρην
δυσμενέων· οὐ γάρ τι κακώτερον ἔλπομαι ἄλλο
πῆμα μετ' ἀνθρώποισιν ὀιζυροῖσι τετύχθαι.
τοὔνεκ' ἀπωσάμενοι στυγερὸν δέος ἀμφ' ἐμὲ πάντες*

79 *ἄμοτος v, -ον spk* 81 *αὐτὸν v, -οῦ kl* 83 *ὀλέσσῃ v, ἐλάσσῃ st*[1]*kl* 88 *μοῦνος v, -ον blspk, μούνον st*[1] 93 *δούρατι v, -σι k*

καρτύνασθ' ἐπὶ δῆριν ἀμείλιχον· οὐ γὰρ Ἀχιλλεὺς
ζωὸς ἔθ' ἡμῖν ἄντα μαχήσεται, οὕνεκ' ἄρ' αὐτὸν
πῦρ ὀλοὸν κατέδαψε· πέλει δέ τις ἄλλος Ἀχαιῶν,
ὃς νῦν λαὸν ἔγειρεν· ἔοικε δὲ μήτ' Ἀχιλῆα
μήτέ τιν' ἄλλον Ἀχαιὸν ὑποτρομέειν περὶ πάτρης
μαρναμένους· τῷ μή τι φεβώμεθα μῶλον Ἄρηος,
εἰ καὶ πολλὰ πάροιθεν ἀνέτλημεν μογέοντες·
ἦ οὔ πω τόδε οἴδατ' ἀνὰ φρένας, ὡς ἀλεγεινοῖς
ἀνδράσιν ἐκ καμάτοιο πέλει θαλίη τε καὶ ὄλβος,
ἐκ δ' ἄρα λευγαλέων ἀνέμων καὶ χείματος αἰνοῦ
Ζεὺς ἐπάγει μερόπεσσι δι' ἠέρος εὔδιον ἦμαρ,
ἔκ τ' ὀλοῆς νούσοιο πέλει σθένος, ἔκ τε μόθοιο
εἰρήνη; τὰ δὲ πάντα χρόνῳ μεταμείβεται ἔργα."
ὣς φάτο· τοὶ δ' ἐς Ἄρηα μεμαότες ἐντύναντο
ἐσσυμένως· καναχὴ δὲ κατὰ πτόλιν ἔπλετο πάντῃ
μῶλον ἐς ἀλγινόεντα κορυσσομένων αἰζηῶν.
ἔνθ' ἄρα τῷ μὲν ἄκοιτις ὑποτρομέουσα κυδοιμὸν
ἔντε' ἐπειγομένῳ παρενήνεε δακρυχέουσα·
τῷ δ' ἄρα νήπιοι υἷες ἐπειγόμενοι περὶ πατρὶ
τεύχεα πάντα φέρεσκον· ὁ δέ σφισιν ἄλλοτε μέν που
ἄχνυτ' ὀδυρομένοις, ὁτὲ δ' ἔμπαλι μειδιάασκε
παισὶν ἀγαλλόμενος· κραδίη δέ οἱ ἐν δαῒ μᾶλλον
ὥρμαινεν πονέεσθαι ὑπὲρ τεκέων τε καὶ αὐτοῦ·
ἄλλῳ δ' αὖτε γεραιὸς ἐπισταμένῃς παλάμῃσιν
ἀμφετίθει μελέεσσι κακῆς ἀλκτήρια χάρμης
πολλὰ παρηγορέων φίλον υἱέα μηδενὶ εἴκειν

97 -εσθ' *P* 100 ἄγειρεν *v*, ἔγ. *pk* πάντ' Ἀχιλῆι *v*, lacunae signa [velut ἡμέας δ', εἰ καὶ ἔοικεν, ὅμως χρὴ μήτε τι κεῖνον] add. *k*, μήτ' Ἀχιλῆα *hytl* 110 -οντο *wspl* 114 ἐποιχομένῳ *A*, ἀποιχ. *rtlk*, ἐπειγομένῳ *brP* παρανήνεε *A*, -νήνεε *P*, -νήεε *tk*², παρενήνεε *splk*¹ 117 -σκεν *v*, -σκε *k* 119 αὐτοῦ *v*, αὐτοῦ *st*¹*splk*

ἐν πολέμῳ, καὶ στέρνα τετυμμένα δείκνυε παιδὶ
ταρφέα σήματ' ἔχοντα παλαιῆς δηιοτῆτος.
  ἀλλ' ὅτε δὴ μάλα πάντες ἐν ἔντεσι θωρήχθησαν,
ἄστεος ἐξεχέοντο μέγ' ἱέμενοι πολέμοιο
λευγαλέου. ταχέεσσι δ' ἐφ' ἱππήεσσιν ὄρουσαν
ἱππῆες, πεζοῖσι δ' ἐπέχραον ἔθνεα πεζῶν,
ἅρμασι δ' ἅρμαθ' ἵκοντο καταντίον· ἔβραχε δὲ χθὼν
ἐς μόθον ἐσσυμένων· ἐπαΰτεε δ' οἷσιν ἕκαστος
κεκλόμενος. τοὶ δ' αἶψα συνήιον· ἀμφὶ δ' ἄρά σφι
τεύχε' ἐπεσμαράγησε· μίγη δ' ἑκάτερθεν ἀυτὴ
λευγαλέη· τὰ δὲ πολλὰ θοῶς ποτέοντο βέλεμνα
βαλλόμεν' ἀμφοτέρωθεν· ὑπ' ἔγχεσι δ' ἀσπίδες ἀνδρῶν
θεινόμεναι κτυπέεσκον ἀάσχετον, αἱ δ' ὑπ' ἀκόντων
καὶ ξιφέων· πολέες δὲ καὶ ἀξίνῃσι θοῇσιν
ἀνέρες οὐτάζοντο· φορύνετο δ' ἔντεα φωτῶν
αἵματι. Τρωιάδες δ' ἀπὸ τείχεος ἐσκοπίαζον
αἴζηῶν στονόεντα μόθον· πάσῃσι δὲ γυῖα
ἔτρεμεν εὐχομένῃσιν ὑπὲρ τεκέων τε καὶ ἀνδρῶν
ἠδὲ κασιγνήτων. πολιοὶ δ' ἅμα τῇσι γέροντες
ἕζοντ' εἰσορόωντες· ἔδον δ' ὑπὸ κήδεσι θυμὸν
παίδων ἀμφὶ φίλων. Ἑλένη δ' ἐν δώμασι μίμνεν
οἴη ἅμ' ἀμφιπόλοισιν· ἔρυκε γὰρ ἄσπετος αἰδώς.
  οἱ δ' ἄμοτον πονέοντο πρὸ τείχεος· ἀμφὶ δὲ Κῆρες
γήθεον, οὐλομένη δ' ἐπαΰτεεν ἀμφοτέροισι
μακρὸν Ἔρις βοόωσα· κόνις δ' ἐρυθαίνετο λύθρῳ
κτεινομένων, ὀλέκοντο δ' ἀνὰ κλόνον ἄλλοθεν ἄλλος.

128 φωτῶν *v*, πεζῶν *rpspkP* 132 μίη *v*, μίγη *st*[1]*kl* 134 ἔγχεϊ *v*, -σι (*r*)*kl* 136 -ῇσι *P* 142 ἔχον δ' ὑπὸ χείρεσι θυμὸν *AP* et sic *k* lacunae signis post χείρεσι positis [velut γοῦνα | ἀμφιπεριπλέξαντες·] sequentibus verbis ἔδον δ' ὑπὸ πένθεσι θυμόν, sed ἔδον δ' ὑπὸ κήδεσι θυμὸν *rst*[2]*n*, ἔχον δ' ὑ. κ. θ. *brtl* 143 ἐνὶ *v*, ἐν *k*

ἔνθ᾽ ἄρα Δηίφοβος κρατερὸν κτάνεν ἡνιοχῆα
* Ἱππασίδην, ὁ δ᾽ ἀφ᾽ ἅρματος αἰψηροῖο
ἤριπεν ἀμφὶ νέκυσσιν· ἄχος δέ οἱ ἔσχεν ἄνακτα·
δείδιε γάρ, μὴ δή μιν ἐφ᾽ ἡνία χεῖρας ἔχοντα
υἱὸς ἐὺς Πριάμοιο κατακτείνησι καὶ αὐτόν·
ἀλλά οἱ οὐκ ἀμέλησε Μελάνθιος· ἀλλ᾽ ἐπὶ δίφρον
ἆλτο θοῶς, ἵπποισι δ᾽ ἐκέκλετο μακρὰ τινάσσων
εὔληρ᾽, οὐδ᾽ ἔχε μάστιν, ἔλαυνε δὲ δούρατι θείνων.
καὶ τοὺς μὲν Πριάμοιο πάις λίπεν, ἵκετο δ᾽ ἄλλων
ἐς πληθύν· πολέεσσι δ᾽ ὀλέθριον ὤπασεν ἦμαρ
ἐσσυμένως· ὀλοῇ γὰρ ἀλίγκιος αἰὲν ἀέλλῃ
θαρσαλέως δηίοισιν ἐπῴχετο· τοῦ δ᾽ ὑπὸ χερσὶ
μυρίοι ἐκτείνοντο· πέδον δ᾽ ἐστείνετο νεκρῶν.
ὡς δ᾽ ὅτ᾽ ἀν᾽ οὔρεα μακρὰ θορὼν εἰς ἄγκεα βήσσης
δρυτόμος ἐγκονέων νεοθηλέα δάμναται ὕλην,
ἄνθρακας ὄφρα κάμῃσι κατακρύψας ὑπὸ γαῖαν
σὺν πυρὶ δούρατα πολλά· τὰ δ᾽ ἄλλοθεν ἄλλα πεσόντα
πρῶνας ὕπερθε κάλυψαν, ἀνὴρ δ᾽ ἐπιτέρπεται ἔργῳ·
ὣς ἄρα Δηιφόβοιο θοῆς ὑπὸ χερσὶν Ἀχαιοὶ
ἰλαδὸν ὀλλύμενοι περικάππεσον ἀλλήλοισι·
καί ῥ᾽ οἱ μὲν Τρώεσσιν ὁμίλεον, οἱ δ᾽ ἐφέβοντο
εὐρὺν ἐπὶ Ξάνθοιο ῥόον. τοὺς δ᾽ ὕδατος εἴσω
Δηίφοβος συνέλασσε καὶ οὐκ ἀπέληγε φόνοιο·
ὡς δ᾽ ὁπότ᾽ ἰχθυόεντος ἐπ᾽ ἠόσιν Ἑλλησπόντου
δίκτυον ἐξερύωσι πολύκμητοι ἁλιῆες
κολπωθὲν ποτὶ γαῖαν, ἔσω δ᾽ ἁλὸς εἰσέτ᾽ ἐόντος

150 'deest proprium nomen, quale est Νέστορος aut simile' *r*, qui confert VI 561 sq. 152 δῆριν *A*, νῦν *P*, δή μιν *rtlk* 156 Εὐκλήρου δ᾽ *A*, εὐλήρου δ᾽ *VP*, εὔληρ᾽ οὐδ᾽ *E*[1]*rtlk* 160 ἐπεύχ. *A*, ἐπέρχ. *VE*[1]*rt*, ἐπῴχ. *rsplkP* 165 μακρά *v*, πολλά *VPk*

ἐνθόρῃ αἰζηὸς γναμπτὸν δόρυ χερσὶ μεμαρπὼς
αἰνὸν ἐπὶ ξιφίησι φέρων μόρον, ἄλλοθε δ' ἄλλον
δάμναται, ὅν κε κίχησι, φόνῳ δ' ἐρυθαίνεται ὕδωρ·
ὣς τοῦ ὑπαὶ παλάμῃσι περὶ Ξάνθοιο ῥέεθρα
αἵματι φοινίχθησαν, ἐνεστείνοντο δὲ νεκροί.
οὐδὲ μὲν οὐδ' ἄρα Τρῶες ἀναιμωτὶ πονέοντο,
ἀλλά σφεας ἐδάιζεν Ἀχιλλέος ὄβριμος υἱὸς
ἀμφ' ἄλλῃσι φάλαγξι· Θέτις δέ που εἰσορόωσα
τέρπετ' ἐφ' υἱωνῷ, ὅσον ἄχνυτο Πηλείωνι·
τοῦ γὰρ ὑπὸ μελίῃ πουλὺς στρατὸς ἐν κονίῃσι
πῖπτεν ὁμῶς ἵπποισιν· ὁ δ' ἑσπόμενος κεράιζεν.
ἔνθ' Ἀμίδην ἐδάιξε περικλυτόν, ὅς ῥά οἱ ἵππῳ
ἑζόμενος συνέκυρσε καὶ οὐκ ἀπόνητ' ἐρατεινῆς
ἱππασίης· δὴ γάρ μιν ὑπ' ἔγχεϊ τύψε φαεινῷ
ἐς νηδύν· αἰχμὴ δὲ ποτὶ ῥάχιν ἐξεπέρησεν,
ἔγκατα δ' ἐξεχύθησαν· ἕλεν δέ μιν οὐλομένη Κὴρ
ἐσσυμένως ἵπποιο θοοῦ παρὰ ποσσὶ πεσόντα.
εἷλε δ' ἄρ' Ἀσκάνιόν τε καὶ Οἴνοπα, τὸν μὲν ἐλάσσας
δουρὶ μέγα στομάχοιο ποτὶ στόμα, τὸν δ' ὑπὸ λαιμόν,
καίριος ἔνθα μάλιστα πέλει μόρος ἀνθρώποισιν.
ἄλλους δ' ἔκτανε πάντας, ὅσους κίχε· τίς κεν ἐκείνους
ἀνδρῶν μυθήσαιτο, κατὰ κλόνον ὅσσοι ὄλοντο
χερσὶ Νεοπτολέμοιο; κάμεν δέ οἱ οὔ ποτε γυῖα·
ὣς δ' ὁπότ' αἰζηῶν τις ἀγρῷ ἔνι τηλεθάοντι
πᾶν ἦμαρ κρατερῇσι πονησάμενος παλάμῃσιν
ἐς γαῖαν κατέχευεν ἀπείρονα καρπὸν ἐλαίης

176 φέρει φόνον, ἄλλοθεν δ' ἄλλον *A*; φ. φ., ἄλλοθε δ' ἄ. *r*; φέρων φ., ἄλλοθε δ' ἄ. *ptl* (vel φέρειν *p*); φέρειν φόνον et post lacunam ἄλλοθεν ἄλλον *k*; φέρων (φέρον *P*) μόρον, ἄλλοθε δ' ἄλλον ex *P ego* 193 μετὰ *A*, κατὰ E^1P, μέγα em. *r* 195 ἔκτανεν, ὅσους *A*, αὖθις add. *rt*, αἰὲν *rkl*, ἄνδρας *br*, ἔκτανε πάντας, ὅσους *pP* ἐκείνους *v*, ἑκάστους *p*

ῥάβδῳ ἐπισπέρχων, ἐκάλυψε δὲ χῶρον ὕπερθεν·
ὣς τοῦ ὑπαὶ παλάμῃσι κατήριπε πουλὺς ὅμιλος.
Τυδείδης δ' ἑτέρωθεν ἐυμμελίης τ' Ἀγαμέμνων
ἄλλοι τ' ἐν Δαναοῖσιν ἀριστῆες πονέοντο
προφρονέως ἀνὰ δῆριν ἀμείλιχον. οὐδὲ μὲν ἐσθλοῖς
Τρώων ἡγεμόνεσσι δέος πέλεν, ἀλλὰ καὶ αὐτοὶ
ἐκ θυμοῖο μάχοντο καὶ ἀνέρας αἰὲν ἔρυκον
χαζομένους· πολέες γε μὲν οὐκ ἀλέγοντες ἀνάκτων
ἐκ πολέμοιο φέβοντο μένος τρομέοντες Ἀχαιῶν.
ὀψὲ δ' ἄρ' εἰσενόησε περὶ προχοῇσι Σκαμάνδρου
ὀλλυμένους Δαναοὺς κρατερὸς πάις Αἰακίδαο
αἰὲν ἐπασσυτέρους· λίπε δ', οὓς πάρος αὐτόθ' ἔναιρε,
φεύγοντας ποτὶ ἄστυ, καὶ Αὐτομέδοντι κέλευε
κεῖσ' ἐλάαν, ὅθι πουλὺς ἐδάμνατο λαὸς Ἀχαιῶν.
αὐτὰρ ὅ γ' αἶψ' ἐπίθησε καὶ ἀθανάτων μένος ἵππων
σεύεσκεν μάστιγι ποτὶ κλόνον· οἱ δ' ἐπέτοντο
ῥίμφα διὰ κταμένων κρατερὸν φορέοντες ἄνακτα·
οἷος δ' ἐς πόλεμον φθισίμβροτον ἔρχεται Ἄρης
ἐμβεβαὼς ἵπποισι, περιτρομέει δ' ἄρα γαῖα
ἐσσυμένου, καὶ θεῖα περὶ στέρνοισι θεοῖο
τεύχε' ἐπιβρομέουσιν ἶσον πυρὶ μαρμαίροντα·
τοῖος Ἀχιλλῆος κρατερὸς πάις ἤιεν ἄντην
ἐσθλοῦ Δηιφόβοιο· κόνις δ' ἐπαείρετο πολλὴ
ἵππων ἀμφὶ πόδεσσιν. ἰδὼν δέ μιν ἄλκιμος ἀνὴρ
Αὐτομέδων ἐνόησεν, ὅτις πέλεν· αἶψα δ' ἄνακτι
τοῖον ἔπος κατέλεξε περικλυτὸν ἄνδρα πιφαύσκων·

208 δέγε A, δ' VE^{1}, δὲ καὶ rtl, δέ οἱ h, γε μὲν k 210 ἐνόησε VP Καμάνδρ. A, Σκαμ. VPr 212 αὐτὸς v, αὐτόθ' k -ρεν v, -ρε k 213 προτὶ v, ποτὶ kP κέλευεν v, -ε kP 215 αἶψα πίθησε v, αἶψ' ἐπίθ. k 219 γυῖα AP, γαῖα $VE^{1}r$ 222 κρατεροῦ v, -ός ego

„ὦ ἄνα, Δηιφόβοιο πέλει στρατός, ὅς τε καὶ αὐτὸς
σεῖο τοκῆα πάροιθεν ὑπέτρεμε· νῦν δέ οἱ ἐσθλὸν
ἢ θεὸς ἢ δαίμων τις ὑπὸ κραδίην βάλε θάρσος.“
ὣς ἄρ' ἔφη· ὁ δ' ἄρ' οὔ τι προσέννεπεν, ἀλλ' ἔτι μᾶλλον
ἵππους ὀτρύνεσκεν ἐλαυνέμεν, ὄφρα τάχιστα
ὀλλυμένοις Δαναοῖσιν ἀεικέα πότμον ἀλάλκοι.
ἀλλ' ὅτε δή ῥ' ἀφίκοντο μάλα σχεδὸν ἀλλήλοισι,
δὴ τότε Δηίφοβος μάλα περ χατέων πολέμοιο
ἔστη, ὅπως πῦρ αἰνόν, ὅθ' ὕδατος ἐγγὺς ἵκηται·
θάμβεε δ' εἰσορόων κρατερόφρονος Αἰακίδαο
ἵππους ἠδὲ καὶ υἷα πελώριον οὔ τι τοκῆος
μείονα. τοῦ δ' ἄρα θυμὸς ὑπὸ φρεσὶν ὁρμαίνεσκεν
ἄλλοτε μὲν φεύγειν, ὁτὲ δ' ἀνέρος ἄντα μάχεσθαι·
ὡς δ' ὅτε σῦς ἐν ὄρεσσι νεηγενέων ἀπὸ τέκνων
θῶας ἀποσσεύῃσι, λέων δ' ἑτέρωθι φανείη
ἔκποθεν ἐσσύμενος, τοῦ δ' ἵσταται ἄσπετος ὁρμὴ
οὔτε πρόσω μεμαῶτος ἔτ' ἐλθέμεν οὔτ' ἄρ' ὀπίσσω,
θήγει δ' ἀφριόωντας ὑπὸ γναθμοῖσιν ὀδόντας·
ὣς υἱὸς Πριάμοιο σὺν ἅρμασι μίμνε καὶ ἵπποις
πορφύρων φρεσὶ πολλὰ καὶ ἀμφαφόων δόρυ χερσί.
τὸν δ' υἱὸς προσέειπεν ἀμειλίκτου Ἀχιλῆος·
„Πριαμίδη, τί νυ τόσσον ἐπ' Ἀργείοισι μέμηνας
χειροτέροις, οἳ σεῖο περιτρομέοντες ὁμοκλὴν
φεῦγον ἐπεσσυμένοιο, σὺ δ' ἔλπεο πολλὸν ἄριστος

227 sq. ἠδὲ (ἦδε P) καὶ αὐτὸς | σεῖο πάροιθε τοκῆος AP, ὃς δὲ κ. αὐτὸς r (?); ἠδὲ κ. αὐ., | σ. π. τοκῆ' ὃς brtl; vulgatam lacunae signis post v. 227 positis [velut ὅς ῥ' ἀμφ' Ἕκτορα δῖον ὅμως κράτος ἠδὲ καὶ ἔγχος] retinuit k; ὅστε καὶ αὐτὸς | σεῖο τοκῆα πάροιθεν *ego* scripsi 230 τὸν δ' ἄρα οὔτι προσέειπεν A, τὸν δ' ἄρ' οὔτι προσένεπεν E^1, τὸν δ' οὔτις προσέννεπεν P, τὸν δ' οὔτι πρ. rtl, ὃ δ' ἄρ' οὔτι πρ. k 231 ὠτρ. v, ὀτρ. lkP 238 ὡρμ. v, ὁρμ. kP 241 -θε l 250 ἤλπεο v, ἔλπ. spk

ἔμμεναι; ἀλλὰ σοὶ εἴ περ ὑπὸ κραδίῃ μένος ἐστίν,
ἡμετέρης πείρησαι ἀνὰ κλόνον ἀσχέτου αἰχμῆς.“
ὣς εἰπὼν οἴμησε, λέων ὣς ἄντ' ἐλάφοιο,
ἐμβεβαὼς ἵπποισι καὶ ἅρμασι πατρὸς ἑοῖο·
καί νύ κέ μιν τάχα δουρὶ σὺν ἡνιόχῳ κατέπεφνεν,
εἰ μή οἱ μέλαν αἶψα νέφος κατέχευεν Ἀπόλλων
ἔκποθεν Οὐλύμποιο καὶ ἐξ ὀλοοῖο μόθοιο
ἥρπασε καί μιν ἔθηκε ποτὶ πτόλιν, ἧχι καὶ ἄλλοι
Τρῶες ἴσαν φεύγοντες. ὁ δ' ἐς κενεὴν δόρυ τύψας
ἠέρα Πηλείδαο πάις ποτὶ μῦθον ἔειπεν·
„ὦ κύον, ἐξήλυξας ἐμὸν μένος· οὐδὲ σοὶ ἀλκὴ
ἱεμένῳ περ ἄλαλκε, θεῶν δέ τις, ὅς σ' ἐκάλυψε
νύκτα βαλὼν καθύπερθε καὶ ἐκ κακότητος ἔρυσσεν.“
ὣς ἄρ' ἔφη· δνοφερὸν δὲ νέφος καθύπερθε Κρονίων
εὖτ' ὁμίχλην διέχευε· λύθη δ' εἰς ἠέρα μακρήν·
αὐτίκα δ' ἐξεφάνη πεδίον καὶ πᾶσα περὶ χθών.
Τρῶας δ' εἰσενόησεν ἀπόπροθι πολλὸν ἐόντας
Σκαιῆς ἀμφὶ πύλῃσιν· ἔβη δ' ἄρα πατρὶ ἐοικὼς
ἀντία δυσμενέων, οἵ μιν φοβέοντο κιόντα·
ἠύτε κῦμ' ἀλεγεινὸν ἐπεσσύμενον τρομέουσι
ναῦται, ὅ τ' ἐξ ἀνέμοιο διεγρόμενον φορέηται
εὐρὺ μάλ' ὑψηλόν τε, μέμηνε δὲ λαίλαπι πόντος·
ὣς τοῦ ἐπερχομένοιο κακὸν δέος ἄμφεχε Τρῶας.
τοῖον δ' ἔκφατο μῦθον ἐποτρύνων ἑτάροισι·
„κλῦτε φίλοι καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε

252 ὁρμῆς *A*, αἰχμῆς *E^1Ptlk* 259 ἔσαν *v*, ἴσαν *spk* κενεὴν *v*, -ὸν *k* δόρυ *v*, δορὶ *st^1bl* 260 ἠ. Π. π. τοῖον π. μ. ἔ. *A*, τοῖον om. *P*(*r*), ἠέρα om. (*r*)*lk*, τοῖον φάτο μῦθον *C^1t* 261 -ήλυσας *P* 262 ὅσσ' ἐκ. *v*, ὅσσε κ. *sp*, ὅς σ' ἐκ. *$hkst^2$* 263 ἐρύξας *v*, ἔρυσσεν *$rspst^2$*, ἐρύσσας et sequente lacuna [velut σεῖο φυγοπτολέμοιο κακὰς ἀπὸ κῆρας] ἔρυξεν *k* 264 hunc v. solus servavit *P*

ἄτρομον, οἷον ἔοικε φορήμεναι ἀνέρας ἐσθλοὺς
νίκην ἱεμένους ἐρικυδέα χερσὶν ἀρέσθαι
καὶ κλέος ἐκ πολέμοιο δυσηχέος· ἀλλ' ἄγε θυμὸν
παρθέμενοι πονεώμεθ' ὑπὲρ μένος, εἰς ὅ κε Τροίης
πέρσωμεν κλυτὸν ἄστυ καὶ ἐκτελέσωμεν ἐέλδωρ·
αἰδὼς γὰρ μάλα πολλὸν ἐπὶ χρόνον ἔνθα μένοντας
ἔμμεναι ἀπρήκτους καὶ ἀνάλκιδας, οἷα γυναῖκας·
τεθναίην γὰρ μᾶλλον ἢ ἀπτόλεμος καλεοίμην."
ὣς φάτο· τοὶ δ' ἔτι μᾶλλον ἐς Ἄρεος ἔργον ὄρουσαν
θαρσαλέως, Τρώεσσι δ' ἐπέδραμον· οἱ δὲ καὶ αὐτοὶ
προφρονέως μάρναντο περὶ πτόλιν, ἄλλοτε δ' αὖτε
ἔντοσθεν πυλέων ἀπὸ τείχεος· οὐδ' ἀπέληγε
δεινὸς Ἄρης, Τρώων μὲν ἐελδομένων ἀπερύξαι
δυσμενέων στρατὸν αἰνόν, ἐυσθενέων δ' Ἀργείων
ἄστυ διαπραθέειν· ὀλοὴ δ' ἔχε πάντας ὀιζύς.
καὶ τότε δὴ Τρώεσσιν ἀρηγέμεναι μενεαίνων
ἔκθορεν Οὐλύμποιο καλυψάμενος νεφέεσσι
Λητοΐδης· τὸν δ' αἶψα θοαὶ φορέεσκον ἄελλαι
τεύχεσι χρυσείοισι κεκασμένον· ἀμφὶ δὲ μακραὶ
μάρμαιρον κατιόντος ἴσον στεροπῇσι κέλευθοι·
ἀμφὶ δέ οἱ γωρυτὸς ἐπέκτυπεν· ἔβραχε δ' αἰθὴρ
θεσπέσιον καὶ γαῖα μέγ' ἴαχεν, εὖτ' ἀκάμαντας
θῆκε παρὰ Ξάνθοιο ῥόον πόδας· ἐκ δ' ἐβόησε
σμερδαλέον, Τρωσὶν δὲ θράσος βάλε, δεῖμα δ' Ἀχαιοῖς
μίμνειν αἱματόεντα κατὰ κλόνον. οὐδ' Ἐνοσίχθων
ὄβριμος ἠγνοίησε· μένος δ' ἐνέπνευσεν Ἀχαιοῖς

279 *τροίην A*, *-ης* em. *rP* 281 *ἐνθάδε μ. AP*, *ἔνθα μ. rtlk* (*ἐνθάδ' ἐόντ. r*) 287 *ἔκτ. A*, *ἔντ. E*[1] (*-θε P*) 288 *ἀνὴρ AP*, *Ἄρης C*[1]*rtlk* 297 *ἔνθ' v*, *εὖτ' k* *ἀκάμαντος P* 298 *δ' ἐβόησε v*, *-εν P*, *δὲ βοήσας rt* 299 *τρώεσσι δὲ θάρσος A*, *Τρώεσσι θάρσος P*, *Τρ. θράσος rt*, *Τρωσὶν δὲ θράσος C*[1]*pkl*

ἤδη τειρομένοισι· μάχη δ' ἀίδηλος ἐτύχθη
ἀθανάτων βουλῇσιν· ὄλοντο δὲ μυρία φῦλα
αἰζηῶν ἑκάτερθε. κοτεσσάμενος δ' ἄρ' Ἀπόλλων
Ἀργείοις ὥρμαινε βαλεῖν θρασὺν υἷ' Ἀχιλῆος
αὐτοῦ, ὅπου καὶ πρόσθεν Ἀχιλλέα· τοῦ δ' ἄρα θυμὸν
οἰωνοὶ κατέρυκον ἀριστερὰ κεκλήγοντες,
ἄλλά τε σήματα πολλά· χόλος δέ οἱ οὐκέτ' ἔμελλε
πείθεσθαι τεράεσσι· τὸ δ' οὐ λάθε Κυανοχαίτην·

* * * * * *

ἠέρι θεσπεσίῃ κεκαλυμμένος· ἀμφὶ δὲ ποσσὶ
νισσομένοιο ἄνακτος ἐρεμνὴ κίνυτο γαῖα·
τοῖον δ' ἔκφατο μῦθον ἐελδόμενός μιν ἐρύξαι·
„ἴσχε κότον, καὶ μή τι πελώριον υἷ' Ἀχιλῆος
κτείνῃς· οὐδὲ γὰρ αὐτὸς Ὀλύμπιος ὀλλυμένοιο
γηθήσει· μέγα δ' ἄλγος ἐμοὶ καὶ πᾶσι θεοῖσιν
ἔσσεται εἰναλίοισιν, ὅπως πάρος ἀμφ' Ἀχιλῆος·
ἀλλ' ἀναχάζεο δῖον ἐς αἰθέρα, μή με χολώσῃς,
αἶψα δ' ἀναρρήξας μεγάλης χθονὸς εὐρὺ βέρεθρον
αὐτὴν Ἴλιον εἶθαρ ἑοῖς ἅμα τείχεσι πᾶσαν
θήσω ὑπὸ ζόφον εὐρύν· ἄχος δέ τοι ἔσσεται αὐτῷ."
ὣς φάθ'· ὁ δ' ἁζόμενος μέγ' ἀδελφεὸν οἷο τοκῆος
δείσας τ' ἀμφὶ πόληος ἐυσθενέων θ' ἅμα λαῶν
χάσσατ' ἐς οὐρανὸν εὐρύν, ὁ δ' εἰς ἅλα. τοὶ δ' ἐμάχοντο
ἀλλήλους ὀλέκοντες, Ἔρις δ' ἐπετέρπετο χάρμῃ,

307 *κατέλιπον A*, *-λῦπον P*, *-έρυκον VE¹r* *-ῶτες v*, *-ότες P*, *-ήγοντες rk* 308 *νόος* ci. *sp* 310 *-μένον v*, *-μένος* lacunae signis ante h. v. positis [velut *αἶψα δ' Ἀπόλλωνος κατεναντίον ἅλτο χολωθείς*] *k* *ποσσὶν P* 311 *ἐρυμνὴ pt* 313 *ἴσχεο τέκνον μήτι A*, *ἴσχε τέκος καὶ μήτι VE¹Ptlk*, *ἴσχεο τέκνον μηδὲ Neumann*, *ἴσχε κότον καὶ μήτι ego* 316 *Ἀχιλῆα v*, *-ος* ex *P ego* 318 *εὐρὺ* om. plerique libri, add. *rtlP*, *αἰπὺ br*, *αἰνὰ βέρεθρα k* 324 *ἐπιτέρπ. v*, *ἐπετέρπ. spkP*

μέσφ' ὅτε δὴ Κάλχαντος ὑπ' ἐννεσίῃσιν Ἀχαιοὶ
ἐς νῆας χάσσαντο καὶ ἐξελάθοντο μόθοιο·
οὐ γὰρ δὴ πέπρωτο δαμήμεναι Ἰλίου ἄστυ,
πρίν γε Φιλοκτήταο βίην ἐς ὅμιλον Ἀχαιῶν
ἐλθέμεναι πολέμοιο δαήμονα δακρυόεντος.
καὶ τὸ μὲν ἢ ἀγαθοῖσιν ἐπεφράσατ' οἰωνοῖσιν,
ἠὲ καὶ ἐν σπλάγχνοισιν ἐσέδρακεν· οὐ γὰρ ἄιδρις
μαντοσύνης ἐτέτυκτο· θεὸς δ' ὣς ᾔδεε πάντα.
τῷ πίσυνοι στονόεντος ἀποιχόμενοι πολέμοιο
Ἀτρεΐδαι προέηκαν ἐυκτιμένην ποτὶ Λῆμνον
Τυδέος ὄβριμον υἷα μενεπτόλεμόν τ' Ὀδυσῆα
νηὶ θοῇ. τοὶ δ' αἶψα ποτὶ πτόλιν Ἡφαίστοιο
ἤλυθον Αἰγαίοιο διὰ πλατὺ χεῦμα θαλάσσης,
Λῆμνον ἐς ἀμπελόεσσαν, ὅπῃ πάρος αἰνὸν ὄλεθρον
ἀνδράσι κουριδίοισιν ἐμητίσαντο γυναῖκες
ἔκπαγλον κοτέουσαι, ἐπεί σφεας οὔ τι τίεσκον,
ἀλλὰ δμωιάδεσσι παρευνάζοντο γυναιξὶ
Θρηικίῃς, τὰς δουρὶ καὶ ἠνορέῃ κτεάτισσαν
πέρθοντές ποτε γαῖαν ἀρηιφίλων Θρηίκων·
αἱ δὲ μέγα ζήλοιο περὶ κραδίῃσι πεσόντος
θυμὸν ἀνοιδήσαντο, φίλους δ' ἀνὰ δώματ' ἀκοίτας
κτεῖνον ἀνηλεγέως ὑπὸ χείρεσιν, οὐδ' ἐλέησαν
κουριδίους περ ἐόντας· ἐπεὶ μέγα μαίνεται ἦτορ
ἀνέρος ἠδὲ γυναικός, ὅτε ζηλήμονι νούσῳ
ἀμφιπέσῃ· κρατεραὶ γὰρ ἐποτρύνουσιν ἀνῖαι·

330 *ἠγαθέοισιν v, ἤ ῥα θοοῖσιν bl, ἢ ἀγαθοῖσιν spk ἐπέφρασεν v, -φράσατ' blk* (*ἐπήισεν* et *ὑπ' ἔχραεν* temptav. *k*) 331 *ἐπέδρακεν v, ἐσέδρ.* ex *Pego* 336 *οἱ v, τοὶ splk* 341 *ἀλλ' ἄρα δμ. k* 342 *-κίαις v, -κίῃς tlk* 347 *ἐπεί ῥ' ἀπαναίνεται v, ἐπεί ῥ' ἀγριαίν.* ci. *p*, *ἐπεὶ μάλα μαίνεται sp, ἐ. μέγα μ. k*

ἀλλ' αἵ μὲν σφετέροισιν ἐπ' ἀνδράσι πῆμα βάλοντο
νυκτὶ μιῇ, καὶ πᾶσαν ἐχηρώσαντο πόληα
παρθέμεναι φρεσὶ θυμὸν ἀταρβέα καὶ μέγα κάρτος.
  οἱ δ' ὅτε δὴ Λήμνοιο πέδον κίον ἠδὲ καὶ ἄντρον
λαΐνεον, τόθι κεῖτο πάις Ποίαντος ἀγαυοῦ,
δὴ τότ' ἄρά σφισι θάμβος ἐπήλυθεν, εὖτ' ἐσίδοντο
ἀνέρα λευγαλέῃσιν ἐπιστενάχοντ' ὀδύνῃσι
κεκλιμένον στυφελοῖο κατ' οὔδεος· ἀμφὶ δ' ἄρ' αὐτῷ
οἰωνῶν πτερὰ πολλὰ περὶ λεχέεσσι κέχυντο·
ἄλλα δέ οἱ συνέραπτο περὶ χροΐ χείματος ἄλκαρ
λευγαλέου· δὴ γάρ μιν ἐπὴν ἕλε λιμὸς ἀτερπής,
βάλλεν ἀάσχετον ἰόν, ὅπῃ νόος ἰθύνεσκε·
καὶ τὰ μὲν ἂρ κατέδαπτε, τὰ δὲ   *   *
    *   *   *   τά θ' ἕλκεος οὐλομένοιο
ἀμφετίθει καθύπερθε μελαίνης ἄλκαρ ἀνίης.
αὐαλέαι δέ οἱ ἀμφὶ κόμαι περὶ κρατὶ κέχυντο
θηρὸς ὅπως ὀλοοῖο, τὸν ἀργαλέης δόλος ἄγρης
μάρψῃ νυκτὸς ἰόντα θοοῦ ποδός, ὃς δ' ὑπ' ἀνάγκης
τειρόμενος ποδὸς ἄκρον ἀταρτηροῖσιν ὀδοῦσι

350 *αἵδε A*, *αἵγε hbk*, *αἵ μὲν* ex *P ego*   *πῆμ' ἐβάλ. v*, corr. k^1 in praef. k^2 351 *ἐχειρ. P*   353 *λῆμνον κίον ἠδὲ κ. ἄ. κοῖλον A*, *ἄ. ἵκανον* vel *ἵκοντο r*, *ἄ. ἔδυνον tl*, *Λῆμνόν τε κίον καὶ ἐπ' ἄντρον ἔβαινον k* ol , *Λῆμνον κοίλην κ. ἠ. κ. ἄ. g*, *Λῆμνον* sequente lacuna ['qua navem ad litus appulsam et locatam, vela demissa esse etc. solito more expositum fuit'] *κοῖλον κ. ἠ. κ. ἄ. k*, *ἠδ' * * ἄντρον ποτὶ κοῖλον h*, *κρημνὸν κοῖλον κ. ἠ. κ. ἄ.* st^2, *Λήμνοιο κ. ἤδε κ. ἄ.* (omisso *κοῖλον*) *P*, *Λήμνοιο πέδον* (an *ῥίον*?) *ego*   356 *σιν P*   361 *βάλλων ἄσχετον v* (commate post *νόος* pos.), *βάλλεν ἀάσχ. sck*   362 *κ. τὰ δ' ἕ. οὐλ. v*, lacunam esse statuerunt ante h. v. *k* olim et *n* ('dictum erat Philoctetam etiam herbas operose conquisivisse'), post h. v. *hk* [velut *εἴ τινά που δρέψαιτο τυχὼν θελκτήρια φύλλα*], post *κατέδαπτε ego* [velut *τὰ δὲ πτερά οἱ περίβαλλε· | φύλλα δέ οἱ παρέκειτο, τά θ'*]
367 *-οῦσιν P*

3 ὑπ-ερέπτω (von unten wegfressen) heimlich, innerlich nagen (von Gewissensbissen)

4 Felslöcher – 5 hohl machen, aushöhlen 6 ὑπο-βιβρώσκω unterwärts fressen, in etwas hineinfressen

κόψας εἰς ἑὸν ἄντρον ἀφίκεται, ἀμφὶ δέ οἱ κῆρ
τείρει ὁμοῦ λιμός τε καὶ ἀργαλέαι μελεδῶναι·
ὣς τὸν ὑπὸ σπέος εὐρὺ κακὴ περιδάμνατ' ἀνίη·
καί οἱ πᾶν μεμάραντο δέμας, περὶ δ' ὀστέα μοῦνον
ῥινὸς ἔην, ὀλοὴ δὲ παρηίδας ἀμφέχυτ' αὐχμὴ[2]
λευγαλέον ῥυπόωντος. ἀνιηρὸν δέ μιν ἄλγος
δάμνατο· κοῖλαι δ' ἔσκον ὑπ' ὀφρύσιν ἀνδρὸς ὀπωπαὶ
αἰνῶς τειρομένοιο· γόος δέ μιν οὔ ποτ' ἔλειπεν,
οὕνεκά οἱ μέλαν ἕλκος, ἐς ὀστέον ἄχρις ἱκέσθαι,
πυθόμενον καθύπερθε λυγραὶ ὑπέρεπτον[3] ἀνῖαι.
ὡς δ' ὅτ' ἐπὶ προβολῇσι πολυκλύστοιο θαλάσσης
πέτρην παιπαλόεσσαν ἀπειρεσίης ἁλὸς ἅλμη
δάμναθ' ὑποτμήγουσα μάλα στερεήν περ ἐοῦσαν,
θεινομένης δ' ἄρα τῆς ἀνέμῳ καὶ χείματι λάβρῳ
χηραμὰ[4] κοιλαίνονται[5] ὑποβρωθέντα[6] θαλάσσῃ·
ὣς τοῦ ὑπίχνιον[7] ἕλκος ἀέξετο πυθομένοιο
ἰοῦ ἄπο, στυφελοῖς τόν οἱ ἐνομόρξατ'[8] ὀδοῦσι
λυγρὸς ὕδρος, τόν φασιν ἀναλθέα τε στυγερόν τε
ἔμμεναι, ὁππότε μιν τέρσῃ περὶ χέρσον ἰόντα
ἠελίοιο μένος· τῷ καὶ μέγα φέρτατον ἄνδρα
τεῖρε δυσαλθήτοισιν[9] ὑποδμηθέντ' ὀδύνῃσιν·
ἐκ δέ οἱ ἕλκεος αἰὲν ἐπὶ χθόνα λειβομένοιο

369 τε om. *A*, add. *rP* 372 παρηϊάδος ἀ. ἀϋτμὴ *A*, π. ἄμφεχ' ἀ. *C*¹*r* (παρηίδας), παρηϊάδος ἀμφέχ' αὐχμὴ *P*, παρηίδας ἀμφέχυτ' αὐχμὴ *dtlk* 373 λευγαλέη *AP*, em. *r* 374 κ. ἴδεσκον *hg*, δάμνατ'· ἔσαν δ' ἄρα κ. *ego* temptavi 375 οὔτι λίπεν *A*, οὔπω τι λεῖπεν *V*, οὔποτε λ. *PE*¹*rtl*, οὔποτ' ἔλ. *k* 376 sq. cum in v. 377 καθύπερθε· λυγραὶ δ' ὑ. scriptum esset, in fine h. v. ἵκανεν scr. *rspl*, vel μέλεν pro μέλαν *r* et *k* olim, οὕνεχ' οἱ ἕ. ἔμελλεν *t*; lacunae signa *h* consentiente post v. 376 pos. *k*, *ego* καθύπερθε λυγραὶ ὑ. ἀ. scripsi 381 κύματι *v*, χείματι *k* 382 -σσης *v*, -σσῃ *lkP* 384 ἰ. ἀπὸ στυφελοῖο *v*, ἰ. ἀ. στυγεροῖο *p*, ἰ. ἄπο στυγεροῦ *h*, ἰ. ἄπο στυφελοῖς *kl* (vel ὕπο *k*)

7 unter den Füßen. — 8 ἐν-ομόργνυμι darin abdrücken. —

9 schwer zu heilen —

ἰχῶρος πεπάλακτο πέδον πολυχανδέος ἄντρου,
θαῦμα μέγ' ἀνθρώποισι καὶ ὕστερον ἐσσομένοισι.
καί οἱ πὰρ κλισίην φαρέτρη παρεκέκλιτο μακρὴ
ἰῶν πεπληθυῖα· πέλοντο δ' ἄρ' οἱ μὲν ἐς ἄγρην,
οἱ δ' ἐς δυσμενέας, τοὺς ἄμφεχε λοίγιον ὕδρου
φάρμακον αἰνομόροιο· πάροιθε δέ οἱ μέγα τόξον
κεῖτο πέλας (γναμπτοῖσιν ἀρηρέμενον κεράεσσι,
χερσὶν ὑπ' ἀκαμάτῃσι τετυγμένον Ἡρακλῆος.)
τοὺς δ' ὁπότ' εἰσενόησε ποτὶ σπέος εὐρὺ κιόντας,
ἐσσυμένως ὥρμηνεν ἐπ' ἀμφοτέροισι τανύσσαι
ἀλγινόεντα βέλεμνα χόλου μεμνημένος αἰνοῦ,
οὕνεκά μιν τὸ πάροιθε μέγα στενάχοντα λίποντο
μοῦνον ἐρημαίοισιν ἐπ' αἰγιαλοῖσι θαλάσσης.
καί νύ κεν αἶψ' ἐτέλεσσεν, ἅ οἱ θρασὺς ἤθελε θυμός,
εἰ μή οἱ στονόεντα χόλον διέχευεν Ἀθήνη
ἀνέρας εἰσορόωντος ὁμήθεας· οἱ δέ οἱ ἄγχι
ἤλυθον· ἀχνυμένοισιν ἐοικότε· καί ῥά μιν ἄμφω
ἄντρου ἔσω κοίλοιο παρεζόμενοι ἑκάτερθεν
ἕλκεος ἀμφ' ὀλοοῖο καὶ ἀργαλέων ὀδυνάων
εἴροντ'· αὐτὰρ ὁ τοῖσιν ἑὰς διεπέφραδ' ἀνίας.
οἱ δέ ἑ θαρσύνεσκον· ἔφαντο δέ οἱ λυγρὸν ἕλκος
ἐξ ὀλοοῖο μόγοιο καὶ ἄλγεος ἰήσασθαι,
ἢν στρατὸν εἰσαφίκηται Ἀχαιικόν, ὅν ῥα καὶ αὐτὸν
φάντο μέγ' ἀσχαλάαν παρὰ νήεσιν ἠδὲ καὶ αὐτοὺς
Ἀτρείδας ἅμα τοῖσι· κακῶν δέ οἱ οὔ τιν' Ἀχαιῶν
αἴτιον ἔμμεν ἔφαντο κατὰ στρατόν, ἀλλ' ἀλεγεινὰς

392 παρέκειτό γε *v*, παρεκέκλιτο *kspP* 393 ἐπ' *v*, ἐς ex *P ego* 394 ἄμπεχε *v*, ἄμφεχε *C*[1]*k* 396 -άμενον *v*, -έμενον *ego* 399 οἴμησεν *v*, οἴμηνεν *E*[1], ὥρμησεν *p*, ὥρμηνεν *st*[2]*P* 402 ὑπ' *AP*, em. *r* 409 ἤροντ' *v*, εἴρ. *rsplk* 412 εἰ *A*, ἢν *E*[1]*P* 414 κακὸν *AP*, -οῦ *brrtl*, -ῶν *k* 415 κατὰ στρατὸν om. *A*, suppl. *brrtlk*, exhibet *P*

Μοίρας, ὧν ἑκὰς οὔ τις ἀνὴρ ἐπινίσσεται αἶαν,
ἀλλ' αἰεὶ μογεροῖσιν ἐπ' ἀνδράσιν ἀπροτίοπτοι
στρωφῶντ' ἤματα πάντα, βροτῶν γένος ἄλλοτε μέν που
βλάπτουσαι κατὰ θυμὸν ἀμείλιχον, ἄλλοτε δ' αὖτε
ἔκποθε κυδαίνουσαι· ἐπεὶ μάλα πάντα βροτοῖσι
κεῖναι (καὶ στονόεντα καὶ ἤπια) μηχανόωνται,
αὐταὶ ὅπως ἐθέλουσιν. ὁ δ' εἰσαΐων Ὀδυσῆος
ἠδὲ καὶ ἀντιθέου Διομήδεος αὐτίκα θυμὸν
ῥηιδίως κατέπαυσεν ἀνιηροῖο χόλοιο
ἔκπαγλον τὸ πάροιθε χολούμενος, ὅσσ' ἐπεπόνθει.
  οἵ δέ μιν αἶψ' ἐπὶ νῆα καὶ ἠιόνας βαρυδούπους
καγχαλόωντες ἔνεικαν ὁμῶς σφετέροισι βελέμνοις·
καί ῥά οἱ ἀμφεμάσαντο δέμας καὶ ἀμείλιχον ἕλκος
σπόγγῳ ἐυτρήτῳ, κατὰ δ' ἔκλυσαν ὕδατι πολλῷ.
ἀμπνύνθη δ' ἄρα τυτθόν· ἄφαρ δέ οἱ ἐγκονέοντες
δόρπον ἐὺν τεύξαντο μεμαότι· σὺν δὲ καὶ αὐτοὶ
δαίνυντ' ἔνδοθι νηός. ἐπήλυθε δ' ἀμβροσίη νύξ.
τοῖσι δ' ἐφ' ὕπνος ὄρουσε· μένον δ' ἄχρις Ἠριγενείης
ἀμφιάλου Λήμνοιο παρ' ἠόσιν. αὐτὰρ ἅμ' ἠοῖ
πείσμαθ' ὁμῶς εὐνῇσιν ἐυγνάμπτοισιν ἄειραν
ἔκτοθεν ἐγκονέοντες· ἐπιπροέηκε δ' Ἀθήνη
ἐξόπιθεν πνείοντα τανυπρῴρου νεὸς οὖρον.
ἱστία δ' αἶψ' ἐτάνυσσαν ὑπ' ἀμφοτέροισι πόδεσσι,
νῆα κατιθύνοντες ἐύζυγον· ἡ δ' ὑπ' ἰωῇ
ἔσσυτ' ἐπὶ πλατὺ χεῦμα· μέλαν δ' ἀμφέστενε κῦμα
ῥηγνύμενον, πολιὸς δὲ περίζεε πάντοθεν ἀφρός·

417 *αἰὲν v, αἰεὶ kP* 418 *μένος v, γένος* ex *Pego* 420 *-θι k, εἴ ποθι lb* *μέγα v, μάλα bsplkP* 421 *κεῖναι* *στ. A, καὶ* add. *rtlkP* 422 *αὐτὰρ AP*, em. *r* 430 *ἀμπνύσθη v, -ύνθη st¹lblk* 431 *ἐν AP, σὺν tlk* 435 *πεῖσμα θοῶς v, πείσμαθ' ὁμῶς Pierson st²lk* 436 *ἔκτοθεν v, ἔκποθεν k* 438 *ἐπ'* ci. *r* 441 *πολιὸν VP*

ἀμφὶ δέ οἱ δελφῖνες ἀολλέες ἐσσεύοντο
ῥίμφα διαπρήσσοντες ἁλὸς πολιοῖο κέλευθα.
οἱ δ᾽ ἄφαρ Ἑλλήσποντον ἐπ᾽ ἰχθυόεντ᾽ ἀφίκοντο,
ἧχι καὶ ἄλλαι νῆες ἔσαν· κεχάροντο δ᾽ Ἀχαιοί,
ὡς ἴδον, οὓς ποθέεσκον ἀνὰ στρατόν. οἱ δ᾽ ἄρα νηὸς
ἀσπασίως ἀπέβησαν· ἔχεν δ᾽ ἄρα χεῖρας ἀραιὰς
Ποίαντος θρασὺς υἱὸς ἐπ᾽ ἀνέρας, οἵ ῥά μιν ἄμφω
λυγρὸν ἐπισκάζοντα ποτὶ χθόνα δῖαν ἄγεσκον
ἀμφοτέρων κρατερῇσιν ἐπικλινθέντα χέρεσσιν·
ἠΰτ᾽ ἐνὶ ξυλόχοισιν· ἐς ἥμισυ μέχρι κοπεῖσαν
φηγὸν ὑφ᾽ ὑλοτόμοιο βίης ἢ πίονα πεύκην
τυτθὸν ἔθ᾽ ἑστηυῖαν, ὅσον λίπε δρυτόμος ἀνὴρ
πρέμνον ὑποτμήγων λιπαρόν, δάος ὄφρα πέληται
πίσσα πυρὶ δμηθεῖσα κατ᾽ οὔρεα, τὴν δ᾽ ἀλεγεινῶς
ἀχθομένην ἄνεμός τε καὶ ἀδρανίη ποτικλίνῃ
ἔρνεσιν εὐθαλέεσσι, φέρουσι δέ μιν βαρέουσαν· 456[a]
ὣς ἄρ᾽ ὑπ᾽ ἀτλήτῳ βεβαρημένον ἄλγεϊ φῶτα
θαρσαλέοι ἥρωες ἐπικλινθέντα φέρεσκον
Ἀργείων ἐς ὅμιλον ἀρήιον· οἱ δ᾽ ἐσιδόντες
ᾤκτειραν μάλα πάντες ἑκηβόλον ἀνέρα λυγρῷ
ἕλκεϊ τειρόμενον. τὸν δὲ στερεὸν καὶ ἄνουσον
ὠκύτερον ποίησε νοήματος αἰψηροῖο
ἶσος ἐπουρανίοις Ποδαλείριος, εὖ μὲν ὕπερθε
πάσσων φάρμακα πολλὰ καθ᾽ ἕλκεος, εὖ δὲ κικλήσκων

443 κῦμα *v*, ὦκα *p*, ὑγρὰ *sp*, ῥίμφα *hk* (κοῦφα *k* olim) 444 ἄρ᾽ ἐς *AP*, ἄφαρ *rtlk*, οἳ δέ οἱ *h* 453 ἐπεστηυῖαν *AP*, ἐφεστηκυῖαν *tl*, ἔθ᾽ ἑστηκ. *r*, ἔθ᾽ ἑστηυῖαν *k* 454 πρέμνου *P* 455 περιδμ. *A*, περιτμ. ci. *r*, πυρὶ δμ. *VPtlk*. lacunam esse post κατ᾽ οὔρεα ['arbores duae validae prope adstantes sustinent'] censuit *st*[2], ante κατ᾽ οὔρεα lacunae signa pos. *k* 456 τε om. *AP*, add. *Vr* 456[a] h. v. ubique omissum ex *P* addidi 462 ποίησεν· ὅδ᾽ ἥματος *AP*, em. *r* 463 -θεν *v*, -θε *k*

οὔνομα πατρὸς ἑοῖο· θοῶς δ' ἰάχησαν Ἀχαιοὶ
πάντες κυδαίνοντες ὁμῶς Ἀσκληπιοῦ υἷα·
καί μιν φαιδρύναντο καὶ ἀμφί ἑ χρῖσαν ἐλαίῳ
προφρονέως· ὀλοὴ δὲ κατηφείη καὶ ὀιζὺς
ἀθανάτων ἰότητι κατέφθιτο· τοὶ δ' ἀνὰ θυμὸν
τέρποντ' εἰσορόωντες· ὁ δ' ἄμπνυεν ἐκ κακότητος·
ἀχροίῃ δ' ἄρ' ἔρευθος ἐπήλυθεν, ἀργαλέῃ δὲ
ἀδρανίῃ μέγα κάρτος· ἀέξετο δ' ἄψεα πάντα·
ὡς δ' ὁπότ' ἀλδαίνηται ἐπὶ σταχύεσσιν ἄρουρα,
ἥν τὸ πάρος φθινύθουσαν ἐπέκλυσε χείματος αἰνοῦ
ὄμβρος ἐπιβρίσας, ἡ δ' ἀλδομένη ἀνέμοισι
μειδιάᾳ τεθαλυῖα πολυκμήτῳ ἐν ἀλωῇ·
ὣς ἄρα τειρομένοιο Φιλοκτήταο πάροιθε
πᾶν δέμας αἶψ' ἀνέθηλεν· ἐυτροχάλῳ δ' ἐνὶ κοίλῃ
κάλλιπε κήδεα πάντα, τά οἱ περιδάμνατο θυμόν.
Ἀτρεΐδαι δ' ὁρόωντες ἅτ' ἐκ θανάτου ἀνιόντα
ἀνέρα θαυμάζεσκον· ἔφαντο γὰρ ἔμμεναι ἔργον
ἀθανάτων· τὸ δ' ἄρ' ἦεν ἐτήτυμον, ὡς ἐνόησαν·
καὶ γάρ οἱ μέγεθός τε καὶ ἀγλαΐην κατέχευεν
ἐσθλὴ Τριτογένεια· φάνη δ' ἄφαρ, οἷος ἔην περ
τὸ πρὶν ἐν Ἀργείοισι, πάρος κακότητι δαμῆναι.
καὶ τότ' ἄρ' ἐς κλισίην Ἀγαμέμνονος ἀφνειοῖο
πάντες ὁμῶς οἱ ἄριστοι ἄγον Ποιάντιον υἷα,
καί μιν κυδαίνοντες ἐπ' εἰλαπίνῃσι γέραιρον.
ἀλλ' ὅτε δὴ κορέσαντο ποτοῦ καὶ ἐδητύος ἐσθλῆς,
δὴ τότε μιν προσέειπεν ἐυμμελίης Ἀγαμέμνων·

465 δέ οἱ ἰ. *A*, δ' ἰ. *rP* 467 ἀμφὶς ἔχρ. *v*, ἀμφί ἑ χρ. *hlk* 469 οἱ *v*, οἳ *P*, τοὶ *spk* 470 ἐν κακότητι *P* 471 γὰρ *v*, δ' ἄρ' *k* 474 ἀπέκλ. *AP*, em. *r* 475 ἀλθ. *v*, ἀλδ. *spk* 482 γὰρ *A*, δ' ἄρ' *E¹Pr* 484 φάνεν δέ ἑ *v*, φάνεσκεν δ' οἷος *lbsp*, φάνη δ' ἄφαρ *k*

„ὦ φίλ', ἐπειδή πέρ σε θεῶν ἰότητι πάροιθε
Λήμνῳ ἐν ἀμφιάλῳ λίπομεν (βλαφθέντε νόημα)
μὴ δὴ νῦν χόλον αἰνὸν ἐνὶ φρεσὶ σῇσι βαλέσθαι·
οὐ γὰρ ἄνευ μακάρων τόδ' ἐρέξαμεν, ἀλλά που αὐτοὶ
ἤθελον ἀθάνατοι νῶιν κακὰ πολλὰ βαλέσθαι
σεῦ ἀπονόσφιν ἐόντος, ἐπεὶ περίοιδας ὀιστοῖς
δυσμενέας δάμνασθαι, ὅτ' ἀντία σεῖο μάχονται.
* * * * * *
πᾶσαν ἀν' ἤπειρον πέλαγός τ' ἀνὰ μακρὸν ἄιστοι
Μοιράων ἰότητι πολυσχιδέες τε πέλονται,
πυκναί τε σκολιαί τε, τετραμμέναι ἄλλυδις ἄλλη·
τῶν δὲ δι' αἰζηοὶ φορέονθ' ὑπὸ δαίμονος Αἴσῃ,
εἰδόμενοι φύλλοισιν ὑπὸ πνοιῆς ἀνέμοιο
σευομένοις· ἀγαθὸς δὲ κακῇ ἐνέκυρσε κελεύθῳ
πολλάκις, οὐκ ἐσθλὸς δ' ἀγαθῇ· τὰς δ' οὔτ' ἀλέασθαι,
οὔτ' ἄρ' ἑκών τις ἑλέσθαι ἐπιχθόνιος δύνατ' ἀνήρ·
χρὴ δὲ σαόφρονα φῶτα, καὶ ἢν φορέηθ' ὑπ' ἀέλλαις
οἴμην ἀργαλέην, στερεῇ φρενὶ τλῆναι ὀιζύν.
ἀλλ' ἐπεὶ ἀασάμεσθα καὶ ἠλίτομεν τόδε ἔργον,
ἐξαῦτις δώροισιν ἀρεσσόμεθ' ἀπλήτοισι,
(Τρώων ἤν ποθ' ἕλωμεν ἐυκτίμενον πτολίεθρον·)
νῦν δὲ λάβ' ἑπτὰ γυναῖκας ἐείκοσί τ' ὠκέας ἵππους
ἀθλοφόρους τρίποδάς τε δυώδεκα, τοῖς ἔπι θυμὸν

491 -θεν *v*, -θε *kP* 493 μηδ' ἡμῖν *v*; ante h. v. lacunam esse cens. *pt*, post h. v. lacunae signa pos. *k* [velut μηδ' ἄλλῳ τινὶ φωτὶ κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν]; μὴ δ' ἡμῖν *hw*, μὴ δὴ νῦν *ego* 494 τάδ' *v*, τόδ' *ego* 496 πέρι οἶδας *P* 498 sensus ne hiaret, *r* versum finxit ἀνδράσι γὰρ βιότοιο πολυπλάγκτοιο κέλευθοι, quem v. in ordinem rec. *t*, eiecit *l*; maioris lacunae signa pos. *k* 501 ἄλλῃ *At*, ἄλλη *klP* 502 αἶσαν *v*, αἴσῃ *spl*, Αἴσῃ *k* 504 -μένων *AP*, -μένοις em. *r* 507 ἀέλλης *v*, -αις k^1 in praef. k^2, φορέηται ὑπ' αἴσης ci. *p* 512 δ' ἑπτὰ *A*, δὲ δὴ ἑ. *P*, δὲ λάβ' ἑ. *rtlk* ἐείκοσι δ' *v*, corr. *k*

τέρψεις ἤματα πάντα· καὶ ἐν κλισίῃσιν ἐμῇσιν
αἰεί τοι παρὰ δαιτὶ γέρας βασιλήιον ἔσται.“
ὣς εἰπὼν ἥρωι πόρεν περικαλλέα δῶρα.
τὸν δ' ἄρα Ποίαντος προσέφη κρατερόφρονος υἱός·
„ὦ φίλος, οὔ τοι ἐγὼν ἔτι χώομαι, οὐδὲ μὲν ἄλλῳ
Ἀργείων, εἴ πού τις ἔτ' ἤλιτεν εἵνεκ' ἐμεῖο·
οἶδα γάρ, ὡς στρεπτὸς νόος ἀνδράσι γίνεται ἐσθλοῖς,
οὐδ' αἰεὶ χαλεπὸν θέμις ἔμμεναι οὐδ' ἀσύφηλον,
ἀλλ' ὁτὲ μὲν σμερδνὸν τελέθειν, ὁτὲ δ' ἤπιον εἶναι.
νῦν δ' ἴομεν ποτὶ κοῖτον, ἐπεὶ χατέοντι μάχεσθαι
βέλτερον ὑπνώειν ἢ ἐπὶ πλέον εἰλαπινάζειν.“
ὣς εἰπὼν ἀπόρουσε καὶ ἐς κλισίην ἀφίκανε
σφῶν ἑτάρων· οἱ δ' αἶψα φιλοπτολέμῳ βασιλῆι
εὐνὴν ἐντύνοντο μέγα φρεσὶ καγχαλόωντες·
αὐτὰρ ὅ γ' ἀσπασίως κατελέξατο μέχρις ἐς ἠῶ.
νὺξ δ' ἀνεχάσσατο δῖα· φάος δ' ἐρύθηνε κολώνας
ἠελίου, καὶ πάντα βροτοὶ περιποίπνυον ἔργα.
Ἀργεῖοι δ' ὀλοοῖο μέγ' ἱέμενοι πολέμοιο,
οἱ μὲν δούρατα θῆγον ἐύξοα, τοὶ δὲ βέλεμνα,
ἄλλοι δ' αἰγανέας· ἅμα δ' ἠοῖ δαῖτα πένοντο
αὐτοῖς ἠδ' ἵπποισι· πάσαντο δὲ πάντες ἐδωδήν.
τοῖσιν δὴ Ποίαντος ἀμύμονος ὄβριμος υἱὸς
τοῖον ἔπος μετέειπεν ἐποτρύνων πονέεσθαι·
„εἰ δ' ἄγε δὴ πολέμοιο μεδώμεθα· μηδέ τις ἡμέων
μιμνέτω ἐν νήεσσι, πάρος κλυτὰ τείχεα λῦσαι
Τροίης εὐπύργοιο καταπρῆσαί τε πόληα.“

519 *Ἀ., εἴ τις ἔτ' ἤντεεν A*; *Ἀ., τῷ εἴ τις ἔτ' ἤ. E*[1]*V*; *Ἀ., εἰ γέ τις ἔτ' ἤ. P*; *εἴπου τις ἔτ' ἤλιτεν rtl*, *εἰ καί τις ἔτ' ἤλ.* ci. *t*, *τῶν εἴ τις ἔτ' ἤλ. k* 520 *τρεπτός AP*, em. *r* *ἀ. πέλεται ἐ. A*, *πέλεται νόος ἀνδράσιν ἐ. rt*, *ν. ἀ. γίνεται ἐ. E*[1]*Pkl* 528 *ἐπ' v*, *ἐς* ex *Pego* 537 *δὴ* omissum in libris add. *r* et *Neumann*, *νῦν rtlk* 539 *κέλευθα A*, *πόληα VPE*[1]*edd.*

ὣς φάτο· τοῖσι δὲ θυμὸς ὑπὸ κραδίῃ μέγ' ἰάνθη·
δῦσαν δ' ἐν τεύχεσσι καὶ ἀσπίσιν· ἐκ δ' ἄρα νηῶν
πανσυδίῃ μελίῃσι κεκασμένοι ἐσσεύοντο
καὶ βοέοις σακέεσσι καὶ ἀμφιφάλοις κορύθεσσιν·
ἄλλος δ' ἄλλον ἔρειδε κατὰ στίχας· οὐδέ κε φαίης
κείνων ἐσσυμένων ἑκὰς ἔμμεναι ἄλλον ἀπ' ἄλλου·
ὣς ἄρ' ἴσαν θαμινοὶ καὶ ἀρηρότες ἀλλήλοισιν.

542 βελέεσσι v, δοράτεσσι sp, μελίῃσι k (βελίῃσι P)
546 ἔσαν v, ἴσαν (sp) k -σι v, -σιν ex P ego

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

Τρῶες δ᾽ αὖτ᾽ ἔκτοσθεν ἔσαν Πριάμοιο πόληος
πάντες σὺν τεύχεσσι καὶ ἅρμασιν ἠδὲ καὶ ἵπποις
ὠκυτάτοις· καῖον γὰρ ἀποκταμένους ἐνὶ χάρμῃ
δειδιότες, μὴ λαὸς ἐπιβρίσειεν Ἀχαιῶν.
τοὺς δ᾽ ὡς οὖν ἐσίδοντο ποτὶ πτόλιν ἀίσσοντας,
ἐσσυμένως κταμένοισι χυτὸν περὶ σῆμα βάλοντο
σπερχόμενοι· δεινὸν γὰρ ὑποτρομέεσκον ἰδόντες.
τοῖσι δ᾽ ἄρ᾽ ἀχνυμένοισιν ὑπὸ φρεσὶ μῦθον ἔειπε
Πουλυδάμας, ὁ γὰρ ἔσκε λίην πινυτὸς καὶ ἐχέφρων·
„ὦ φίλοι, οὐκέτ᾽ ἀνεκτὸς ἐφ᾽ ἡμῖν μαίνεται Ἄρης·
ἀλλ᾽ ἄγε δὴ φραζώμεθ᾽, ὅπως πολέμοιό τι μῆχος
εὕρωμεν· Δαναοὶ γὰρ ἐπικρατέουσι μένοντες.
νῦν δ᾽ ἄγε δὴ πύργοισιν ἐυδμήτοις ἐπιβάντες
μίμνωμεν νύκτας τε καὶ ἤματα δηριόωντες,
εἰς ὅ κε δὴ Δαναοὶ Σπάρτην ἐρίβωλον ἵκωνται,
ἢ αὐτοῦ παρὰ τεῖχος ἀκηδήσωσι μένοντες
ἀκλεὲς ἑζόμενοι· ἐπεὶ οὐ σθένος ἔσσεται αὐτοῖς

6 *σῆμ᾽ ἐβάλ. v, σῆμα βάλ. kP* 8 *θυμὸν ἔειπε P* 9 an *εὔφρων?* 13 *-τμήτοισιν A, -γμήτοις P, -δμήτοις rtlk* (vel *-κμήτοις r*) 17 *αὐτῶν v, -οῖς rpk*

ῥῆξαι τείχεα μακρά, καὶ εἰ μάλα πολλὰ κάμωσιν·
οὐ γὰρ ἀβληχρὰ θεοῖσι τετεύχαται ἄφθιτα ἔργα.
οὐδέ τί που βρώμης ἐπιδευόμεθ' οὐδὲ ποτῆτος·
πολλὰ γὰρ ἐν Πριάμοιο πολυχρύσοιο μελάθροις
ἔμπεδον εἴδατα κεῖται, ἅ περ πολέεσσι καὶ ἄλλοις
πολλὸν ἐπὶ χρόνον ἔσσετ' ἀγειρομένοισιν ἐδωδὴ
ἐς κόρον, εἰ καὶ ἔτ' ἄλλος ἐελδομένοισιν ἵκηται
τρὶς τόσος ἐνθάδε λαὸς ἀρηγέμεναι μενεαίνων."
ὣς φάτο· τὸν δ' ἐνένιπε θρασὺς πάις Ἀγχίσαο·
„Πουλυδάμα, πῶς γάρ σε σαόφρονά φασι τετύχθαι,
ὃς κέλεαι ποτὶ δηρὸν ἀνὰ πτόλιν ἄλγεα πάσχειν;
οὐ γὰρ ἀκηδήσουσι πολὺν χρόνον ἐνθάδ' Ἀχαιοί,
ἀλλ' ἔτ' ἐπιβρίσουσιν ἀλευομένους ἐσιδόντες·
νῶιν δ' ἔσσεται ἄλγος ἀποφθιμένων ἐνὶ πάτρῃ,
ἤν πως ἐνθάδε πολλὸν ἐπὶ χρόνον ἀμφιμάχωνται·
οὐ γάρ τις Θήβηθε μελίφρονα σῖτον ὀπάσσει
ἧμιν, ἐπὴν εἰρχθῶμεν ἀνὰ πτόλιν, οὐδέ τις οἴσει
οἶνον Μαιονίηθεν· ἀνιηρῇ δ' ὑπὸ λιμῷ
φθισόμεθ' ἀργαλέως, εἰ καὶ μέγα τεῖχος ἀμύνει.
ἀλλ' εἰ μὲν θάνατόν τε κακὸν καὶ κῆρας ἀλύξαι,
μηδ' ἄρ' ὀιζυρῶς θανέειν πολυαχθέι λιμῷ
μέλλομεν, εἶν ἔντεσσι σὺν ἡμετέροις τεκέεσσι
καὶ γεραροῖς πατέρεσσι μαχώμεθα· καί ῥά ποθι Ζεὺς
χραισμήσει· κείνου γὰρ ἀφ' αἵματός εἰμεν ἀγαυοῦ·

20 -δεύμενοι *AP*, -δευόμεθ' *rtlk* 26 -σπε *v* (et *k* errore), correxi 28 ποτὶ δῆριν *AP*, περὶ δῆριν *sp*, ποτὶ δηρὸν *rtlk*, πέρι δ. *st*², μάλα δ. *n* 30 ἀλλ' ἐπιβρ. *A*, ἀλλ' ἔτ' ἐπιβρ. *rbrscP*, ἀλλά γ' ἐπ. *t*, ἀλλ' ἄρ' ἐπ. *bspk*, ἀλλ' ἐπιβρίσουσιν μέγ' (*k*)*l* 32 πουλὺν *v*, πολλὸν *ego* ἔτι *v*, ἐπὶ *splk* 35 -ρῷ *v*, -ρή *P*, -ρῇ *ego* 36 μάλα *v*, μέγα ex *P ego* 37 οἵ μὲν *P* 38 ἢ δ' *A*, εἰ δ' *kP*, μήδ' *tl*, μηδ' *st*² πολυαχέϊ θυμῷ *AP*, -αχθέι λιμῷ *rtlst*², -ηχέι μώλῳ *k*

εἰ δέ κεν ἂρ καὶ κείνῳ ἀπεχθόμενοι τελέθωμεν,
εὐκλειῶς τάχ' ὀλέσθαι ἀμυνομένους περὶ πάτρης
βέλτερον, ἠὲ μένοντας ὀιζυρῶς ἀπολέσθαι."
ὣς φάτο· τοὶ δ' ἄρα πάντες ἐπίαχον εἰσαΐοντες.
αἶψα δὲ δὴ κορύθεσσι καὶ ἀσπίσι καὶ δοράτεσσι
φράχθεν ἐπ' ἀλλήλους· ἐπὶ δ' ἀκαμάτου Διὸς ὄσσε
δέρκετ' ἀπ' Οὐλύμποιο κορυσσομένους ἐς Ἄρηα
Τρῶας ἐπ' Ἀργείοισιν· ἔγειρε δὲ θυμὸν ἑκάστου,
ὄφρα μάχην ἀλίαστον ἐπ' ἀμφοτέροισι τανύσσῃ
λαοῖς· ἦ γὰρ ἔμελλεν Ἀλέξανδρος θανέεσθαι
χερσὶ Φιλοκτήταο πονεύμενος ἀμφ' ἀλόχοιο.
τοὺς δ' ἄγεν εἰς ἕνα χῶρον Ἔρις μεδέουσα κυδοιμοῦ
οὔ τινι φαινομένη· περὶ γὰρ νέφος ἄμφεχεν ὤμους
αἱματόεν· φοίτα δὲ μέγαν κλονέουσα κυδοιμὸν
ἄλλοτε μὲν Τρώων ἐς ὁμήγυριν, ἄλλοτ' Ἀχαιῶν·
τὴν δὲ Φόβος καὶ Δεῖμος ἀταρβέες ἀμφεπένοντο
πατροκασιγνήτην κρατερόφρονα κυδαίνοντες·
ἡ δὲ μέγ' ἐξ ὀλίγοιο κορύσσετο μαιμώωσα·
τεύχεα δ' ἐξ ἀδάμαντος ἔχεν πεπαλαγμένα λύθρῳ·
πάλλε δὲ λοίγιον ἔγχος ἐς ἠέρα· τῆς δ' ὑπὸ ποσσὶ
κίνυτο γαῖα μέλαινα· πυρὸς δ' ἄμπνειεν ἀυτμὴν
σμερδαλέον· μέγα δ' αἰὲν ἀύτεεν ὀτρύνουσα
αἰζηούς· οἳ δ' αἶψα συνήιον ἀρτύνοντες
ὑσμίνην· δεινὴ γὰρ ἄγεν θεὸς ἐς μέγα ἔργον.
τῶν δ' ὥς τ' ἢ ἀνέμων ἰαχὴ πέλε λάβρον ἀέντων

42 δέ οἱ ἂρ AP, δέ που r, δέ τοι pt, δέ κεν $hsplk$ κακείνῳ AP, καὶ κείνῳ kl θανέωμεν v, τελέθωμεν spk 43 μέγ' v, τάχ' kl 44 ἢ μείναντας v, ἠὲ μένοντας $(C^1)kP$ 45 τὸν δ' v, τῷ δ' rk, τοὶ δ' r 53 μεδ. κυδοιμὸν A, μ. κυδοιμοῦ $rtlP$, μεθέπουσα κυδοιμὸν k 54 ὤμοις v, -ους $splk$ 62 ἄμπνυεν v, -εεν P, -ειεν k^2 63 -λέον vP, -έου k (vel -έην) 64 ὀτρύν. v, ἀρτύν. $wsplk$ 66 δ' ὡς ἀ. A, δ' ὥς που ἀ. E^1tsp, δ' ὡς ἢ hlk, δ' ὥστ' ἢ ex $Pego$

εἴαρος ἀρχομένου, ὅτε δένδρεα μακρὰ καὶ ὕλη
φύλλα φύει, ἢ ὡς ὅτ᾽ ἀν᾽ ἀζαλέην ξύλοχον πῦρ
αἰθόμενον βρομέει, ἢ ὡς μέγα πόντος ἀπείρων
μαίνεται ἐξ ἀνέμοιο δυσηχέος, ἀμφὶ δὲ ῥοῖβδος
γίνετ᾽ ἀπειρέσιος, τρομέει δ᾽ ὑπὸ γούνατα ναυτέων·
ὣς τῶν ἐσσυμένων μέγ᾽ ὑπέβραχε γαῖα πελώρη·
ἐν δέ σφιν πέσε δῆρις, ἐπ᾽ ἄλλῳ δ᾽ ἄλλος ὄρουσε.
πρῶτος δ᾽ Αἰνείας Δαναῶν ἕλεν Ἁρπαλίωνα
υἱὸν Ἀριζήλοιο, τὸν Ἀμφινόμη τέκε μήτηρ
γῇ ἔνι Βοιωτῶν, ὁ δ᾽ ἅμα Προθοήνορι δίῳ
ἐς Τροίην ἵκανεν ἀμυνέμεν Ἀργείοισι·
τόν ῥα τότ᾽ Αἰνείας ἁπαλὴν ὑπὸ νηδύα τύψας
νοσφίσατ᾽ ἐκ θυμοῖο καὶ ἡδέος ἐκ βιότοιο.
τῷ δ᾽ ἐπὶ Θερσάνδροιο δαΐφρονος υἷα δάμασσεν
Ὕλλον ἐυγλώχινι βαλὼν κατὰ λαιμὸν ἄκοντι,
ὃν τέκε δῖ᾽ Ἀρέθουσα παρ᾽ ὕδασι Ληθαίοιο
Κρήτῃ ἐν ἀμφιάλῳ· μέγα δ᾽ ἤκαχεν Ἰδομενῆα.
αὐτὰρ Πηλείδαο πάις δυοκαίδεκα φῶτας
Τρώων αὐτίκ᾽ ὄλεσσεν ὑπ᾽ ἔγχεϊ πατρὸς ἑοῖο·
Κέβρον μὲν πρώτιστα καὶ Ἅρμονα Πασίθεόν τε
Ἰσμηνόν τε καὶ Ἰμβράσιον Σχεδίον τε Φλέγυην τε
Μνήσαιόν τ᾽ ἐπὶ τοῖσι καὶ Ἔννομον Ἀμφίνομόν τε

68. 69 *ἠδ᾽ v*, *ἢ hlk*   *ὥςτ᾽ ἀνὰ ζαλέης ξύλοχον* | *πῦρ τρομέει* (*βρομέει VE*[1]) *αἰθόμενον A*, *ὥστ᾽ ἄν ἀζαλέης ξυλόχοιο* | *π. βρ. αἰθ. P*, *ὥστε δι᾽ ἀ. ξ.* | *π. βρέμει αἰθ. rt*, *ὡς ὅτ᾽ ἀν᾽ ἀζαλέην ξύλοχον πῦρ* | *αἰθ. βρομέει hsplk*   *ἠδ᾽ v*, *ἢ hlk* 73 *ἄλλον v*, *ἄλλῳ wsplk*   *-σεν P*   76 *ἐν AP*, em. *r* 81 *Ὑΐαλον ἀγλ. A*, *ὕαλον εὐγλ. P*, *Ὑΐ. εὐγλ. rt*, *Ὕλλον ἐυγλ. kspl* 86 *πρώτιστα καὶ Ἀρίωνα AP* (*-ίονα P*), *πρῶτον κ. Ἀρίονα rtl*, *πρώτιστα κ. Ἅρμονα* (vel *Αἵμονα*) *k*   87 *Ὑσμινόν v*, *ὑσμηνόν E*[1], *ἴσμηνόν P*, *Ἰσμηνόν ego*   *ὑμβρ. A*, *Ὑβρ. E*[1], *Ἰμβρ. rP*   *χέδιόν AP*, *Σχέδιόν splk*, *Σχεδίον ls*, *Φλέγυν E*[1]*P* (an recte?) 88 *σμνήσ. P*   *Εὔνομον v*, *Ἔννομον* ex *E*[1]*P ego*   *Ἀμφίνοόν k*

καὶ Φάσιν ἠδὲ Γαληνόν, ὃς οἰκία ναιετάασκε
Γαργάρῳ αἰπεινῇ, μετὰ δ' ἔπρεπε μαρναμένοισι
Τρωσὶν ἐυσθενέεσσι, κίεν δ' ἅμ' ἀπείρονι λαῷ
ἐς Τροίην· μάλα γάρ οἱ ὑπέσχετο πολλὰ καὶ ἐσθλὰ
Δαρδανίδης Πρίαμος δώσειν περικαλλέα δῶρα,
νήπιος· οὐδ' ἄρ' ἐφράσσαθ' ἑὸν μόρον· ἦ γὰρ ἔμελλεν
ἐσσυμένως ὀλέεσθαι ὑπ' ἀργαλέου πολέμοιο,
πρὶν δόμον ἐκ Πριάμοιο περικλυτὰ δῶρα φέρεσθαι.
  καὶ τότε Μοῖρ' ἀίδηλος ἐπέτραπεν Ἀργείοισιν
Εὐρυμένην, ἕταρον κρατερόφρονος Αἰνείαο.
ὦρσε δέ οἱ μέγα θάρσος ὑπὸ φρένας, ὄφρα δαμάσσας
πολλοὺς αἴσιμον ἦμαρ ἀναπλήσῃ ὑπ' ὀλέθρῳ.
δάμνατο δ' ἄλλοθεν ἄλλον ἀνηλέι θηρὶ ἐοικώς·
οἱ δέ οἱ αἶψ' ὑπόεικον ἐφ' ὑστατίῃ βιότοιο
αἰνὸν μαιμώωντι καὶ οὐκ ἀλέγοντι μόροιο·
καί νύ κεν ἔργον ἔρεξεν ἀπείριτον ἐν δαῒ κείνῃ,
εἰ μή οἱ χεῖρές τ' ἔκαμον καὶ δούρατος αἰχμὴ
πάμπαν ἀνεγνάμφθη· ξίφεος δέ οἱ οὐκέτι κώπη
ἔσθενεν· ἀλλά μιν Αἶσα διέκλασε· τὸν δ' ὑπ' ἄκοντι
τύψε κατὰ στομάχοιο Μέγης· ἀνὰ δ' ἔβλυσεν αἷμα
ἐκ στόματος· τῷ δ' αἶψα σὺν ἄλγεϊ Μοῖρα παρέστη.
  τοῦ δ' ἄρ' ἀποκταμένοιο δύω θεράποντες Ἐπειοῦ
Δηιλέων τε καὶ Ἀμφίων ἀπὸ τεύχε' ἑλέσθαι

89 Γαηνὸν *v*, Γαλ. *rsplk*   σκεν *v*, -σκε *k*   91 ἐρισθ. *v*, ἐυσθ. *spk*   ἅμα πίονι *v*, ἅμ' ἀπείρ. *r spkl*   94 οὐ γὰρ *v*, οὐδ' ἄρ' *spkP*   96 δόμου *v*, δόμον *k*   97 ἐπέχραεν *AP*, ἐπέτραπεν *rtlk*   101 κηρὶ *VP*   102 sq. μιν αἶψ' ὑπόεικον ὑφ' ὑ. β. | ἀ. μαιμώωντα κ. οὐκ ἀλέγοντα *AP*, οἱ . . ἐφ' ὑ. β. | ἀ. μαιμώωντι . . ἀλέγοντι *rtl*, μιν οὐχ ὑπέμειναν ἐφ' ὑ. β. | ἀ. μαιμώωντα κ. οὐκ ἀλέγοντα *k*   μόθοιο *v*, μόροιο *kP*   104 κείνῳ *AP*, -ῃ *rtlk*, κεῖνος E^1 105 τε κάμον *v*, τ' ἔκ. *ego*   106 πολλὸν *v*, πάμπαν *k*   107 διέκλασεν· ἀλλ' *AP*, -σε· τὸν *rtlk*

ὥρμαινον· τοὺς δ' αὖτε θρασὺ σθένος Αἰνείαο
δάμνατο μαιμώωντας ὀιζυρῶς περὶ νεκρῷ·
ὡς δ' ὅτ' ἐν οἰνοπέδῳ τις ἐπαΐσσοντας ὀπώρῃ
σφῆκας τερσομένῃσι περὶ σταφυλῇσι δαμάσσῃ,
οἵ δ' ἄρ' ἀποπνείουσι, πάρος γεύσασθαι ὀπώρης·
ὣς τοὺς αἶψ' ἐδάμασσε, πρὶν ἔντεα ληίσσασθαι.
Τυδείδης δὲ Μένοντα καὶ Ἀμφίνοον κατέπεφνεν
ἄμφω ἀμύμονε φῶτε. Πάρις δ' ἕλε Δημολέοντα
Ἱππασίδην, ὃς πρόσθε Λακωνίδα γαῖαν ἔναιε
πὰρ προχοῇς ποταμοῖο βαθυρρόου Εὐρώταο,
ἤλυθε δ' ἐς Τροίην ὑπ' ἀρηιθόῳ Μενελάῳ·
καί ἑ Πάρις κατέπεφνε τυχὼν ὑπὸ μαζὸν ὀιστῷ
δεξιόν, ἐκ δέ οἱ ἦτορ ἀπὸ μελέων ἐκέδασσε.
Τεῦκρος δὲ Ζέχιν εἷλε περικλυτὸν υἷα Μέδοντος,
ὅς ῥά τε ναιετάασκεν ἐνὶ Φρυγίῃ πολυμήλῳ
ἄντρον ὕπο ζάθεον καλλιπλοκάμων Νυμφάων,
ἧχί ποτ' Ἐνδυμίωνα παρυπνώοντα βόεσσιν
ὑψόθεν ἀθρήσασα κατήλυθε δῖα Σελήνη
οὐρανόθεν· δριμὺς γὰρ ἄγεν πόθος ἠιθέοιο
ἀθανάτην περ ἐοῦσαν ἀκήρατον, ἧς ἔτι νῦν περ
εὐνῆς σῆμα τέτυκται ὑπὸ δρυσίν· ἀμφὶ γὰρ αὐτῇ
ἐκκέχυτ' ἐν ξυλόχοισι βοῶν γλάγος· οἱ δέ νυ φῶτες
θηεῦντ' εἰσέτι κεῖνο· τὸ γὰρ μάλα τηλόθι φαίης

112 ἠδ' *AP*, τοὺς δ' em. *r* 113 -οντας *v*, -ωντας *kP* 114 ὅτε οἰν. *A*, ὅτ' οἰν. *P*, ὅτ' ἐν οἰν. em. *r* 115 παρὰ *v*, περὶ *spk* 123 καί ῥ' ὁ *A*, καί ῥ' ἑ *tl*, καί ἑ *rkP* 126 -άεσκεν *v*, -άασκεν *splk* ὑπὸ Φρυγίην πολύμηλον *v*, ἐνὶ Φρυγίῃ πολυμήλῳ *k* (vel πάρος Φρυγίην πολύμηλον) 131 πονέουσαν ἧς *A*, π. ἐτείρετο ἧς $V^1 V^2$, π. sequente lacuna *hytk*, περ ἐοῦσαν sequente lacuna [velut ἐτείρετο δ' ἂρ φίλον ἦτορ | πρὶν κείνῳ φιλότητι μιγήμεναι] *Orelli l*, περ ἐοῦσαν una voce omissa [velut ἐφημέρου] *hw*, περ ἐοῦσαν ἀκήρατον ex *Pego* 132 δ' ἄρ' *v*, γὰρ *pk* 134 τηλόθε?

ἔμμεναι εἰσορόων πολιὸν γάλα, κεῖνο δ' ἴησι
λευκὸν ὕδωρ, καὶ βαιὸν ἀπόπροθεν ὁππόθ' ἵκηται,
πήγνυται ἀμφὶ ῥέεθρα, πέλει δ' ἄρα λάινον οὖδας.
Ἀλκαίῳ δ' ἐπόρουσε Μέγης Φυλήιος υἱός·
καί ῥά μιν ἀσπαίρουσαν ὑπὸ κραδίην ἐπέρησεν
ἐγχείῃ· τοῦ δ' ὦκα λύθη πολυήρατος αἰών·
οὐδέ μιν ἐκ πολέμοιο πολυκλαύτοιο μολόντα
καί περ ἐελδόμενοι μογεροὶ δέξαντο τοκῆες,
Φύλλις ἐύζωνος καὶ Μάργασος, οἵ ῥ' ἐνέμοντο
Ἁρπάσου ἀμφὶ ῥέεθρα διειδέος, ὅς τ' ἀλεγεινῶς
Μαιάνδρῳ κελάδοντα ῥόον καὶ ἀπείριτον οἶδμα
συμφέρετ' ἤματα πάντα λάβρῳ περὶ χεύματι θύων.
Γλαύκου δ' ἐσθλὸν ἑταῖρον ἐυμμελίην Σκυλακῆα
υἱὸς Ὀιλῆος σχεδὸν οὔτασεν ἀντιόωντα
βαιὸν ὑπὲρ σάκεος· διὰ δὲ πλατὺν ἤλασεν ὦμον
αἰχμὴ ἀνιηρή· περὶ δ' ἔβλυσεν αἷμα βοείῃ.
ἀλλά μιν οὔ τι δάμασσεν, ἐπεί ῥά ἑ μόρσιμον ἦμαρ
δέχνυτο νοστήσαντα φίλης παρὰ τείχεσι πάτρης·
εὖτε γὰρ Ἴλιον αἰπὺ θοοὶ διέπερσαν Ἀχαιοί,
δὴ τότ' ἄρ' ἐκ πολέμοιο φυγὼν Λυκίην ἀφίκανεν
οἶος ἄνευθ' ἑτάρων· τὸν δ' ἄστεος ἄγχι γυναῖκες
ἀγρόμεναι τεκέων σφετέρων ὕπερ ἠδὲ καὶ ἀνδρῶν
εἴρονθ'· ὃς δ' ἄρα τῇσι μόρον κατέλεξεν ἁπάντων·

135 *κεῖδ' ἴησι A*, *κεῖνο δ' ἴ. VE*[1]*r* (vel *κεῖθε δ' ἴ. r*), *κ. δ' ἴ. Pk*, *εἰ δ' ἐπίησθα k* olim et *l* (vel *εἰ δ' ἐπίης τι k*), *κὰδ δὲ ἴησι dt* 136 *ἵκηται v*, *ἵκηαι rpl*(*k* olim) 139 *καί μιν ἀεὶ σπ. v*, *καί ῥά μιν ἀσπ. kl* 143 *Φύλαϊς εὔξ. At*, *Φυλαίς εὔζ. P*, *Φύλλις ἐύζ. rsplk* 144 *οὗ v*, *οὐδ' P*, *ὃς δ' lw*, *ὅς τ' ego* *ἀλεγεινῷ vk* (vel *-ὸν lw*), *-ῶς* (*k* ci.) *ego* nunc, *κελαδεινῷ* ci. *rh*, *ἐρατεινῷ* ci. *p*, *πολυκύκλῳ* vel *-πλάγκτῳ* vel *-κάμπτῳ* vel *παλινόστῳ* ci. *k*, *πολυγύρῳ ego* antehac *-δοντι* ci. *k*, *χλοάοντα* ci. *h* 151 *οἱ A*, *ἑ rP* 155 *ἄνευ v*, *ἄνευθ' lk*

αἵ δ' ἄρα χερμαδίοισι περισταδὸν ἀνέρα κεῖνον
δάμναντ', οὐδ' ἀπόνητο μολὼν ἐς πατρίδα νόστου,
ἀλλά ἑ λᾶες ὕπερθε μέγα στενάχοντα κάλυψαν·
καί ῥά οἱ ἐκ βελέων ὀλοὸς περὶ τύμβος ἐτύχθη
πὰρ τέμενος καὶ σῆμα κραταιοῦ Βελλεροφόντου,
Τλῷ ἔνι, κυδαλίμης Τιτηνίδος ἀγχόθι πέτρης·
ἀλλ' ὁ μὲν αἴσιμον ἦμαρ ἀναπλήσας ὑπ' ὀλέθρῳ
ὕστερον ἐννεσίῃσιν ἀγαυοῦ Λητοΐδαο
τίεται ὥς τε θεός, φθινύθει δέ οἱ οὔ ποτε τιμή.
Ποίαντος δ' ἐπὶ τοῖσι πάις κτάνε Δηιονῆα
ἠδ' Ἀντήνορος υἱὸν ἐυμμελίην Ἀκάμαντα·
ἄλλων δ' αἰζηῶν ὑπεδάμνατο πουλὺν ὅμιλον·
θῦνε γὰρ ἐν δηίοισιν ἀτειρέι ἶσος Ἄρηι
ἢ ποταμῷ κελάδοντι, ὃς ἕρκεα μακρὰ δαΐζει
πλημμύρων, ὅτε λάβρον ὀρινόμενος περὶ πέτρῃς
ἐξ ὀρέων ἀλεγεινὰ μεμιγμένος ἔρχεται ὄμβρῳ,
ἀέναός περ ἐὼν καὶ ἀγάρροος, οὐδέ νυ τόν γε
εἴργουσιν προβλῆτες ἀάσπετα παφλάζοντα·
ὣς οὔ τις Ποίαντος ἀγακλειτοῦ θρασὺν υἷα
ἔσθενεν ὀφθαλμοῖσιν ἰδὼν καὶ ἄπωθε πελάσσαι·
ἐν γάρ οἱ στέρνοισι μένος περιώσιον ἦεν.
τεύχεσι δ' ἀμφεκέκαστο δαΐφρονος Ἡρακλῆος
δαιδαλέοις· περὶ γάρ οἱ ἐνὶ **ζωστῆρι** φαεινῷ
ἄρκτοι ἔσαν βλοσυραὶ καὶ ἀναιδέες, ἀμφὶ δὲ θῶες
σμερδαλέοι καὶ λυγρὸν ὑπ' ὀφρύσι μειδιόωσαι
πορδάλιες· τῶν δ' ἄγχι λύκοι ἔσαν ὀβριμόθυμοι

163 *τῷ ἔνι v* et sic *k* mutato ordine versuum 162 et 163, *γῇ ἔνι κυδαλίμῃ st*[2] olim, postea *τῷ ἔνι φυταλιῇ*; *Τλῷ ἔνι* (fortasse *κυδαλίμῃ*) *ego* 164 *ὀλέθρου v*, *-ῳ k* 172 *πέτρῃς AVPt*, *-ῃ E*[1]*sp*, *-ῃς kl* (*-αις k*[1] errore) 175 *-σιν v*, *-σι* ex *P ego* antehac 180 *ἐν AP*, em. *r*

καὶ σύες ἀργιόδοντες ἐυσθενέες τε λέοντες,
ἐκπάγλως ζωοῖσιν ἐοικότες· ἀμφὶ δὲ πάντῃ
ὑσμῖναι ἐνέκειντο μετ' ἀργαλέοιο φόνοιο·
δαίδαλα μέν οἱ τόσσα περὶ ζωστῆρα τέτυκτο.
ἄλλα δέ οἱ **γωρυτὸς** ἀπείριτος ἀμφεκέκαστο·
ἐν μὲν ἔην Διὸς υἱὸς ἀελλοπόδης Ἑρμείης
Ἰνάχου ἀμφὶ ῥέεθρα κατακτείνων μέγαν Ἄργον,
Ἄργον, ὃς ὀφθαλμοῖσιν ἀμοιβαδὸν ὑπνώεσκεν·
ἐν δὲ βίη Φαέθοντος ἀνὰ ῥόον Ἠριδανοῖο
βλήμενος ἐκ δίφροιο· καταιθομένης δ' ἄρα γαίης,
ὡς ἐτεόν, πεπότητο μέλας ἐνὶ ἠέρι καπνός·
Περσεὺς δ' ἀντίθεος βλοσυρὴν ἐδάιζε Μέδουσαν,
ἄστρων ἧχι λοετρὰ πέλει καὶ τέρματα γαίης
πηγαί τ' Ὠκεανοῖο βαθυρρόου, ἔνθ' ἀκάμαντι
ἠελίῳ δύνοντι συνέρχεται ἑσπερίη νύξ·
ἐν δὲ καὶ ἀκαμάτοιο μέγας πάις Ἰαπετοῖο
Καυκάσου ἠλιβάτοιο παρῃώρητο κολώνῃ
δεσμῷ ἐν ἀρρήκτῳ· κεῖρεν δέ οἱ αἰετὸς ἧπαρ
αἰὲν ἀεξόμενον· ὁ δ' ἄρα στενάχοντι ἐῴκει.
καὶ τὰ μὲν ἂρ τεύξαντο κλυταὶ χέρες Ἡφαίστοιο
ὀβρίμῳ Ἡρακλῆι· ὁ δ' ὤπασε παιδὶ φορῆναι
Ποίαντος, μάλα γάρ οἱ ὁμωρόφιος φίλος ἦεν.
  αὐτὰρ ὁ κυδιόων ἐνὶ τεύχεσι δάμνατο λαούς.
ὀψὲ δέ οἱ ἐπόρουσε Πάρις στονόεντας ὀιστοὺς
νωμῶν ἐν χείρεσσι μετὰ γναμπτοῖο βιοῖο
θαρσαλέως· τῷ γάρ ῥα συνήιεν ὕστατον ἦμαρ.

193 -μένου *VP* 194 παύσοιτο *A*, -ητο *VE*[1], καύσαιτο *rt*, κεκέδαστο *st*[1]*l*, περ ἄερτο *p*, περ ἄητο *k*, πεπότητο *spP* μέγας *v* (om. *P*), μέλας *hlspk* 197 πηγαὶ δ' *v*, πηγαί τ' *k* 206 ἐν *v*, ἐνὶ *k* 207 μετόρουσε *v*, ἐπόρ. *pk*

ἧκε δ' ἀπὸ νευρῆφι θοὸν βέλος· ἡ δ' ἰάχησεν
ἰοῦ ἀπεσσυμένοιο· τὸ δ' οὐχ ἅλιον φύγε χειρῶν·
καί ῥ' αὐτοῦ μὲν ἅμαρτεν ἀλευαμένου μάλα τυτθόν,
ἀλλ' ἔβαλεν Κλεόδωρον ἀγακλειτόν περ ἐόντα
βαιὸν ὑπὲρ μαζοῖο, διήλασε δ' ἄχρις ἐς ὦμον·
οὐ γὰρ ἔχεν σάκος εὐρύ, τό οἱ λυγρὸν ἔσχεν ὄλεθρον·
ἀλλ' ὅ γε γυμνὸς ἐὼν ἀνεχάζετο· τοῦ γὰρ ἀπ' ὤμων
Πουλυδάμας ἀπάραξε σάκος τελαμῶνα δαΐξας
βουπλῆγι στιβαρῷ· ὁ δ' ἐχάσσατο μαρνάμενός περ
αἰχμῇ ἀνιηρῇ· στονόεις δέ οἱ ἔμπεσεν ἰὸς
ἄλλοθεν ἀΐξας· ὣς γάρ νύ που ἤθελε δαίμων
θήσειν αἰνὸν ὄλεθρον ἐύφρονος υἱέι Λέρνου,
ὃν τέκετ' Ἀμφιάλη Ῥοδίων ἐν πίονι γαίῃ.
τὸν δ' ὡς οὖν ἐδάμασσε Πάρις στονόεντι βελέμνῳ,
δὴ τότε που Ποίαντος ἀμύμονος ὄβριμος υἱὸς
ἐμμεμαὼς θοὰ τόξα τιταίνετο καὶ μέγ' ἄυτει·
„ὦ κύον, ὡς σοὶ ἔγωγε φόνον καὶ κῆρ' ἀίδηλον
δώσω, ἐπεί νύ μοι ἄντα λιλαίεαι ἰσοφαρίζειν·
καί κεν ἀναπνεύσουσιν, ὅσοι σέθεν εἵνεκα λυγροῦ
τείροντ' ἐν πολέμῳ· τάχα γὰρ λύσις ἔσσετ' ὀλέθρου
ἐνθάδε σεῖο θανόντος, ἐπεί σφισι πῆμα τέτυξαι.“
ὣς εἰπὼν νευρὴν μὲν ἐύστροφον ἀγχόθι μαζοῦ
εἴρυσε, κυκλώθη δὲ κέρας, καὶ ἀμείλιχος ἰὸς
ἰθύνθη, τόξον δ' αἰνὴ ὑπερέσχεν ἀκωκὴ

210 *θοὸν* om. *A*, add. *rP* 211 *ἐπεσσ.* *AP*, *ἀπεσσ.* *rtlk.* *ὅδ'* *A*, *ὁ δ'* *Ptl*, *τὸ δ'* *rk* 212 *ἀλλ'* et 213 *καί ῥ'* *v*, transpos. *k* -*ομένου* *v*, -*αμένου* *spk* 216 *ἅμ' ὤμων* *P* 224 *δὴ τότε δὴ* *v*, *δ. τ. οἱ* *h*, *καὶ τ. δὴ* ci. *t*, *δὴ τ. που* *k* 225 *τιταίνων οἱ* *v*, *τιταίνετο καὶ* ex *P ego* 228 *ἀναπλεύσ.* *A*, -*πνεύσ.* *E*[1]*Pr* *λυγρῷ* *v*, -*οῦ* *k* 231 *μὲν* om. *AP*, add. *dspk*, *τάχ'* *rtl* 233 *δὲ αἰεὶ* *AP*, *δ' αἰεὶ* *Vtl*, *δ' αἰνὴ* *r*, *δὲ λιγεῖ* *sc*, *δ' ὀξεῖ* *h*, *δ' ἰοῦ* *k* ol., *δ' ἄκρη* *k*, *δ' ὑπερέσχεθεν αἰνὴ ἀ.* *sp*

τυτθὸν ὑπ' αἰζηοῖο βίῃ· μέγα δ' ἔβραχε νευρὴ
ἰοῦ ἀπεσσυμένοιο δυσηχέος· οὐδ' ἀφάμαρτε
δῖος ἀνήρ· τοῦ δ' οὔ τι λύθη κέαρ, ἀλλ' ἔτι θυμῷ
ἔσθενεν· οὐ γάρ οἱ τότε καίριος ἔμπεσεν ἰός,
ἀλλὰ παρέθρισε χειρὸς ἐπιγράβδην χρόα καλόν.
ἐξαῦτις δ' ὅ γε τόξα τιτύσκετο· τὸν δὲ παραφθὰς
ἰῷ ἐυγλώχινι βάλεν βουβῶνος ὕπερθε
Ποίαντος φίλος υἱός· ὁ δ' οὐκέτι μίμνε μάχεσθαι,
ἀλλὰ θοῶς ἀπόρουσε, κύων ὥς, ὅς τε λέοντα
ταρβήσας χάσσηται ἐπεσσύμενος τὸ πάροιθεν·
ὣς ὅ γε λευγαλέῃσι πεπαρμένος ἦτορ ἀνίῃς
χάζετ' ἀπὸ πτολέμοιο. συνεκλονέοντο δὲ λαοὶ
ἀλλήλους ὀλέκοντες· ἐν αἵματι δ' ἔπλετο δῆρις
κτεινομένων ἑκάτερθε· νεκροὶ δ' ἐπέκειντο νέκυσσι
πανσυδίῃ ψεκάδεσσιν ἐοικότες ἠὲ χαλάζῃ
ἢ χιόνος νιφάδεσσιν, ὅτ' οὔρεα μακρὰ καὶ ὕλην
Ζηνὸς ὑπ' ἐννεσίῃς Ζέφυρος καὶ χεῖμα παλύνει·
ὣς οἵ γ' ἀμφοτέρωθεν ἀνηλέι κηρὶ δαμέντες
ἀθρόοι ἀλλήλοισι δεδουπότες ἀμφεχέοντο.
αἰνὰ δ' ἀνεστενάχιζε Πάρις, περὶ δ' ἕλκεϊ θυμὸν
τείρετο· τὸν δ' ἀλύοντα τάχ' ἄμφεπον ἰητῆρες.
Τρῶες δ' εἰς ἑὸν ἄστυ κίον· Δαναοὶ δ' ἐπὶ νῆας
κυανέας ἀφίκοντο θοῶς· τοὺς γάρ ῥα κυδοιμοῦ
νὺξ ἀπέπαυσε μέλαινα, μόγον δ' ἐξείλετο γυίων
ὕπνον ἐπὶ βλεφάροισι πόνων ἀλκτῆρα χέασα.

234 ὑπὲρ μαζοῖο *V*, ὑπαὶ μ. V^3 238 χροὸς *AP*, φωτὸς *rtl*, χειρὸς *pk*   241 οὐκ ἔμιμνε *AP*, οὐκ ἔτ' ἔμ. *rt*, οὐκ ἔτι μίμνε *hl*, οὐκέτι μ. *k*   242 εὖτε *v*, ὅστε *k*   246 ἔσσυτο δῆρις ci. *k*   250 ἐννεσίῃ *v*, -ῃς *splk*   παλύνῃ *P*   251 οἳ *A*, οἱ *P*, οἵγ' *rtlk*   χειρὶ *AP*, Κηρὶ *rtlk*   254 μέγ' *v*, τάχ' *k*. ἀμφεχέοντ' ἰατῆρες *AP*, ἄμφεπον ἰητ. *tlk*   256 τοῦ *A*, τοὺς *dtlkP*   258 πόνον *v*, -ων ex *P ego*

ἀλλ᾽ οὐχ ὕπνος ἔμαρπτε θοὸν Πάριν ἄχρις ἐς ἠῶ·
οὐ γάρ οἵ τις ἄλαλκε λιλαιομένων περ ἀμύνειν
παντοίοις ἀκέεσσιν, ἐπεί ῥά οἱ αἴσιμον ἦεν
Οἰνώνης ὑπὸ χερσὶ μόρον καὶ κῆρας ἀλύξαι,
ἢν ἐθέλῃ. ὁ δ᾽ ἄρ᾽ αἶψα θεοπροπίῃσι πιθήσας
ἤιεν· οὐκ ἐθέλων· ὀλοὴ δέ μιν ἦγεν ἀνάγκη
κουριδίης εἰς ὦπα· λυγροὶ δέ οἱ ἀντιόωντες
κὰκ κορυφῆς ὄρνιθες ἀύτεον, οἱ δ᾽ ἀνὰ χεῖρα
σκαιὴν ἀίσσοντες· ὁ δέ σφεας ἄλλοτε μέν που
δείδιεν εἰσορόων, ὁτὲ δ᾽ ἀκράαντα πέτεσθαι
ἔλπετο· τοὶ δέ οἱ αἰνὸν ὑπ᾽ ἄλγεσι φαῖνον ὄλεθρον.
ἷξε δ᾽ ἐς Οἰνώνην ἐρικυδέα· τὸν δ᾽ ἐσιδοῦσαι
ἀμφίπολοι θάμβησαν ἀολλέες ἠδὲ καὶ αὐτὴ
Οἰνώνη· ὁ δ᾽ ἄρ᾽ αἶψα πέσεν παρὰ ποσσὶ γυναικός,

* * * * * *

ἀμφὶ μέλαιν᾽ ἐφύπερθε καὶ ἔνδοθι, μέχρις ἱκέσθαι
μυελὸν ἐς λιπόωντα δι᾽ ὀστέου, οὕνεκα νηδὺν
φάρμακον αἰνὸν ἔπυθε κατ᾽ οὐτάμενον χρόα φωτός.
τείρετο δὲ στυγερῇ βεβολημένος ἦτορ ἀνίῃ·
ὡς δ᾽ ὅτε τις νούσῳ τε καὶ ἀργαλέῃ μέγα δίψῃ
αἰθόμενος κραδίην ἀδινὸν κέαρ αὐαίνηται,
ὅν τε περιζείουσα χολὴ φλέγει, ἀμφὶ δὲ νωθὴς
ψυχή οἱ πεπότητ᾽ ἐπὶ χείλεσιν αὐαλέοισιν
ἀμφότερον βιότου τε καὶ ὕδατος ἱμείρουσα·
ὡς τοῦ ὑπὸ στέρνοισι καταίθετο θυμὸς ἀνίῃ·

263 ἔλθῃ *AP*, ἐθέλῃ *rtlk* (vel ἄλθῃ *r*) 265 δέ μιν *v*, δέ οἱ *psp*, γε μὲν *k* 269 εἴδετο *AP*, ἔλπ. *ptlk* 272 post h. v. lacunam esse [velut λυγρῇ ὑπ᾽ ὠτειλῇ δεδμημένος, ἥ οἱ ἄεξεν] omnes consentiunt; maioris lacunae signa pos. *k* 274 οὕνεκεν (οὔν. *P*) ἠύν *AP*, οὕνεκα νηδὺν *ptlk* 275 κατ᾽ οὐταμένου *tl* 276 βεβλημ. *v*, βεβολημ. *splk* 277 τε om. *AP*, add. *hlk*

καί ῥ' ὀλιγοδρανέων τοῖον ποτὶ μῦθον ἔειπεν·
„ὦ γύναι αἰδοίη, μὴ δή νύ με τειρόμενόν περ
ἐχθήρῃς, ἐπεὶ ἄρ σε πάρος λίπον ἐν μεγάροισι
χήρην, οὐκ ἐθέλων περ· ἄγον δέ με Κῆρες ἄφυκτοι
εἰς Ἑλένην, ἧς εἴθε πάρος λεχέεσσι μιγῆναι
σῇσιν ἐν ἀγκοίνῃσι θανὼν ἀπὸ θυμὸν ὄλεσσα.
ἀλλ' ἄγε, πρός τε θεῶν, οἵ τ' οὐρανὸν ἀμφινέμονται,
πρός τε τεῶν λεχέων καὶ κουριδίης φιλότητος,
ἤπιον ἔνθεο θυμόν, ἄχος δ' ἀλεγεινὸν ἄλαλκε
φάρμακ' ἀλεξήσοντα καθ' ἕλκεος οὐλομένοιο
θεῖσα, τά μοι μεμόρηται ἀπωσέμεν ἄλγεα θυμοῦ,
ἢν ἐθέλῃς· σῇσιν γὰρ ἐπὶ φρεσίν, εἴ τε σαῶσαι
μήδεαι ἐκ θανάτοιο δυσηχέος, εἴ τε καὶ οὐκί·
ἀλλ' ἐλέαιρε τάχιστα καὶ ὠκυμόρων σθένος ἰῶν
ἐξάκεσ', ἕως μοι ἔτ' ἀμφὶ μένος καὶ γυῖα τέθηλε·
μηδέ τί με ζήλοιο λυγροῦ μεμνημένη ἔμπης
καλλείψῃς θανέεσθαι ἀμειλίκτῳ ὑπὸ πότμῳ
πὰρ ποσὶ σοῖσι πεσόντα· Λιτῆς δ' ἀποθύμια ῥέξεις,
αἵ ῥα καὶ αὐταὶ Ζηνὸς ἐριγδούποιο θύγατρες
εἰσί, καὶ ἀνθρώποισιν ὑπερφιάλοις κοτέουσαι
ἐξόπιθε στονόεσσαν ἐπιθύνουσιν Ἐρινὺν
καὶ χόλον· ἀλλὰ σύ, πότνα, κακὰς ἀπὸ κῆρας ἔρυκε
ἐσσυμένως, εἰ καί τι παρήλιτον ἀφραδίῃσιν."
ὣς ἄρ' ἔφη· τῆς δ' οὔ τι φρένας παρέπεισε κελαινάς,
ἀλλά ἑ κερτομέουσα μέγ' ἀχνύμενον προσέειπε·
„τίπτέ μοι εἰλήλουθας ἐναντίον, ἥν ῥα πάροιθε
κάλλιπες ἐν μεγάροισιν ἀάσπετα κωκύουσαν

293 μοι om. *A*, add. *rP* 294 ὑπὸ *AP*, ἐπὶ *hytlk* 297 ὥς *v*, ἕως *spk* 299 ὑπ' ὀιστῷ *A*, ὑπὸ πότμῳ *VPtlk* 300 Λιταῖς *v*, -ῆς k^2 305 -μένου *AP*, -μένως VE^1r 308 -θεν *v*, -θε k^2 309 -σι μέγ' ἄσπ. *v*, -σι μάλ' ἄσπ. *p*, -σιν ἀάσπ. *bsplkP*

εἵνεκα Τυνδαρίδος πολυκηδέος, ᾗ παριαύων
τέρπεο καγχαλόων, ἐπεὶ ἦ πολὺ φερτέρη ἐστὶ
τῆς σέο κουριδίης· τὴν γὰρ φάτις ἔμμεν ἀγήρω·
κείνην ἐσσυμένως γουνάζεο, μηδέ νύ μοί περ
δακρυόεις ἐλεεινὰ καὶ ἀλγινόεντα παραύδα·
αἲ γάρ μοι μέγα θηρὸς ὑπὸ κραδίῃ μένος εἴη
δαρδάψαι σέο σάρκας, ἔπειτα δέ θ' αἷμα λαφύξαι,
οἷά με πήματ' ἔοργας ἀτασθαλίῃσι πιθήσας.
σχέτλιε, ποῦ νύ τοί ἐστιν ἐυστέφανος Κυθέρεια;
πῇ δὲ πέλει (γαμβροῖο λελασμένος) ἀκάματος Ζεύς;
τοὺς ἔχ' ἀοσσητῆρας· ἐμῶν δ' ἀποτῆλε μελάθρων
χάζεο, καὶ μακάρεσσι καὶ ἀνδράσι πῆμ' ἀλεγεινόν·
σεῖο γὰρ εἵνεκ', ἀλιτρέ, καὶ ἀθανάτους ἕλε πένθος,
τοὺς μὲν ἐφ' υἱωνοῖς, τοὺς δ' υἱάσιν ὀλλυμένοισιν.
ἀλλά μοι ἔρρε δόμοιο καὶ εἰς Ἑλένην ἀφίκανε,
ἧς σε χρεὼ νυκτός τε καὶ ἤματος ἀσχαλόωντα
τρύζειν πὰρ λεχέεσσι πεπαρμένον ἄλγεϊ λυγρῷ,
εἰς ὅ κέ σ' ἰήνειεν ἀνιηρῶν ὀδυνάων."
ὣς φαμένη γοόωντα φίλων ἀπέπεμπε μελάθρων,
νηπίη, οὐδ' ἄρ' ἐφράσσαθ' ἑὸν μόρον· ἦ γὰρ ἔμελλον
κείνου ἀποφθιμένοιο καὶ αὐτῇ Κῆρες ἕπεσθαι
ἐσσυμένως· ὣς γάρ οἱ ἐπέκλωσεν Διὸς Αἶσα.
τὸν δ' ἄρ' ἀπεσσύμενον λασίης ὑπὲρ ἄκριας Ἴδης
οἶμον ἐς ἐσχατιήν, ὅθι μιν μόρος αἰνὸς ἄγεσκε, 332a
λυγρὸν ἐπισκάζοντα καὶ ἀχνύμενον μέγα θυμῷ
Ἥρη τ' εἰσενόησε καὶ ἄμβροτον ἦτορ ἰάνθη
ἑζομένη κατ' Ὄλυμπον, ὅπῃ Διὸς ἔπλετ' ἀλωή.

311 ἐστὶν *v*, -ὶ *k*[2] 313 ἐσσύμενος *AP*, -μένως *rtlk* (λισσόμενος et ἐκχύμ. ci. *k*) 315 ὑπαὶ *v*, ὑπὸ *spk* 325 χρεὼν *v*, -ὼ *kP* 332 ἐπεσσ. *v*, ἀπεσσ. *kst*[2] 332[a] hunc v. ubique omissum ex *P* addidi 333 θυμὸν *V* 335 ἦχι *A*, ἤχι *P*, ὅπῃ em. *r*

καί ῥά οἱ ἀμφίπολοι πίσυρες σχεδὸν ἑδριόωντο,
τάς ποτ' ἄρ' Ἠελίῳ χαροπὴ δμηθεῖσα Σελήνη
γείνατ' ἀν' οὐρανὸν εὐρὺν ἀτειρέας οὐδὲν ὁμοίας
ἀλλήλης· μορφῇ δὲ διέκριθεν ἄλλη ἀπ' ἄλλης·

* * * * * *
* * * * * *
* * * * * *

ἡ δ' ἑτέρη χειμῶνι καὶ αἰγοκερῆι μέμηλε·
τέτρασι γὰρ μοίρῃσι βροτῶν διαμείβεται αἰών,
ἃς κεῖναι ἐφέπουσιν ἀμοιβαδόν. ἀλλὰ τὰ μέν που
αὐτῷ Ζηνὶ μέλοιτο κατ' οὐρανόν· αἱ δ' ὀάριζον,
ὁππόσα λοίγιος Αἶσα περὶ φρεσὶν οὐλομένῃσι
μήδετο, Τυνδαρίδος στυγερὸν γάμον ἐντύνουσα
Δηιφόβῳ, καὶ μῆνιν ἀνιηρὴν Ἑλένοιο
καὶ χόλον ἀμφὶ γυναικός, ὅπως τέ μιν υἷες Ἀχαιῶν
ἤμελλον μάρψαντες ἐν ὑψηλοῖσιν ὄρεσσι
χωόμενον Τρώεσσι θοὰς ἐπὶ νῆας ἄγεσθαι,
ὥς τέ οἱ ἐννεσίῃσι κραταιοῦ Τυδέος υἱὸς
ἑσπομένου Ὀδυσῆος ὑπὲρ μέγα τεῖχος ὀρούσας
Ἀλκαθόῳ στονόεντα φέρειν ἤμελλεν ὄλεθρον
ἁρπάξας ἐθέλουσαν ἐΰφρονα Τριτογένειαν,
ἥ τ' ἔρυμα πτόλιός τε καὶ αὐτῶν ἔπλετο Τρώων·

336 σχεδὸν om. *A*, add. *rP* 338 γείνατο *AP*, γείνατ' ἀν' em. *r* 339 ἀλλήλαις *v*, -ης k^{1} in praef. k^{2} μορφὴ *A*, -ῇ *rptlkP* (ῆ) 340 hunc v. ut insiticium uncis inclus. *tl*, et ante et post h. v. singulos versus excidisse [velut πρώτη μὲν θέρεος καματώδεος[2] ἔλλαχε μοῖραν, | ἡ δ' ἑτέρη . . ., | εἴαρι δ' αὖ τριτάτη, τετράτη δ' ἐπιτέρπετ' ὀπώρη·] iudicat *r*, unius versus defectum ante h. v. et duorum post h. v. significat *k*, *ego* trium versuum unam lacunam indicavi [καί ῥ' ἡ μὲν . ., | ἡ δ' ἄρα . ., | ἄλλη δ' αὖ . .] 341 γὰρ om. *A*, add. *rP* 343 μέδοντο *A*, μέδοντι *P*, μέλοιτο *rptk* 344 ὅππως *v*, ὁππόσ' $st^{2}k$ 346 μῆτιν *ptl*

οὐδὲ γὰρ οὐδὲ θεῶν τις ἀπειρέσιον χαλεπήνας
ἔσθενεν ὄλβιον ἄστυ διαπραθέειν Πριάμοιο
ἀθανάτης ἔμπροσθεν ἀκηδέος ἐμβεβαυίης·
οὐδέ οἱ ἄμβροτον εἶδος ἐτεκτήναντο σιδήρῳ
ἀνέρες, ἀλλά μιν αὐτὸς ἀπ' Οὐλύμποιο Κρονίων
κάββαλεν ἐς Πριάμοιο πολυχρύσοιο πόληα.
καὶ τὰ μὲν ὣς ὀάριζε Διὸς δάμαρ ἀμφιπόλοισιν,
ἄλλά τε πόλλ' ἐπὶ τοῖσι. Πάριν δ' ἄρα θυμὸς ἐν Ἴδῃ
κάλλιπεν, οὐδ' Ἑλένη μιν ἐσέδρακε νοστήσαντα·
ἀμφὶ δέ μιν Νύμφαι μέγ' ἐκώκυον, οὕνεκ' ἄρ' αὐτοῦ
εἰσέτι που μέμνηντο κατὰ φρένας, ὅσσα πάροιθεν
ἐξέτι νηπιάχοιο συναγρομένης ὀάριζε·
σὺν δέ σφιν μύροντο βοῶν θοοὶ ἀγροιῶται
ἀχνύμενοι κατὰ θυμόν· ἐπεστενάχοντο δὲ βῆσσαι.
καὶ τότε δὴ Πριάμοιο πολυτλήτοιο γυναικὶ
δεινὸν Ἀλεξάνδροιο μόρον φάτο βουκόλος ἀνήρ·
τῆς δ' ἄφαρ, ὡς ἐσάκουσε, τρόμῳ περιπάλλετο θυμός,
γυῖα δ' ὑπεκλάσθησαν· ἔπος δ' ὀλοφύρατο τοῖον·
„ὤλεό μοι, φίλε τέκνον, ἐμοὶ δ' ἐπὶ πένθεσι πένθος
κάλλιπες αἰὲν ἄφυκτον, ἐπεὶ πολὺ φέρτατος ἄλλων
παίδων ἔσκες ἐμεῖο μεθ' Ἕκτορα· τῷ νύ σε λυγρὴ
κλαύσομαι, εἰς ὅ κέ μοι κραδίῃ ἔνι πάλλεται ἦτορ·
οὐ γὰρ ἄνευ μακάρων τάδε πάσχομεν, ἀλλά τις Αἶσα
μήδετο λοίγια ἔργα, τὰ μὴ ὤφειλον ὀτλῆσαι,
ἀλλ' ἔθανον τὸ πάροιθεν ἐν εἰρήνῃ τε καὶ ὄλβῳ·

357 ἔντοσθεν *l* 362 δὲ *v*, τε *st*^{2}*k* 366 -οισι *A*, -ῃσι *dP*, -οιο *rtsplk* 373 πένθεϊ *v*, πένθεσι *k*^{2} 376 ἔνι om. *AP*, add. *r* (ἐνὶ) 378 ὤφελλ' ἐνόησα *AP*, ὤφειλ' ἐνόησα *r*, ὤφειλα νοῆσαι *d*, ὄφελον ἐνόησα *dtl*, ὤφελλον ὀτλῆσαι *g*, ὤφειλον ὀτλ. *k* 379 προπάρ. *v*, τὸ πάρ. *kl*. versus 380—384 post v. 376 transpos. *b*, post v. 379 lacunae signa [velut νῦν δ' ἐπὶ πήματι πῆμα μετ' ὄμμασι δέρκομαι αἰεί] pos. *k*

* * * * * *

ἐλπομένη καὶ ἔτ' ἄλλα κακώτερα θηήσασθαι,
παῖδας μὲν κταμένους, κεραϊζομένην δὲ πόληα
καὶ πυρὶ δαιομένην Δαναῶν ὕπο καρτεροθύμων,
σύν τε νυοὺς θύγατράς τε μετὰ Τρῳῇσι καὶ ἄλλῃς
ἑλκομένας ἅμα παισὶ δορυκτήτῳ ὑπ' ἀνάγκῃ.“
ὣς φάτο κωκύουσα· πόσις δέ οἱ οὔ τι πέπυστο·
ἀλλ' ὁ παρ' Ἕκτορος ἧστο τάφῳ ἐπὶ δάκρυα χεύων·
τὸν γὰρ δὴ τεκέων περὶ πάντων τῖε μάλιστα,
οὕνεκ' ἄριστος ἔην καὶ ἐρύετο δούρατι πάτρην·
τοῦ πέρι πευκαλίμας ἀχέων φρένας οὔ τι πέπυστο.
ἀλλ' Ἑλένη μάλα πολλὰ διηνεκέως γοόωσα
ἄλλα μὲν ἐν Τρώεσσιν ἀύτεεν, ἄλλα δέ οἱ κῆρ
ἐν κραδίῃ μενέαινε· φίλον δ' ἀνὰ θυμὸν ἔειπεν·
„ἆνερ, ἐμοὶ καὶ Τρωσὶ καὶ αὐτῷ σοὶ μέγα πῆμα,
ὤλεο λευγαλέως· ἐμὲ δ' ἐν στυγερῇ κακότητι
κάλλιπες ἐλπομένην ὀλοώτερα πήματ' ἰδέσθαι.
ὡς ὄφελόν μ' Ἅρπυιαι ἀνηρείψαντο πάροιθεν,
ὁππότε σοίγ' ἑπόμην ὀλοῇ ὑπὸ δαίμονος Αἴσῃ·
νῦν δ' ἄρα καὶ σοὶ πῆμα θεοὶ δόσαν ἠδ' ἐμοὶ αὐτῇ
αἰνομόρῳ· πάντες δέ μ' ἀάσπετον ἐρρίγασι,
πάντες δ' ἐχθαίρουσιν ἐμὸν κέαρ· οὐδέ πῃ οἶδα
ἐκφυγέειν· εἰ γάρ κε φύγω Δαναῶν ἐς ὅμιλον,
αὐτίκ' ἀεικίσσουσιν ἐμὸν δέμας· εἰ δέ κε μίμνω,
Τρῳαὶ καὶ Τρῶές με περισταδὸν ἄλλοθεν ἄλλοι
αἶψα διαρραίσουσι· νέκυν δ' οὐ γαῖα καλύψει,

383 ἄλλαις *v*, -ῃς *k*[1] in praef *k*[2] 386 γὰρ *v*, παρ' *k* 386[a] hunc v. ubique omissum ex *P* addidi 392 καί οἱ αὐτῷ *v*, καὶ οἷ αὐτῷ *spP*, κ. αὐτῷ τοι (*k* ol.) *l*[2], κ. αὐτῷ σοὶ *k* 396 σοι *v*, σοίγ' *spk* 398 με ἄσπ. *v*, μ' ἀάσπ. (*t*)*splk* 402 Τρῶες καὶ Τρωαί *k*[1]

ἀλλὰ κύνες δάψουσι καὶ οἰωνῶν θοὰ φῦλα·
ὡς ὄφελόν μ' ἕλεν Αἶσα, πάρος τάδε πήματ' ἰδέσθαι.“
ὣς ἔφατ', οὔ τι γοῶσα πόσιν τόσον, ὁππόσον αὐτῆς
μύρετ' ἀλιτροσύνης μεμνημένη· ἀμφὶ δὲ Τρῳαὶ
ὣς κεῖνον στενάχοντο, μετὰ φρεσὶ δ' ἄλλα μενοίνων,
αἳ μὲν ὑπὲρ τοκέων μεμνημέναι, αἳ δὲ καὶ ἀνδρῶν,
αἳ δ' ἄρ' ὑπὲρ παίδων, αἳ δὲ γνωτῶν ἐριτίμων.
οἴη δ' ἐκ θυμοῖο δαΐζετο κυδαλίμοιο
Οἰνώνη· ἀλλ' οὔ τι μετὰ Τρῳῇσιν ἐοῦσα
κώκυεν, ἀλλ' ἀπάνευθεν ἐνὶ σφετέροισι μελάθροις
κεῖτο βαρὺ στενάχουσα παλαιοῦ λέκτρῳ ἀκοίτεω.
οἵη δ' ἐν ξυλόχοισι περιτρέφεται κρύσταλλος
αἰπυτάτων ὀρέων, ἥ τ' ἄγκεα πολλὰ παλύνει
χευαμένη Ζεφύροιο καταιγίσιν· ἀμφὶ δὲ μακραὶ
ἄκριες ὑδρηλῇσι κατειβόμεναι λιβάδεσσι
δεύονθ'· ἡ δὲ νάπῃσιν ἀπειρεσίη περ ἐοῦσα
πίδακος ἐσσυμένης κρυερὸν περιτήκεται ὕδωρ·

405 *μ' ἐδαμάσσατο πάρος πήματ' A*, *μ' ἐδαμάσσαντο* E^1 *P*, *πάρος τάδε πήμ. rtlkP*, *μ' ἐδάμασσα rt*, *μ' ἐδάσαντο sc*, *ὥς μ' ὄφελον δαμάσαντο ego* olim, *μ' ἐδάμασσε* lacunae signis post h. v. positis [velut *Ἄρτεμις ἰοχέαιρα θοὸν βέλος ἰθύνουσα*] *k* (prob. *sp*), *μ' ἐδάμασσε μόρος* (v. *πότμος*) *πρὶν πήμ. k* olim, *μ' ἔδαμ' αἶσα l*, *μ' ἕλεν Αἶσα ego* 406 *οὔτι γοόωσα A*, *οὐ γ. dt*, *οὔτι γοῶσα khlP* (non *γοῶν*) *ὅσον αἰνῆς A*, *ὅσσον ἄρ' αἰνῆς r*, *ὅσσον ἄρ' αὐτῆς k* olim et *l*, *ὁππόσον αὐτῆς k*, *ὁππόσον αἰνῆς P* 407 *μύρατ'* E^1 408 *ὣς κεῖνον A*, *ὡς κείνη pdt*, *ὡς κεῖνον klP*; *δέσποιναν στ.* scribendum aut lacunam maiorem post v. 407 statuendam ['in qua comparatio aliqua inerat, ita ut hinc se adiungeret v. 408 sic fere exordiens *ὣς κεῖναι στ.*'] censet st^2 409 *αἰνὸν AP*, *αἳ μὲν r* *ἠδὲ* hic et 410 *v*, *ἤδε P*, *αἳ δὲ* bis *spl*, *αἳ δὲ k* 413 *κώκυσεν v*, *-υεν kP*, *κώκυσ' spl* 414 *βαρυστεν. v*, *περιστεν.* vel *-στοναχοῦσα* st^2 *λέκτρον v*, *λέκτρῳ ego* 415 *-στρέφεται AP*, *-στέφ. r*, *-τρέφ. sctlk* 417 post *καταιγίσιν* lacunae signa pos. *k* [velut *ἣ δ' ἄρ' ὑπ' εὔρῳ | ἠελίῳ τε χιὼν κατατήκεται*] 419 *σεύονθ' v*, *δεύονθ' kP*

ὣς ἥ γ' ἀσχαλόωσα μέγα στυγερῇ ὑπ' ἀνίῃ
τήκετ' ἀκηχεμένη πόσιος πέρι κουριδίοιο.
αἰνὰ δ' ἀναστενάχουσα φίλον προσελέξατο θυμόν·
„ὤ μοι ἀτασθαλίης, ὤ μοι στυγεροῦ βιότοιο,
ἣ πόσιν ἀμφαγάπησα δυσάμμορον, ᾧ σὺν ἐώλπειν
γήραϊ τειρομένη βιότου κλυτὸν οὐδὸν ἱκέσθαι
αἰὲν ὁμοφρονέουσα· θεοὶ δ' ἑτέρωσε βάλοντο·
ὥς μ' ὄφελόν ποτε Κῆρες ἀνηρείψαντο μέλαιναι,
ὁππότε νόσφιν ἔμελλον Ἀλεξάνδροιο πέλεσθαι·
ἀλλὰ καὶ εἰ ζωός μ' ἔλιπεν, μέγα τλήσομαι ἔργον
ἀμφ' αὐτῷ θανέειν, ἐπεὶ οὔ τί μοι εὔαδεν ἠώς.“
ὣς φαμένης ἐλεεινὰ κατὰ βλεφάρων ἐχέοντο
δάκρυα, κουριδίοιο δ' ἀναπλήσαντος ὄλεθρον
μνωομένη, ἅτε κηρὸς ὑπαὶ πυρί, τήκετο λάθρῃ
— ἅζετο γὰρ πατέρα σφὸν ἰδ' ἀμφιπόλους εὐπέπλους —,
μέχρις ἐπὶ χθόνα δῖαν ἀπ' εὐρέος Ὠκεανοῖο
νὺξ ἐχύθη μερόπεσσι λύσιν καμάτοιο φέρουσα.
καί ῥα τόθ' ὑπνώοντος ἐνὶ μεγάροισι τοκῆος
καὶ δμώων πυλεῶνας ἀναρρήξασα μελάθρων
ἔκθορεν ἠύτ' ἄελλα· φέρον δέ μιν ὠκέα γυῖα·
ὡς δ' ὅτ' ἀν' οὔρεα πόρτιν ἐρασσαμένην μέγα ταύρου
θυμὸς ἐποτρύνει ποσὶ καρπαλίμοισι φέρεσθαι
ἐσσυμένως, ἡ δ' οὔ τι λιλαιομένη φιλότητος
ταρβεῖ βουκόλον ἄνδρα, φέρει δέ μιν ἄσχετος ὁρμή,
εἴ που ἐνὶ ξυλόχοισιν ὁμήθεα ταῦρον ἴδοιτο·
ὣς ἡ ῥίμφα θέουσα διήνυε μακρὰ κέλευθα
διζομένη τάχα ποσσὶ πυρῆς ἐπιβήμεναι αἰνῆς.

423 αἰνά τ' v, αἰνὰ δ' k θυμῷ V 425 -μορος AP, em. r συνεώλπειν AP, em. t 426 ποτὶ AP, βιότου rtlk 428 τότε bl 431 εὔαδεν αἰών l^1 432 βλεφάροιιν ἔχυντο k 444 ἄσπετος?

οὐδέ τί οἱ κάμε γούνατ', ἐλαφρότεροι δ' ἐφέροντο
ἐσσυμένης πόδες αἰέν· ἔπειγε γὰρ οὐλομένη Κὴρ
καὶ Κύπρις· οὐδέ τι θῆρας ἐδείδιε λαχνήεντας
ἀντομένους ὑπὸ νύκτα, πάρος μέγα πεφρικυῖα·
πᾶσα δέ οἱ λασίων ὀρέων ἐστείβετο πέτρη
καὶ κρημνοί, πᾶσαι δὲ διεπρήσσοντο χαράδραι.
τὴν δέ που εἰσορόωσα τόθ' ὑψόθι δῖα Σελήνη
μνησαμένη κατὰ θυμὸν ἀμύμονος Ἐνδυμίωνος
πολλὰ μάλ' ἐσσυμένην ὀλοφύρετο· καί οἱ ὕπερθε
λαμπρὸν παμφανόωσα μακρὰς ἀνέφαινε κελεύθους.
ἵκετο δ' ἐμβεβαυῖα δι' οὔρεος, ἧχι καὶ ἄλλαι
Νύμφαι Ἀλεξάνδροιο νέκυν περικωκύεσκον.
τὸν δ' ἔτι που κρατερὸν πῦρ ἄμφεχεν, οὕνεκ' ἄρ' αὐτῷ
μηλονόμοι ξυνιόντες ἀπ' οὔρεος ἄλλοθεν ἄλλοι
ὕλην θεσπεσίην παρενήνεον ἦρα φέροντες
ὑστατίην καὶ πένθος ὁμῶς ἑτάρῳ καὶ ἄνακτι,
κλαίοντες μάλα πολλὰ περισταδόν· ἡ δέ μιν οὔ τι,
ἀμφαδὸν ὡς ἄθρησε, γοήσατο τειρομένη περ,
ἀλλὰ καλυψαμένη περὶ φάρεϊ καλὰ πρόσωπα
αἶψα πυρῇ ἐνέπαλτο· γόον δ' ἄρα πουλὺν ὄρινε·
καίετο δ' ἀμφὶ πόσει. Νύμφαι δέ μιν ἄλλοθεν ἄλλαι
θάμβεον, εὖτ' ἐσίδοντο μετ' ἀνέρι πεπτηυῖαν·
καί τις ἑὸν κατὰ θυμὸν ἔπος ποτὶ τοῖον ἔειπεν·
„ἀτρεκέως Πάρις ἦεν ἀτάσθαλος, ὃς μάλα κεδνὴν
κάλλιπε κουριδίην καὶ ἀνήγαγε μάργον ἄκοιτιν,

449 *-μένως v, -μένης kP* 451 *-μένη v, -μένους rk* 456 *-ατο v, -ετο* k^2 457 *-φαίνουσα v, -φανόωσα pk* 459 *μακρὰ A, μακρὸν rt, μόρον l, νεκρὸν k* olim et l^2, *νέκυν (k)P, πυρὴν k* *πέρι κωκ. tl* 460 *αὐτὸν AP, -ῷ Vrtlk, -οὶ br* 462 *παρενήεον* k^2 *ὄφρα AP* et sic *k* maioris lacunae signis post h. v. positis; *ἦρα* $rtlst^2$ 463 *ὑστάτιον tl* 465 *ἐσάθρησε?* *βοήσ. v, γοήσ. k* 466 *πέρι tl*

οἷ αὐτῷ καὶ Τρωσὶ καὶ ἄστεϊ λοίγιον ἄλγος,
νήπιος, οὐδ᾽ ἀλόχοιο περίφρονος ἅζετο θυμὸν
τειρομένης, ἥ πέρ μιν ὑπὲρ φάος ἠελίοιο
καί περ ἀπεχθαίροντα καὶ οὐ φιλέοντα τίεσκεν."
ὣς ἄρ᾽ ἔφη Νύμφη τις ἀνὰ φρένας· οἳ δ᾽ ἐνὶ μέσσῃ
πυρκαϊῇ καίοντο λελασμένοι Ἠριγενείης·
ἀμφὶ δὲ βουκόλοι ἄνδρες ἐθάμβεον, εὖτε πάροιθεν
Ἀργεῖοι θάμβησαν ἀολλέες ἀθρήσαντες
Εὐάδνην Καπανῆος ἐπεκχυμένην μελέεσσιν
ἀμφὶ πόσιν δμηθέντα Διὸς στονόεντι κεραυνῷ.
ἀλλ᾽ ὁπότ᾽ ἀμφοτέρους ὀλοὴ πυρὸς ἤνυσε ῥιπή,
Οἰνώνην τε Πάριν τε, μιῇ δ᾽ ὑποκάββαλε τέφρῃ,
δὴ τότε πυρκαϊὴν οἴνῳ σβέσαν· ὀστέα δ᾽ αὐτῶν
χρυσέῳ ἐν κρητῆρι θέσαν· περὶ δέ σφισι σῆμα
ἐσσυμένως τεύξαντο· θέσαν δ᾽ ἄρα δοιὼ ὕπερθε
στήλας, αἵ περ ἔασι τετραμμέναι ἄλλυδις ἄλλη
ζῆλον ἐπ᾽ ἀλλήλῃσιν ἔτι στονόεντα φέρουσαι.

481 *Οἰνώνην* et *βελέεσσιν* *AV*, em. *r* 483 *ὅτε δ᾽* *v*, *ὁπότ᾽* *k* (vel *ὅτ᾽ ἄρ᾽*) 484 *πέτρῃ* *AP*, *τέφρῃ* em. *r* 487 *-θεν* *v*, *-θε* *kP* 489 hunc v. ubique omissum ex *P* addidi

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Τρῳαὶ δὲ στενάχοντο κατὰ πτόλιν, οὐδ' ἐδύναντο
ἐλθέμεναι ποτὶ τύμβον, ἐπεὶ μάλα τηλόθ' ἔκειτο
ἄστεος αἰπεινοῖο. νέοι δ' ἔκτοσθε πόληος
νωλεμέως πονέοντο· μάχη δ' οὐ λῆγε φόνοιο,
καί περ Ἀλεξάνδροιο δεδουπότος, οὕνεκ' Ἀχαιοὶ
Τρωσὶν ἐπεσσεύοντο ποτὶ πτόλιν, οἱ δὲ καὶ αὐτοὶ
τείχεος ἤιον ἐκτός, ἐπεί σφεας ἦγεν ἀνάγκη·
ἐν γὰρ δὴ μέσσοισιν Ἔρις στονόεσσά τ' Ἐνυὼ
στρωφῶντ', ἀργαλέῃσιν Ἐριννύσιν εἴκελαι ἄντην,
ἄμφω ἀπὸ στομάτων ὀλοὸν πνείουσαι ὄλεθρον·
ἀμφ' αὐτοῖσι δὲ Κῆρες ἀναιδέα θυμὸν ἔχουσαι
ἀργαλέως μαίνοντο· Φόβος δ' ἑτέρωθι καὶ Ἄρης
λαοὺς ὀτρύνεσκον· ἐφέσπετο δέ σφισι Δεῖμος
φοινήεντι λύθρῳ πεπαλαγμένος, ὄφρά ἑ φῶτες
οἱ μὲν καρτύνωνται ὁρώμενοι, οἱ δὲ φέβωνται·
πάντῃ δ' αἰγανέαι τε καὶ ἔγχεα καὶ βέλε' ἀνδρῶν,
ἄλλυδις ἄλλα χέοντο κακοῦ μεμαῶτα φόνοιο·

1 *οὐδὲ δύν. P* 2 *τηλόθε κεῖτο P* 3 *ἑκάστοτε AP*, em. *r* 4 *πόνοιο v, φόν. tspk* 11 *αὐτῇσι v, -οῖσι VPk* 12 *-θε v, -θι spk* 13 *θυμὸς A, Δεῖμος dtlkP*

ἀμφὶ δ' ἄρά σφισι δοῦπος ἐρειδομένοισιν ὀρώρει
μαρναμένων ἑκάτερθε κατὰ φθισήνορα χάρμην.
ἔνθ' ἄρα Λαοδάμαντα Νεοπτόλεμος κατέπεφνεν,
ὃς τράφη ἐν Λυκίῃ Ξάνθου παρὰ καλὰ ῥέεθρα,
ὅν ποτ' ἐριγδούποιο Διὸς δάμαρ ἀνθρώποισι
Λητὼ δῖ' ἀνέφηνεν ἀναρρήξασα χέρεσσι
τρηχὺ πέδον Λυκίης ἐρικυδέος, ὁππόθ' ἑῇσι
δάμναθ' ὑπ' ὠδίνεσσι πολυτλήτοισιν ἀνίῃ,
θεσπεσίου τοκετοῖο ὅσην ὠδῖνες ἔγειρον.
τῷ δ' ἐπὶ Νῖρον ὄλεσσε βαλὼν ἀνὰ δηιοτῆτα
δουρὶ διὰ γναθμοῖο· πέρησε δ' ἄρα στόμα χαλκὸς
γλῶσσάν τ' αὐδήεσσαν· ὁ δ' ἔγχεος ἄσχετον αἰχμὴν
ἄμφεχε βεβρυχώς, περὶ δ' ἔρρεεν αἷμα γένυσσι
φθεγγομένου· καὶ τὸν μὲν ὑπὸ κρατερῆς χερὸς ἀλκῇ
ἐγχείῃ στονόεσσα ποτὶ χθονὸς οὖδας ἔρεισε
δευόμενον θυμοῖο. βάλεν δ' Εὐήνορα δῖον
τυτθὸν ὑπὲρ λαπάρην, διὰ δ' ἤλασεν ἐς μέσον ἧπαρ
αἰχμήν· τῷ δ' ἀλεγεινὸς ἄφαρ συνέκυρσεν ὄλεθρος.
εἷλε δ' ἄρ' Ἰφιτίωνα, καὶ Ἱππομέδοντα δάμασσε
Μαινάλου ὄβριμον υἷα, τὸν Ὠκυρόη τέκε Νύμφη
Σαγγαρίου ποταμοῖο παρὰ ῥόον· οὐδέ νυ τόν γε
δέξατο νοστήσαντα· κακὴ δέ ἑ Κὴρ ἀπάμερσε
παιδὸς ἀνιηρῶς, μέγα δ' υἱέος ἔμβαλε πένθος.

21 παρὰ om. *A*, add. *rtlk*, ποτὶ *P* 23 δὴ *v*, δῖ' *st*[1]*lk*. -σσιν *P* 24 ἑοῖο *v*, ἑῇσι *ego*, γυῖα et 25 ἀνίη *h* 25 sq. θεσπ. τοκ. πολ. ἀνίῃ | δάμναθ' ὑπ' ὠδίνεσσιν *k* -τλήτῃσιν *v*, -οισιν ex *E*[1] *P ego* ἀνίη *v*, -ης *hl*, -ῃ *hk*. interpunctionem vulgo post τοκετοῖο (*k* post ὠδίνεσσιν) positam *ego* ad ἀνίῃ arcessivi
28 δ' ἄρα ex *A ego* restitui, δ' ἀνὰ *E*[1]*Prtl*, δέ οἱ *k*
29 γλῶσσαν ἔτ' *v*, γλῶσσάν τ' *k* ἔτ' αὐδώωσαν ci. *h*
30 ἄμπεχε *v*, ἄμφ. *k* 31 κρατεροῦ et ἀλκῆς *AP*, -ῇ et ἀλκῇ *rtl*, -ῆς et ἀλκῇ *pk* 34 ὑπαὶ *v*, ὑπὲρ *pk* 39 sq. κακαὶ δὲ Κῆρες ἄμερσαν | π. ἀνιηραὶ, μ. δ' (θ' *P*) υἱ. ἔμβαλε *AP*; κ. δέ ἑ Κ. ἄ | π. ἀνιηρῶς, μ. δ. υἱ. ἔλλαβε *rtl*; κακὴ δέ ἑ Κὴρ

Αἰνείας δὲ Βρέμοντα καὶ Ἀνδρόμαχον κατέπεφνεν,
ὃς τράφη ἐν Κνωσσῷ, ὁ δ' ἄρα ζαθέῃ ἐνὶ Λύκτῳ·
ἄμφω δ' εἰς ἕνα χῶρον ἀπ' ὠκυπόδων πέσον ἵππων·
καί ῥ' ὁ μὲν ἀσπαίρεσκε πεπαρμένος ἔγχεϊ μακρῷ
λαιμόν, ὁ δ' ἀλγινόεντος ἀνὰ κροτάφοιο θέμεθλα
χερμαδίῳ στονόεντι μάλα κρατερῆς ἀπὸ χειρὸς
βλήμενος ἐκπνείεσκε, μέλας δέ μιν ἄμφεχε πότμος.
ἵπποι δ' ἐπτοίηντο καὶ ἡνιόχων ἀπάνευθε
φεύγοντες πολλοῖσιν ἐνεπλάζοντο νέκυσσι·
καὶ τοὺς μὲν θεράποντες ἀμύμονος Αἰνείαο
μάρψαντες κεχάροντο φίλῃ περὶ ληίδι θυμόν.
ἔνθα Φιλοκτήτης ὀλοῷ βάλε Πείρασον ἰῷ
φεύγοντ' ἐκ πολέμοιο· διέθρισε δ' ἀγκύλα νεῦρα
γούνατος ἐξόπιθεν, κατὰ δ' ἔκλασεν ἀνέρος ὁρμήν·
καὶ τὸν μὲν Δαναῶν τις ὅτ' ἔδρακε γυιωθέντα,
ἐσσυμένως ἀπάμερσε καρήατος ἄορι τύψας
ἀλγινόεντα τένοντα· κόλον δ' ὑπεδέξατο γαῖα
σῶμα· κάρη δ' ἀπάτερθε κυλινδομένη πεφόρητο
φωνῆς ἱεμένοιο· ταχὺς δ' ἅμ' ἀπέπτατο θυμός.
Πουλυδάμας δὲ Κλέωνα καὶ Εὐρύμαχον βάλε δουρί,
οἳ Σύμηθεν ἵκανον ὑπὸ Νιρῆι ἄνακτι,
ἄμφω ἐπιστάμενοι δόλον ἰχθύσι μητίσασθαι
αἰνοῦ ὑπ' ἀγκίστροιο βαλέσθαι τ' εἰς ἅλα δῖαν

ἀπάμερσε | π. ἀνιηρῶς et ἔμβαλε *k* 47 ἄμπεχε *v*, ἄμφ.. *k* 52 ἂν δὲ *AP*, ἔνθα *rtlk* Πύρασ. *P* 56 ἄμερσε *AP*, ἀπάμ. em. *r* ἐς δόρυ *AP*, ἐς δορὶ *rt*, εὖ δορὶ *p*, ἄορι *scklsp*, sed κόψας *sp* 57 -όεντι *hw* τένοντα· ὀλοὴ *A*, τένοντ'· ὀλ. *rtl*, τ. ὀλίγη *sp*, τένοντα· κόλον *k*, τ. ὅλον *P* 59 ἱεμένου φ. *A*, -μένον φ. *V*, ἱέμενον φ. *P*, φ. ἱεμένοιο *rtlk*. ἅμα πέπτατο *v*, ἅμ' ἀπέπτ. *psplkP* 61 ὑπαὶ *v*, ὑπὸ *k* 63 αἰνὸν *v*, -οῦ *kl* βαλεῖν δέ τε εἰς *v*, β. δὲ τάχ' εἰς *sp*, β. τ' εἴσω *h*, β. δέ τ' ἔσω et β. δὲ καὶ εἰς temptavit *k*, scripsit βαλέσθαι τ' (δ' k^2) εἰς

δίκτυα καὶ παλάμῃσι περιφραδέως ἀπὸ νηὸς
ἰθὺ καὶ αἶψα τρίαιναν ἐπ' ἰχθύσι νωμήσασθαι·
ἀλλ' οὔ σφιν τότε πῆμα θαλάσσια ἤρκεσαν ἔργα.
Εὐρύπυλος δὲ μενεπτόλεμος κτάνε φαίδιμον Ἕλλον,
τόν ῥα παρὰ λίμνῃ Γυγαίῃ γείνατο μήτηρ
Κλειτὼ καλλιπάρῃος· ὁ δ' ἐν κονίῃσι τανύσθη
πρηνής· τοῦ δ' ἀπάτερθεν ὁμῶς δορὶ κάππεσε μακρῷ
ὤμου ἄπο βριαροῖο κεκομμένη ἄορι λυγρῷ
χεὶρ ἔτι μαιμώωσα ποτὶ κλόνον ἔγχος ἀεῖραι
μαψιδίως· οὐ γάρ μιν ἀνὴρ εἰς ἔργον ἐνώμα,
ἀλλ' αὔτως ἤσπαιρεν, ἅτε βλοσυροῖο δράκοντος
οὐρὴ ἀποτμηθεῖσ' ἀναπάλλεται, οὐδέ οἱ ἀλκὴ
ἕσπεται ἐς πόνον αἰπύν, ἵνα χραύσαντα διώξῃ·
ὣς ἄρα δεξιτερὴ κρατερόφρονος ἀνδρὸς ἐς αἰχμὴν
ὥρμαινεν πονέεσθαι· ἀτὰρ μένος οὐκέτ' ὀπήδει.
αὐτὰρ Ὀδυσσεὺς Αἶνον ἐνήρατο καὶ Πολύιδον
ἄμφω Κητείους, τὸν δούρατι, τὸν δ' ἀλεγεινῷ
ἄορι δῃώσας. Σθένελος δ' ἕλε δῖον Ἄβαντα
αἰγανέην προϊείς· ἡ δ' ἀσφαράγοιο διαπρὸ
ἐσσυμένη ἀλεγεινὸν ἐς ινίου ἦλθε τένοντα·
λῦσε δ' ἄρ' ἀνέρος ἦτορ, ὑπέκλασε δ' ἅψεα πάντα.
Τυδείδης δ' ἕλε Λαόδοκον, Μελίον δ' Ἀγαμέμνων,

66 σφιν ἐπὶ *v*, σφίν γ' ἐ. *p*, σφῶν ἐ. *h*, σφιν τότε *splk*. θαλάσσι' ἐπήρκ. *Diels*, θαλάσσης ἤ. *ego* temptavi -σεν *v*, -σαν ex E^1P *ego* 67 -πτόλεμον *AP*, em. *r* βάλε *v*, κτάνε *ego* 68 παραὶ *v*, παρὰ *k* ἐγείν. *VP* 69 τῷ κλειτῷ δ' ἐν καλλ. *V*, τῶ Κλειτὼ δ' ἐν κ. *P* 70 δόρυ κ. μακρὸν *AP* et sic *k* maioris lacunae signis positis ['plane alius hominis alia memorabatur vulneratio'], δορὶ κ. μακρῷ *brrtl* 76 θραύσαντα *p* δαίξῃ *v*, διώξῃ *hk* 79 -ινδον *v*, -ιδον *pspkP* 80 τὸν μὲν δούρατι *AP*, τὸν δ. *Vtlk*, τὸν μὲν δορὶ *r* 83 ἀλεγεινὴ *hw* ἰνίον (ἠν. *P*) ἤ. τένοντος *AP*, em. *rp* 85 Λαοδόκον *v*, Λαόδ. k^2 in corrig. Μελίον τ' *A*, Μέλιον τ' *P*, Μελιόν τ' *rtl*, Μέλιον δ' *k*, Μελίον (sive Μενίον) *ls*

Δηίφοβος δὲ Δρύαντα καὶ Ἄλκιμον· αὐτὰρ Ἀγήνωρ
Ἵππασον ἐξενάριξεν ἀγακλειτόν περ ἐόντα,
ὅς ῥ' ἀπὸ Πηνειοῦ ποταμοῦ κίεν· οὐδ' ἐρατεινὰ
θρέπτρα τοκεῦσιν ἔδωκεν, ἐπεί ῥά μιν ἔκλασε δαίμων.
ἔνθα Θόας ἐδάμασσε Λάμον καὶ ἀγήνορα Λύγκον,
Μηριόνης δὲ Λύκωνα, καὶ Ἀρχέλοχον Μενέλαος,
ὅς ῥά τε Κωρυκίην ὑπὸ δειράδα ναιετάασκε
πέτρην θ' Ἡφαίστοιο περίφρονος, ἥ τε βροτοῖσι
θαῦμα πέλει· δὴ γάρ οἱ ἐναίθεται ἀκάματον πῦρ
ἄσβεστον νυκτός τε καὶ ἤματος· ἀμφὶ δ' ἄρ' αὐτῷ
φοίνικες θαλέθουσι, φέρουσι δ' ἀπείρονα καρπόν,
ῥίζης καιομένης ἅμα λάεσιν· ἀλλὰ τὸ μέν που
ἀθάνατοι τεύξαντο καὶ ἐσσομένοισιν ἰδέσθαι.
Τεῦκρος δ' Ἱππομέδοντος ἀμύμονος υἷα Μενοίτην
ἐσσυμένως ὥρμαινε βαλεῖν ἐπιόντα βελέμνῳ·
καί ῥα νόῳ καὶ χερσὶ καὶ ὄμμασιν ἰθύνεσκεν
ἰὸν ἀπὸ γναμπτοῖο κεράατος· ὃς δ' ἀλεγεινὸν
ἆλτο θοῆς ἀπὸ χειρὸς ἐς ἀνέρα· τῷ δ' ὑπὸ νευρὴ
εἰσέτι που 'κανάχιζεν· ὁ δ' ἀντίον ἀσπαίρεσκε
βλήμενος, οὕνεκα κῆρες ὁμῶς φορέοντο βελέμνῳ
καίριον ἐς κραδίην, ὅθι περ νόος ἔζεται ἀνδρῶν
καὶ μένος, ὀτραλέαι δὲ ποτὶ μόρον εἰσὶ κέλευθοι.
Εὐρύαλος δ' ἄρα πολλὸν ἀπὸ στιβαρῆς βάλε χειρὸς
λᾶα μέγαν, Τρώων δὲ θοὰς ἐλέλιξε φάλαγγας·

89 *θρέπτα* et *νιν v*, corr. *spk* 90 *ἂν δὲ A*, *ἀν δὲ P*, *ἔνθα tlk* *Λάλον v*, *Λάμον* ex *Pego* 91 *Λυκῶνα v*, *Λύκ.* *k*[2] in corrig. et sic *P* *Ἀρχίλ. k* (sed *Ἀρχέλ. k*[2] in corrig.) 92 *-σκεν v*, *-σκε kP* 93 *δ' A*, *θ' tlkP* 94 *μιν v*, *οἱ spk* 96 *θαλέουσι v*, *-έθουσι sck* 97 *τὰ sp* 102 *δ'* om. *AP*, add. *r* *-εινὸς v*, *-εινὸν st*[1]*spk* 103 *τῷ δ' ἀπὸ APt*, *τοῦ δ' ἀ. rspl*, *τῷ δ' ἐπὶ pst*[1], *τῇ δ' ὑπὸ t*, *τῷ δ' ὕπο hk* 104 *-σκεν v*, *-σκε k* 106 *εἰς v*, *ἐς kP*

ὡς δ' ὅτε τις γεράνοισι τανυφθόγγοισι χολωθεὶς
οὖρος ἀνὴρ πεδίοιο μέγ' ἀσχαλόων ἐπορούσῃ,
δινήσας δ' ἐν χειρὶ θοῇ καλὰ νεῦρα βόεια
λᾶα βάλῃ κατέναντα, διασκεδάσῃ δ' ὑπὸ ῥοίζῳ
ἠέρι πεπταμένας δολιχὰς στίχας, αἱ δὲ φέβονται,
ἄλλῃ δ' εἰς ἑτέρην εἱλεύμεναι ἀίσσουσι
κλαγγηδὸν μάλα πάγχυ, πάρος κατὰ κόσμον ἰοῦσαι·
ὣς ἄρα δυσμενέες φοβερὸν βέλος ἀμφεφόβηθεν
ὀβρίμου Εὐρυάλοιο· τὸ δ' οὐχ ἅλιον φέρε δαίμων,
ἀλλ' ἄρα σὺν πήληκι κάρη κρατεροῖο Μέλητος
θλάσσε περὶ γλήνῃσι· μόρος δ' ἐκίχανεν ἀρητός.
ἄλλος δ' ἄλλον ἔπεφνε, περιστεναχίζετο δ' αἶα·
ὡς δ' ὅτ' ἐπιβρίσαντος ἀπειρεσίου ἀνέμοιο
λάβρον ὑπὸ ῥιπῆς βαρυηχέος ἄλλυδις ἄλλα
δένδρεα μακρὰ πέσῃσιν ὑπὲκ ῥιζέων ἐριπόντα
ἄλσεος εὐρυπέδοιο, βρέμει δέ τε πᾶσα περὶ χθών·
ὣς οἵ γ' ἐν κονίῃσι πέσον, κανάχησε δὲ τεύχη
ἄσπετον, ἀμφὶ δὲ γαῖα μέγ' ἔβραχεν· οἱ δὲ κυδοιμοῦ
ἀργαλέου μνώοντο μετὰ σφίσι πῆμα τιθέντες.
καὶ τότ' ἄρ' Αἰνείαο μόλε σχεδὸν ἠὺς Ἀπόλλων
ἠδ' Ἀντηνορίδαο δαΐφρονος Εὐρυμάχοιο·

111 ἐπορούσειν *h* Niemeyer (vel ἐπ' ὀρούσει), ἐπορούσας *k* temptavit 112 περὶ κρατὶ θοῇ καλὰ *AP*, π. χειρὶ θ. κ. *C*[1], π. κρατὶ θ. χερὶ *rk*, sed *sck* lacunae signis ante h. v. positis ['facile enim viri illius ira avibus innoxiis . . . infensa pluribus exornari poterat'], π. κ. θοῶς καλὰ *br*, π. κ. θοῶς μάλα *tl*, δ' ἐπὶ κρατὶ *b*, δ' ἐν χειρὶ θ. καλὰ *ego* 113 ἄλλα βάλει *A*, ἀλλὰ βάλῃ *P*, λᾶα βάλῃ em. *r* 114 -ωνται *P* 118 ὄβριμον *P* 120 πληγῇσι et ἀρητός *v*, γλήνῃσι *ego*; in fine ἄφυκτος *r*; θλάσσεν ὑπὸ πληγῇσι *sp*; θλάσσεν· ὑπὸ πληγῇ δὲ μόρος ἐ κίχανεν aut θλάσσε πέρι· πληγῇ δὲ μ. ἐ. κιχ. (κάρητος), aut θλ. περιπληγέντι· μόρος δ' ἐκίχ. *k* temptavit; θλάσσε· μόρος δ' ἐκίχ. περὶ πληγῇσι κάρητος *h* 123 ὑπαὶ *v*, ὑπὸ *lk* 125 ἐκ πεδίοιο *AP*, εὐπεδ. *rtl*, εὐρυπέδοιο *st*[1]*k*

οἵ γὰρ δὴ μάρναντο πολυσθενέεσσιν Ἀχαιοῖς
ἄγχι μάλ' ἑσταότες κατὰ φύλοπιν, εὖθ' ὑπ' ἀπήνῃ
δοιοὶ ὁμηλικίῃ κρατεροὶ βόες, οὐδ' ἀπέληγον
ὑσμίνης· τοῖς δ' αἶψα θεὸς ποτὶ μῦθον ἔειπε
μάντεϊ εἰδόμενος Πολυμήστορι, τόν ποτε μήτηρ
γείνατ' ἐπὶ Ξάνθοιο ῥοῆς θεράπονθ' Ἑκάτοιο·
„Εὐρύμαχ' Αἰνεία τε, θεῶν γένος, οὔ τι ἔοικεν
ὑμέας Ἀργείοισιν ὑπεικέμεν· οὐδὲ γὰρ αὐτὸς
ὔμμιν ὑπαντιάσας κεχαρήσεται ὄβριμος Ἄρης,
ἢν ἐθέλητε μάχεσθαι ἀνὰ κλόνον, οὕνεκα Μοῖραι
μακρὸν ἐπ' ἀμφοτέροισι βίου τέλος ἐκλώσαντο."
ὣς εἰπὼν ἀνέμοισι μίγη καὶ ἄιστος ἐτύχθη·
οἵ δὲ νόῳ φράσσαντο θεοῦ μένος· αἶψα γὰρ αὐτοῖς
θάρσος ἀπειρέσιον κατεχεύατο, μαίνετο δέ σφι
θυμὸς ἐνὶ στήθεσσι, καὶ ἔνθορον Ἀργείοισιν,
ἀργαλέοις σφήκεσσιν ἐοικότες, οἵ τ' ἀλεγεινὸν
ἐκ θυμοῦ κοτέοντες ἐπιβρίσωσι μελίσσαις,
ἅς τε περὶ σταφυλῆς αὐαινομένης ἐν ὀπώρῃ
ἐρχομένας ἐσίδωσιν ἢ ἐκ σίμβλοιο θορούσας·
ὣς ἄρα Τρώιοι υἷες ἐυπτολέμοισιν Ἀχαιοῖς
ἔνθορον ἐσσυμένως· κεχάροντο δὲ Κῆρες ἐρεμναὶ
μαρναμένων, ἐγέλασσε δ' Ἄρης, ἰάχησε δ' Ἐνυὼ
σμερδαλέον· μέγα δέ σφιν ἐπέβραχεν αἰόλα τεύχη.
οἵ δ' ἄρα δυσμενέων ἀπερείσια φῦλα δάιζον
χερσὶν ἀμαιμακέτῃσι· κατηρείποντο δὲ λαοὶ
αὔτως, ἠύτ' ἄμαλλα θέρευς εὐθαλπέος ὥρῃ,

133 -κίῃ v, -κίη spkP 134 τοὺς k ἔειπεν v, -ε ex Pego 140 κατὰ A, ἀνὰ rP 143 θεοῦ ἔπος sp δ' ἄρ' v, γὰρ (r)k 144 -ατο Aspk, -ετο tl(P?) 147 -σουσι VP 148 εὖτε v, ἅστε k αὐαν. v, αὐαιν. rspkP 149 ἀργομένας st[1] 156 δυσθαλπ. v, εὐθαλπ. rk

ἥν ῥά τ' ἐπισπέρχωσι θοοὶ χέρας ἀμητῆρες
δασσάμενοι κατ' ἄρουραν ἀπείρονα μακρὰ πέλεθρα·
ὣς ἄρα τῶν ὑπὸ χερσὶ κατηρείποντο φάλαγγες
μυρίαι· ἀμφὶ δὲ γαῖα νεκρῶν περιπεπληθυῖα
αἵματι πλημμύρεσκεν· Ἔρις δ' ἰαίνετο θυμῷ
ὀλλυμένων. οἱ δ' οὔ τι κακοῦ παύοντο μόθοιο,
ἀλλ' ἅτε μῆλα λέοντες ἐπήιον· οἱ δ' ἄρα φύζης
λευγαλέης μνώοντο καὶ ἐξ ὀλοοῦ πολέμοιο
φεῦγον, ὅσοις ἀδάικτον ἔτι σθένος ἐν ποσὶ κεῖτο.
υἱὸς δ' Ἀγχίσαο δαΐφρονος αἰὲν ὀπήδει
δυσμενέων μετόπισθεν ὑπ' ἔγχεϊ νῶτα δαΐζων,
Εὐρύμαχος δ' ἑτέρωθεν· ἰαίνετο δ' ἄμβροτον ἦτορ
ὑψόθεν εἰσορόωντος ἰηίου Ἀπόλλωνος.
ὡς δ' ὅτε τις σιάλοισιν ἀνὴρ ἐς λήιον αὖον
ἐρχομένοις, πρὶν ἄμαλλαν ὑπ' ἀμητῆρσι δαμῆναι,
ἀντί' ἐπισσεύῃ κρατεροὺς κύνας, οἱ δ' ὁρόωντες
ἐσσυμένους τρομέουσι, καὶ οὐκέτι μέμβλεται αὐτοῖς
εἴδατος, ἀλλὰ τρέπονται ἀνιηρὴν ἐπὶ φύζαν
πανσυδίῃ, τοὺς δ' αἶψα κύνες κατὰ ποσσὶ κιχόντες
ἐξόπιθεν δάπτουσιν ἀμείλιχα, τοὶ δὲ φέβονται
μακρὸν ἀνιύζοντες, ἄναξ δ' ἐπιτέρπετ' ἀρούρης·
ὣς ἄρ' ἰαίνετο Φοῖβος, ὅτ' ἔδρακεν ἐκ πολέμοιο
φεύγοντ' Ἀργείων πουλὺν στρατόν· οὐ γὰρ ἔτ' αὐτοῖς
ἔργ' ἀνδρῶν μεμέληντο· πόδας δ' εὔχοντο θεοῖσιν
ὦκα φέρειν· μούνοις γὰρ ἔτ' ἐν ποσὶν ἔπλετο νόστου

161 δ' ἂρ ἰαίν. *v*, δ' ἰαίν. *hl*, δ' ἄρ' ἰ. *k* 163 λέοντος ἀπηνέος *AP*, λέοντες ἐπήιον *rtl*, λέοντες ἀπηνέες sequente lacuna et ἐπήιον *k* 169 ἠΐον *A*, ἰηΐον *rtlP*, ἑκηβόλου C^1k 173 -μένως *v*, -μένους st^1splk 180 ἔργα θεῶν *AP*, ἔ. χερῶν *rtl* (vel νέων *r*), ἔ. μόθων *Lennep k*, ἔργ' ἀνδρῶν *ego* -ητο *v*, -ηντο ex *P ego* 181 φέρεσθαι, κείνοις *A*; φέρειν· κείνοις *P*; φέρειν, μούνοις *rtlk*

ἐλπωρή· πάντας γὰρ ἐπήιεν ἔγχεϊ θύων
Εὐρύμαχός τε καὶ Αἰνείας, σὺν δέ σφιν ἑταῖροι.
ἔνθά τις Ἀργείων, ἢ κάρτεϊ πάγχυ πεποιθώς,
ἢ Μοίρης ἰότητι λιλαιομένης μιν ὀλέσσαι,
φεύγοντ' ἐκ πολέμοιο δυσηχέος ἵππον ἔρυκε
γνάμψαι ἐπειγόμενος ποτὶ φύλοπιν, ὄφρα μάχηται
ἀντία δυσμενέων. τὸν δ' ὀβριμόθυμος Ἀγήνωρ
παρφθάμενος μυῶνα κατ' ἀλγινόεντα δάιξεν
ἀμφιτόμῳ βουπλῆγι· βίῃ δ' ὑπόειξε σιδήρου
ὀστέον οὐταμένοιο βραχίονος· ἀμφὶ δὲ νεῦρα
ῥηιδίως ἤμησε· φλέβες δ' ὑπερέβλυσαν αἷμα·
ἀμφεχύθη δ' ἵπποιο κατ' αὐχένος· αἶψα δ' ἄρ' αὐτὸς
κάππεσεν ἀμφὶ νέκυσσι· λίπεν δ' ἄρα χεῖρα κραταιὴν
στερρὸν ἔτ' ἐμπεφυυῖαν ἐυγνάμπτοισι χαλινοῖς,
οἵη ἔτι ζώοντος ἔην· μέγα δ' ἔπλετο θαῦμα,
οὕνεκα δὴ ῥυτῆρος ἀπεκρέμαθ' αἱματόεσσα,
Ἄρεος ἐννεσίῃσι φόβον δηίοισι φέρουσα·
φαίης κεν χατέουσαν ἔθ' ἱππασίης πονέεσθαι·
σῆμα δέ μιν φέρεν ἵππος ἀποκταμένοιο ἄνακτος.
Αἰνείας δ' ἐδάμασσε βαλὼν ὑπὲρ ἰξύα δουρὶ
Αἰθαλίδην· αἰχμὴ δὲ παρ' ὀμφαλὸν ἐξεπέρησεν
ἔγκατ' ἐφελκομένη· ὁ δ' ἄρ' ἐν κονίῃσι τανύσθη
συμμάρψας χείρεσσιν ὁμῶς χολάδεσσιν ἀκωκὴν

182 *ἀπήϊεν A* 184 voces *τις Ἀργείων* in locum amissi alicuius nominis proprii irrepsisse recte censet *st*[1] 190 *βίῃ δ' ὑ. σιδήρῳ | ὀστέον AP*, em. *r* 193 *αὐχένας AP*, em. *r* 194 *νέκυς· λεῖπεν v, νέκυσσι· λίπεν k* *κρεμαστὴν* (*k* olim) *l* 195 *ἐμπεφυυῖαν ἐυγνάμπτοιο χαλινοῦ A, ἐμπεφυυῖα ἐϋγνάπτοιο χ. P, ἐκπεφυυῖαν ἐυγνάμπτ. χ. rlk, ἐμπεφ. ἐυγνάμπτοισι χαλινοῖς pspt* 196 *οἷα τότε A, οἷά ποτε rtl, οἵη ἔτι rk* (vel *οἷον ἔτι r, οἵη τοῦ* et *οἵη οἱ* et *οἵη ὅτε k*) 199 *ἐφ' ἱππασίῃ A* (*-η P*), *ἔθ' ἱ. rtl, ἔθ' ἱππασίης spk*

δεινὰ μάλα στενάχων, γαίῃ δ' ἐνέρεισεν ὀδόντας
βεβρυχώς· ψυχὴ δὲ καὶ ἄλγεα κάλλιπον ἄνδρα.
Ἀργεῖοι δὲ βόεσσιν ἐοικότες ἐπτοίηντο,
οὓς τ' ἄμοτον μεμαῶτας ὑπὸ ζεύγλῃ καὶ ἀρότρῳ
τύψῃ ὑπὸ λαπάρην ταναοῖς ὑπὸ χείλεσιν οἶστρος
αἵματος ἱέμενος, τοὶ δ' ἄσπετον ἀσχαλόωντες
ἔργου ἑκὰς φεύγουσιν, ἐπὶ σφίσι δ' ἄχνυται ἀνὴρ
ἀμφότερον πονέων τε πόνον τρομέων τ' ἐπὶ βουσί,
μὴ δή που κατόπισθεν ἐπαΐσσοντος ἀρότρου
κέρσῃ νεῦρα σίδηρος ἀμείλιχος ἐν ποσὶ κύρσας·
ὣς Δαναοὶ φοβέοντο, περὶ σφίσι δ' ἄχνυτο θυμὸν
υἱὸς Ἀχιλλῆος· μέγα δ' ἴαχε λαὸν ἐέργων·
„ἆ δειλοί, τί φέβεσθε, ἐοικότες οὐτιδανοῖσι
ψήρεσιν, οὕς τ' ἐφόβησε μολὼν κατεναντία κίρκος;
ἀλλ' ἄγε θέσθ' ἔνι θυμόν, ἐπεὶ πολὺ λώϊόν ἐστι
τεθνάμεν ἐν πολέμῳ ἢ ἀνάλκιδα φύζαν ἑλέσθαι.“
ὣς φάτο· τοὶ δ' ἐπίθοντο θρασὺν νόον ἐν φρεσὶ θέντες
ἐσσυμένως. ὁ δὲ Τρωσὶ μέγα φρονέων ἐνόρουσε
πάλλων ἐν χείρεσσι θοὸν δόρυ· τῷ δ' ἄρα λαοὶ
Μυρμιδόνων ἐφέποντο βίην ἀτάλαντον ἀέλλῃ
ἐν στέρνοισιν ἔχοντες· ἀνέπνευσαν δὲ κυδοιμοῦ
Ἀργεῖοι. ὁ δ' ἄρ' αἶψα φίλῳ πατρὶ θυμὸν ἐοικὼς
ἄλλον ἐπ' ἄλλῳ ἔπεφνε κατὰ μόθον· οἱ δ' ἀπιόντες
χάζοντ', ἠύτε κύμαθ', ἅ τ' ἐκ Βορέαο θυέλλης

208 *ὅττ' A*, *οὓς VE*^{1}*t*, *οὔστ' rklP* 209 *τύψει AP*, *-ῃ VE*^{1}*rtk*, *-εν r(k)l* *ὑπαὶ λ. v*, *ὑπὸ λ. kl* 210 sq. *-ωσιν* | *ἔ. ἑ. φεύγοντες v*, *-όωντες* | *ἔ. ἑ. φεύγουσιν st*^{2} 212 *ἀμφ' ἄροτρον v*, *ἀμφ' ἄροτον Dorville*, *ἀμφότερον* ex *P ego* fortasse *μογέων τε πόνῳ* 218 *μολὼν* om. *A*, add. *rP* (*-ῶν P*), *-σεν ἰὼν brtlk* 219 *ἄγε θέσθ' ἀνὰ v*, *ἄγεθ' ἀνὰ P*, *ἅζεσθ' ἀνὰ l*, *ἄγε θέσθ' ἔνι rk* *ἐστὶν P* 227 *ἄλλῳ ἐπ' ἄλλον P* 228 *κύματ' ἐκ A*, *κύμαθ' ἅτ' ἐκ rtlk*, *κύμαθ' ὑπὲκ (r)sp*, *κύμαθ' ὑπαὶ h*

πόλλ' ἐπιπαφλάζοντα κυλίνδεται αἰγιαλοῖσιν
ὀρνύμεν' ἐκ πόντοιο, τὰ δ' ἔκποθεν ἄλλος ἀήτης
ἀντίον ἀίξας μεγάλῃ περὶ λαίλαπι θύων
ὤσῃ ἀπ' ἠιόνων· Βορέω ἔτι βαιὸν ἀέντος·
ὣς Τρῶας Δαναοῖσιν ἐποιχομένους τὸ πάροιθεν
υἱὸς Ἀχιλλῆος θεοειδέος ὦσεν ὀπίσσω
τυτθόν, ἐπεὶ μένος ἠὺ θρασύφρονος Αἰνείαο
φευγέμεν οὐκ εἴασκε, μένειν δ' ἀνὰ φύλοπιν αἰνὴν
θαρσαλέως· ἑκάτερθε δ' ἴσην ἐτάνυσσεν Ἐνυὼ
ὑσμίνην. ἀλλ' οὔ τι καταντίον Αἰνείαο
υἱὸς Ἀχιλλῆος πῆλεν δόρυ πατρὸς ἑοῖο,
ἀλλ' ἄλλῃ τρέπε θυμόν, ἐπεὶ Θέτις ἀγλαόπεπλος
ἁζομένη Κυθέρειαν ἀπέτραπεν υἱωνοῖο
θυμὸν καὶ μέγα κάρτος ἐπ' ἄλλων ἔθνεα λαῶν.
ἔνθ' ὁ μὲν ἂρ Τρώων πολέας κτάνεν, ὃς δ' ἄρ' Ἀχαιῶν
δάμνατο μυρία φῦλα· δαϊκταμένων δ' ἐνὶ χάρμῃ
οἰωνοὶ κεχάροντο μεμαότες ἔγκατα φωτῶν
δαρδάψαι καὶ σάρκας· ἐπεστενάχοντο δὲ Νύμφαι
καλλιρόου Σιμόεντος ἰδὲ Ξάνθοιο θύγατρες.
  καί ῥ' οἱ μὲν πονέοντο· κόνιν δ' ἀκάμαντες ἀῆται
ὦρσαν ἀπειρεσίην· ἤχλυσε δὲ πᾶσαν ὕπερθεν
ἠέρα θεσπεσίην, ὥς τ' ἀπροτίοπτος ὀμίχλη,
οὐδ' ἄρα φαίνετο γαῖα, βροτῶν δ' ἀμάθυνεν ὀπωπάς·
ἀλλὰ καὶ ὧς μάρναντο· καὶ ἐς χέρας ὅν τιν' ἕλοντο,

231 ἀντίος v, -ίον rk 232 Βορέου v, -έω spk 236 εἴασκε AP, -ασε rtlk μένον ci. k, retinuit μένειν lacunae signis post h. v. positis [velut μαρναμένους δηίοισιν ἐναντίον ὀτρύνεσκε] 242ª hunc v. ubique omissum ex P addidi. qui cum deesset, in v. 242 δ' ἔθνεσι scripserunt rtl, δ' ἔθνεα lacunae signis positis [velut ὁρμὴν ὀτρύνεσκεν· ὃ δ' ἔγχεϊ μαιμώωντι] kst² 249 -πτον ὀμίχλην v, ὀμίχλη V, -πτος ὀμίχλη pspk 251 ἕλοιντο st¹sp

κτεῖνον ἀνηλεγέως, εἰ καὶ μάλα φίλτατος ἦεν·
οὐ γὰρ ἔην φράσσασθαι ἀνὰ κλόνον οὔτ' ἐπιόντα
δήιον οὔτ' ἄρ' ἑταῖρον· ἀμηχανίη δ' ἔχε λαούς.
καί νύ κε μίγδ' ἐγένοντο καὶ ἀργαλέως ἀπόλοντο
πάντες ὁμῶς ὀλοοῖσι περὶ ξιφέεσσι πεσόντες
ἀλλήλων, εἰ μή σφιν ἀπ' Οὐλύμποιο Κρονίων
ἤρκεσε τειρομένοισι, κόνιν δ' ἀπάτερθεν ἔλασσεν
ὑσμίνης, ὀλοὰς δὲ κατεπρήυνεν ἀέλλας.
οἱ δ' ἔτι δηριόωντο· πόνος δ' ἄρα τοῖσιν ἐτύχθη
πολλὸν ἐλαφρότερος· δέρκοντο γὰρ εἴ τε δαΐξαι
χρειὼ πλησίον ἄνδρα κατὰ κλόνον, εἴ τ' ἀλέασθαι·
καί ῥ' ὅτε μὲν Δαναοὶ Τρώων ἀνέεργον ὅμιλον,
ἄλλοτε δ' αὖ Τρῶες Δαναῶν στίχας· ἔπλετο δ' αἰνὴ
ὑσμίνη· νιφάδεσσι δ' ἐοικότα πῖπτε βέλεμνα
ἀμφοτέρωθεν ἰόντα. δέος δ' ἔχε μηλοβοτῆρας
ἔκποθεν Ἰδαίων ὀρέων ὁρόωντας ἀυτήν·
καί τις ἐς αἰθέρα χεῖρας ἐπουρανίοισιν ἀείρων
εὔχετο, δυσμενέας μὲν ὑπ' Ἄρεϊ πάντας ὀλέσθαι,
Τρῶας δὲ στονόεντος ἀναπνεῦσαι πολέμοιο,
ἦμαρ δ' εἰσιδέειν ποτ' ἐλεύθερον· ἀλλά οἱ οὔ τι
ἔκλυον· Αἶσα γὰρ ἄλλα πολύστονος ὁρμαίνεσκεν·
ἅζετο δ' οὔτε Ζῆνα πελώριον οὔτέ τιν' ἄλλων
ἀθανάτων· οὐ γάρ τι μετατρέπεται νόος αἰνὸς
κείνης, ὅν τινα πότμον ἐπ' ἀνδράσι γεινομένοισιν,

252 καὶ εἰ v, εἰ καὶ k^1 in praef. k^2 260 δέ τε v, δ' ἔτι spk 262 δήιον v et sic k lacunae signis post h. v. positis [velut χρειὼ δακρυόεσσαν ὁμοκλὴν ἀνδρὸς ἑταίρου], πλησίον ego 268 αἰθ. δῖαν ἐπ. P, αἰθ. δῖον ἐπ. A et sic k lacunae signis post h. v. positis (quae post δῖον poni posse idem non negat), αἰθ. χεῖρας ἐπ. rtl 272 ὡρμ. v, ὁρμ. k 273 ἄλλον AP, ἄλλων Vtlk 274 μόρος αἰνὸς ci. sp 275 πρῶτον μετ' A, πρῶτον ἐπ' VE^1Ptl, πότμον ἐπ' $(st^1)k$

ἀνδράσιν ἢ πολίεσσιν ἐπικλώσηται ἀφύκτῳ
νήματι· τῇ δ' ὑπὸ πάντα τὰ μὲν φθινύθει, τὰ δ' ἀέξει·
τῆς δ' ἄρ' ὑπ' ἐννεσίῃσι πόνος καὶ δῆρις ὀρώρει
ἱππομάχοις Τρώεσσι καὶ ἀγχεμάχοισιν Ἀχαιοῖς.
τεῦχον δ' ἀλλήλοισι φόνον καὶ ἀνηλέα πότμον
νωλεμέως· οὐ γάρ τιν' ἔχεν δέος, ἀλλ' ἐμάχοντο
προφρονέως· θάρσος γὰρ ἐφέλκεται ἄνδρας ἐς αἰχμήν.
ἀλλ' ὅτε δὴ πολλοὶ μὲν ἀπέφθιθεν ἐν κονίῃσι,
δὴ τότ' ἄρ' Ἀργείοισιν ὑπέρτερον ὤρνυτο κάρτος
Παλλάδος ἐννεσίῃσι δαΐφρονος, ἥ ῥα μολοῦσα
ὑσμίνης ἄγχιστα μέγ' Ἀργείοισιν ἄμυνεν
ἐκπέρσαι μεμαυῖα κλυτὴν Πριάμοιο πόληα.
καὶ τότ' ἄρ' Αἰνείαν ἐρικυδέα δῖ' Ἀφροδίτη, 289
ἥ ῥα μέγα στενάχιζεν Ἀλεξάνδροιο δαμέντος, 288
αὐτὴ ἀπὸ πτολέμοιο καὶ οὐλομένης ὑσμίνης
ἥρπασεν ἐσσυμένως· περὶ δ' ἠέρα χεύατο πουλύν·
οὐ γὰρ ἔτ' αἴσιμον ἦεν ἀνὰ μόθον ἀνέρι κείνῳ
μάρνασθ' Ἀργείοισι πρὸ τείχεος αἰπεινοῖο.
τῶ καὶ ἄδην ἀλέεινε περίφρονα Τριτογένειαν
ἐκ θυμοῦ Δαναοῖσιν ἀρηγέμεναι μεμαυῖαν,
μὴ καὶ ὑπὲρ Κῆράς μιν ἕλῃ θεός· οὐδὲ γὰρ αὐτοῦ
φείσατο πρόσθεν Ἄρηος, ὅ περ πολὺ φέρτερος ἦεν.
Τρῶες δ' οὐκέτ' ἔμιμνον ἀνὰ στόμα δηιοτῆτος,
ἀλλ' ὀπίσω χάζοντο τεθηπότα θυμὸν ἔχοντες·
ἐν γάρ σφιν θήρεσσιν ἐοικότες ὠμοβόροισιν

276 *ἐν πολέεσσιν A, ἢ πολ. P, ἢ πολίεσσιν rtlk, ἀφραδέεσσιν sp* 278 *δ' ἐξ A, δ' ἄρ' rtlP, τόθ' h, καὶ k* 280 *ὑπέχον A, πέσχον δ' P, οἳ φέρον rtl, τεῦχον δ' hk* 284 *ἄρ'* om. *AP*, add. *st¹splk, τότε δ' r, τότ' ἐπ' pt* *θάρσος v, κάρτος ksp* 286 *μετ' AP, μέγ' pst¹splk* 288 sq. transpos. *k* 294 *γὰρ A, καὶ E¹Pptlk*

ἔνθορον Ἀργεῖοι μέγα μαιμώωντες Ἄρηι.
τῶν δ' ἄρα δαμναμένων ποταμοὶ πλήθοντο νέκυσσι
καὶ πεδίον· πολλοὶ γὰρ ἄδην πέσον ἐν κονίῃσιν
ἀνέρες ἠδ' ἵπποι· μάλα δ' ἅρματα πολλὰ κέχυντο
βαλλομένων· πάντῃ δ' ἀπερείσιον ἔρρεεν αἷμα
ὑετὸς ὥς· ὀλοὴ γὰρ ἐπήιεν Αἶσα κυδοιμόν.
καί ῥ' οἱ μὲν ξιφέεσσι πεπαρμένοι ἢ μελίῃσι
κεῖντο παρ' ἀλλήλοισιν ἀλίγκιον ἐκχυμένοισι
δούρασιν, εὖτ' ἐπὶ θινὶ βαρυγδούποιο θαλάσσης
ἀνέρες ἄσπετα δεσμὰ πολυκμήτων ἀπὸ γόμφων
λυσάμενοι σκεδάσωσι διὰ ξύλα μακρὰ καὶ ὕλην
ἠλιβάτου σχεδίης, πάντῃ δ' ἀναπλήθεται εὐρὺς
αἰγιαλός, τοῖσιν δὲ μέλαν ποτικλύζεται οἶδμα·
ὣς οἵ γ' ἐν κονίῃσι καὶ αἵματι δῃωθέντες
κεῖντο πολυκλαύτοιο λελασμένοι ἰωχμοῖο.
παῦροι δὲ προφυγόντες ἀνηλέα δηιοτῆτα
δῦσαν ἀνὰ πτολίεθρον ἀλευάμενοι βαρὺ πῆμα·
τῶν δ' ἄλοχοι καὶ παῖδες ἀπὸ χροὸς αἱματόεντος
τεύχεα πάντα δέχοντο κακῷ πεφορυγμένα λύθρῳ·
πᾶσι δὲ θερμὰ λοετρὰ τετεύχατο· πᾶν δ' ἀνὰ ἄστυ
ἔσσυντ' ἰητῆρες ἐς οὐταμένων αἰζηῶν
οἰκία ποιπνύοντες, ἵν' οὐταμένους ἀκέσωνται.
τοὺς δ' ἄλοχοι καὶ τέκνα περιστενάχοντο μολόντας
ἐκ πολέμου· πολλοὺς δὲ καὶ οὐ παρεόντας ἀύτευν·
καί ῥ' οἱ μὲν στυγερῇ βεβολημένοι ἦτορ ἀνίῃ
κεῖντο βαρὺ στενάχοντες ἐπ' ἄλγεσιν· οἱ δ' ἐπὶ δόρπον
ἐκ καμάτοιο τρέποντο· θοοὶ δ' ἐπαῦτεον ἵπποι

301 *-οντες v, -ωντες kP* 303 *καππεδίον AP, κὰπ π. l, καὶ π. pk* 308 *αἰγιαλοῖσιν v, ἀλλήλοισιν st¹spk.* totus v. deest in *P* 317 *-όμενοι V* 318 *-όεντα A, -όεντος rtlkP* 321 *κατ' AP, ἐς E¹tlk, ἀν' r* (vel *ἰητῆρε κατ'*) 326 *ὑπ' p*

φορβῇ ἐπιχρεμέθοντες ἄδην. ἑτέρωθι δ' Ἀχαιοὶ
πὰρ κλισίῃς νήεσσί θ' ὁμοίια Τρωσὶ πένοντο.
ἦμος δ' Ὠκεανοῖο ῥοὰς ὑπερήλασεν Ἠὼς
ἵππους μαρμαίροντας, ἀνέγρετο δ' ἔθνεα φωτῶν,
δὴ τότ' ἀρήιοι υἷες ἐυσθενέων Ἀργείων
οἵ μὲν ἔβαν Πριάμοιο ποτὶ πτόλιν αἰπήεσσαν,
οἵ δ' ἄρ' ἐνὶ κλισίῃσιν ἅμ' ἀνδράσιν οὐταμένοισι
μίμνον, μή ποτε λαὸς ἐπιβρίσας ἀλεγεινὸς
νῆας ἕλῃ Τρώεσσι φέρων χάριν· οἵ δ' ἀπὸ πύργων
μάρναντ' Ἀργείοισι, μόθος δ' ἀλεγεινὸς ὀρώρει.
Σκαιῇς μὲν προπάροιθε πύλης Καπανήιος υἱὸς
μάρναθ' ἅμ' ἀντιθέῳ Διομήδεϊ· τοὺς δ' ἄρ' ὕπερθε
Δηίφοβός τε μενεπτόλεμος κρατερός τε Πολίτης
σύν τ' ἄλλοις ἑτάροισιν ἐρητύεσκον ὀιστοῖς
ἠδ' ἄρα χερμαδίοισι· περικτυπέοντο δὲ φωτῶν
βαλλόμεναι κόρυθές τε καὶ ἀσπίδες, αἵ τ' ἀλεγεινὸν
αἰζηῶν ῥύοντο μόρον καὶ ἀμείλιχον αἶσαν.
ἀμφὶ δ' ἄρ' Ἰδαίῃσιν ἐριδμαίνεσκε πύλῃσιν
υἱὸς Ἀχιλλῆος· πονέοντο δέ οἵ πέρι πάντες
Μυρμιδόνες κρατεροῖο δαήμονες ἰωχμοῖο·
τοὺς δ' ἀπὸ τείχεος εἶργον ἀπειρεσίοις βελέεσσι
θαρσαλέως Ἕλενός τε καὶ ὀβριμόθυμος Ἀγήνωρ
Τρῶας ἐποτρύνοντες ἀνὰ μόθον· οἵ δὲ καὶ αὐτοὶ
προφρονέως μάρναντο φίλης περὶ τείχεσι πάτρης.
ἐς πεδίον δὲ πύλῃσι καὶ ὠκυπόρους ἐπὶ νῆας
νισσομένης Ὀδυσεύς τε καὶ Εὐρύπυλος πονέοντο
νωλεμέως· τοὺς δ' ἠὺς ἀφ' ἕρκεος ὑψηλοῖο

334 *-οισιν P* 339 *-θεν P* 341 *τ'* om. *AP*, add. *r* *ἐρητύοντες AP* et sic *k* lacunae signis ante hanc vocem positis ['probabile est excidisse epitheton ad *ὀιστοῖς* pertinens, quale *θοοῖσιν*'], *ἐρητύεσκον rtl* 353 *-μένους AP*, em. *r*

Αἰνείας λάεσσι μέγα φρονέων ἀπέρυκε.
πρὸς δὲ ῥόον Σιμόεντος ἔχεν πόνον ἀλγινόεντα
Τεῦκρος ἐυμμελίης· ἄλλῃ δ' ἔχεν ἄλλος ὀιζύν.
καὶ τότ' ἄρ' ἀμφ' Ὀδυσῆα δαΐφρονα κύδιμοι ἄνδρες
κείνου τεχνήεντι νόῳ ποτὶ μῶλον Ἄρηος
ἀσπίδας ἐντύναντο, βάλον δ' ἐφύπερθε καρήνων
θέντες ἐπ' ἀλλήλῃσι· μιῇ δ' ἅπαν ἥρμοσεν ἁρμῇ·
φαίης κεν μεγάροιο κατηρεφὲς ἔμμεναι ἕρκος
πυκνόν, ὅ τ' οὔτ' ἀνέμοιο διέρχεται ὑγρὸν ἀέντος
ῥιπὴ ἀπειρεσίη οὔτ' ἐκ Διὸς ἄσπετος ὄμβρος·
τοῖαι ἄρ' Ἀργείων πεπυκασμέναι ἀμφὶ βοείῃς
καρτύνοντο φάλαγγες· ἔχον δ' ἕνα θυμὸν ἐς ἀλκὴν
εἰς ἓν ἀρηρέμενοι· καθύπερθε δὲ Τρώιοι υἷες
βάλλον χερμαδίοισι· τὰ δ' ὡς στυφελῆς ἀπὸ πέτρης
γαῖαν ἔπι τραφερὴν ἐκυλίνδετο· πολλὰ δὲ δοῦρα
καὶ βέλεα στονόεντα καὶ ἀλγινόεντες ἄκοντες
πήγνυντ' ἐν σακέεσσι, τὰ δ' ἐν χθονί, πολλὰ δ' ἄπωθε
μαψιδίως φορέοντο παραγναμφθέντα βελέμνοις
πάντοθε βαλλομένων· οἱ δὲ κτύπον οὔ τι φέβοντο
ἄσπετον, οὐδ' ὑπόεικον, ἅτε ψεκάδων ἀίοντες
δοῦπον· ἄνω δ' ὑπὸ τεῖχος ὁμῶς ἴσαν· οὐδέ τις αὐτῶν
νόσφιν ἀφειστήκει, συναρηρέμενοι δ' ἐφέποντο,
ὡς νέφος ἠερόεν, τό ῥά που περὶ χείματι μέσσῳ

357 ἄλλον ὀιζύς *sp* 360 -οντο *wsp* κάρηνα *AP*, em. *r* 361 ἀλλήλοισι *AP*, em. *p* ὁρμῇ *AP* (-ῇ *P*), ἁρμῇ *r*st^1*spl*, μίῃ et ἅρμη *t* 363 ὃ *v*, ὅ τ' *k* 365 ἄρ' om. *AP*, add. *sp*st^1*lk* βοείαις *v*, -ῃς k^1 in praef. k^2 366 -αντο *v*, -οντο ex *P ego* 367 -άμεναι *v*, -άμενοι st^1*splk*, έμενοι *ego* 371 -θεν *v*, -θε k^2 372 περιγναμφθέντα β. *v*, π. βοείαις (*k* ol.) *l*, παρατραφθέντα βέλεμνα *h*, παραπλαγχθέντα βέλεμνα *k* olim temptavit, scripsit παλιμπλαγχθέντα βοείαις (-ῃς k^2) sequente lacuna velut πυκνὸν] ἀρηραμένῃσιν] et post eam ἀναγναμφθέντα βέλεμνα, *ego* παραγν. βελέμνοις scripsi 375 ἔσω *v*, ἄνω *k* 376 -άμενοι *v*, -έμενοι *ego*

αἰθέρος ἐξ ὑπάτοιο μακρὸν διέτεινε Κρονίων.
πουλὺς δ' ἀμφὶ φάλαγγι βρόμος καναχή θ' ὑπὸ ποσσὶ
νισσομένων ἐτέτυκτο· κόνιν δ' ἀπάτερθεν ἀῆται
ὀρνυμένην μάλα τυτθὸν ὑπὲρ δαπέδοιο φέρεσκον
αἰζηῶν μετόπισθε· περίαχε δ' ἄκριτος αὐδή,
οἷον ὑπὸ σμήνεσσι περιβρομέουσι μέλισσαι·
ἆσθμα δ' ἀνήιε πουλὺ χύδην, περίχευε δ' αὐτμὴν
λαοῦ ἀποπνείοντος. ἀπειρέσιον δ' ἄρα θυμῷ
Ἀτρεΐδαι κεχάροντο περὶ σφίσι κυδιόωντες,
δερκόμενοι πολέμοιο δυσηχέος ἄτρομον ἕρκος·
ὥρμηναν δὲ πύλῃσι θεηγενέος Πριάμοιο
ἀθρόοι ἐγχριμφθέντες ὑπ' ἀμφιτόμοις πελέκεσσι
ῥῆξαι τείχεα μακρά, πύλας δ' εἰς οὖδας ἐρεῖσαι
θαιρῶν ἐξερύσαντες· ἔχεν δ' ἄρα μῆτις ἀγαυὴ
ἐλπωρήν. ἀλλ' οὔ σφιν ἐπήρκεσαν οὔτε βόειαι
οὔτε θοοὶ βουπλῆγες, ἐπεὶ μένος Αἰνείαο
ὄβριμον ἀμφοτέρῃς ἐπαρηρότα χείρεσι λᾶαν
ἐμμεμαὼς ἐφέηκε, δάμασσε δὲ τλήμονι πότμῳ
ἀνέρας, οὓς κατέμαρψεν ἐν ἀσπίσιν, εὖτ' ἐν ὄρεσσι
φερβομένας ὑπὸ πρῶνα βίῃ κρημνοῖο ῥαγέντος
αἶγας, ὑποτρομέουσι δ', ὅσαι σχεδὸν ἀμφινέμονται·
ὣς Δαναοὶ θάμβησαν. ὁ δ' εἰσέτι λᾶας ὕπερθε
βάλλεν ἐπασσυτέρους, κλονέοντο δὲ πάγχυ φάλαγγες·
ὡς δ' ὅτ' ἐν οὔρεσι πρῶνας Ὀλύμπιος οὐρανόθι Ζεὺς
ἀμφὶ μιῇ κορυφῇ συναρηρότας ἄλλυδις ἄλλον
ῥήξῃ ὑπὸ βροντῇσι καὶ αἰθαλόεντι κεραυνῷ,
ἀμφὶ δὲ μῆλα τρέμουσι καὶ ἄλλυδις ἄλλα φέβονται·

379 δρόμος *v*, βρόμος *lbst¹bl¹k*, θρόος *st¹spl²* δ' *v*, θ' *st¹lk* 383 ἐπὶ σμ. *pst¹* περιτρομ. *AP*, em. *r* 386 πέρι φρεσὶ *st²* 398 ὅσοι *rtl* 399 -θεν *v*, correxi 404 μηλονόμοι (-όνομοί *P*) τε καὶ ἄλλ' ὅσα πάντα φ. *v*, καὶ ἄλσεα

ὣς ἄρ' Ἀχαιῶν υἷες ὑπέτρεσαν, οὕνεκ' ἄρ' αὐτῶν
Αἰνείας συνέχευε θοῶς ἔρυμα πτολέμοιο
ἀσπίσιν ἀκαμάτῃσι τετυγμένον, οὕνεκ' ἄρ' αὐτῷ
κάρτος ἀπειρέσιον θεὸς ὤπασεν. οὐδέ τις αὐτῶν
ἔσθενέ οἱ κατὰ δῆριν ἐναντίον ὄσσε βαλέσθαι,
οὕνεκά οἱ μάρμαιρε περὶ βριαροῖς μελέεσσι
τεύχεα θεσπεσίῃσιν ἐειδόμενα στεροπῇσιν·
εἱστήκει δέ οἱ ἄγχι δέμας κεκαλυμμένος ὄρφνῃ
δεινὸς Ἄρης καὶ πάντα κατιθύνεσκε βέλεμνα
ἢ μόρον ἢ δέος αἰνὸν ἐπ' Ἀργείοισι φέροντα·
μάρνατο δ' ὡς ὁπότ' αὐτὸς Ὀλύμπιος οὐρανόθι Ζεὺς
ἀσχαλόων ἐδάιξεν ὑπέρβια φῦλα Γιγάντων
σμερδαλέων, καὶ γαῖαν ἀπειρεσίην ἐτίναξε
Τηθύν τ' Ὠκεανόν τε καὶ οὐρανόν, ἀμφὶ δὲ πάντῃ
γυῖ' ἐλελίζετ' Ἄτλαντος ὑπ' ἀκαμάτου Διὸς ὁρμῇ·
ὣς ἄρ' ὑπ' Αἰνείαο κατηρείποντο φάλαγγες
Ἀργείων ἀνὰ δῆριν· ὁ γὰρ περὶ τεῖχος ἀπάντῃ
ἔσσυτο δυσμενέεσσι χολούμενος, ἐκ δ' ἄρα χειρῶν
πᾶν, ὅ τί οἱ παρέκυρσεν ἐπειγομένῳ ποτὶ μῶλον,
βάλλεν, ἐπεὶ μάλα πολλὰ κακῆς ἀλκτήρια χάρμης

πάντα st[1], καὶ ἄγρια πάντα sp (antea καὶ οἰοπόλοι vel αἰγοβόται φοβέονται), καὶ πώεα πάντα ls, καὶ ἄλλ' ἅμα πάντα ci. l, καὶ αἰπόλοι αἰνὰ φ. olim ci. k, postea μῆλα νομοῖσι κατ' ἄλσεα πάντα aut μηλονόμοισι κατ' ἄλσεα μῆλα φ., scripsit in editionibus ἀμφὶ δὲ μῆλα νομοῖσι καὶ ἄλλ' ὅσα νέρθε νέμονται sequente lacuna [velut κείνους ἔνθα καὶ ἔνθα] et post eam κατ' ἄλσεα πάντα φέβονται, *ego* μῆλα τρέμουσι καὶ ἄλλυδις ἄλλα φ. scripsi. 408 θάρσος v, κάρτος k 414 καὶ μ. καὶ AP, ἢ μ. ἢ rtlk, μοιρίδιον δέος ci. h 415 οὐρανόθεν P 417 σμερδαλέον v, -έων k 418 πάντα v, -ῃ k 419 ὑπὲρ καμάτου Δ. ἐρωῆς A, ὑπ' ἀκαμάτου Δ. ἐρωῆς E[1], ὑπ' ἀκαματοιο ἐρωῆς ci. t, ὑπ' ἀκαμάτου Δ. ὁρμῆς V[3]rtlk[1], sed ὁρμῇ k[1] in praef. k[2], ὑπ' ἀκαμάτοιο Δ. ὁρμῆς P 423 οἱ om. A, add. rP

κεῖτο μενεπτολέμων ἐπὶ τείχεσι Δαρδανιώνων,
τοῖσί περ Αἰνείας μεγάλῳ περὶ κάρτεϊ θύων
δυσμενέων ἀπέρυκε πολὺν στρατόν. ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες ἐκαρτύνοντο· κακὴ δ' ἔχε πάντας ὀϊζὺς
ἀμφὶ πόλιν· πολλοὶ δὲ κατέκταθεν ἠμὲν Ἀχαιῶν
ἠδὲ καὶ ἐκ Τρώων· μέγα δ' ἴαχον ἀμφοτέρωθεν,
Αἰνείας μὲν Τρωσὶ φιλοπτολέμοισι κελεύων
μάρνασθ' ἀμφὶ πόληος ἑῆς ἀλόχων τε καὶ αὐτῶν
προφρονέως· υἱὸς δὲ μενεπτολέμου Ἀχιλῆος
Ἀργείους ἐκέλευε παρὰ κλυτὰ τείχεα Τροίης
μίμνειν, ἄχρι πόληα πυρὶ πρήσαντες ἕλωσι.
τοὺς δ' ἄμφω στονόεσσα καὶ ἄσπετος ἄμφεχ' ἀυτὴ
μαρναμένους πρόπαν ἦμαρ ἀνὰ κλόνον· οὐδέ τις ἦεν
ἄμπνευσις πολέμοιο λιλαιομένων ἀνὰ θυμόν,
τῶν μὲν ἑλεῖν πτολίεθρον ὑπ' Ἄρεϊ, τῶν δὲ σαῶσαι.
Αἴας δ' αὖτ' ἀπάτερθε θρασύφρονος Αἰνείαο
μαρνάμενος Τρώεσσι κακὰς ἐπὶ κῆρας ἴαλλε
σφῇσιν ἐκηβολίῃσιν, ἐπεί ῥά οἱ ἄλλοτε μέν που
ἰθὺ βέλος πεπότητο δι' ἠέρος, ἄλλοτε δ' αὖτε
ἀλγινόεντες ἄκοντες· ἐπ' ἄλλῳ δ' ἄλλον ἔπεφνεν·
οἱ δὲ περιπτώσσοντες ἀμύμονος ἀνέρος ἀλκὴν
ἐς μόθον οὐκέτ' ἔμιμνον· ἔλειπε δὲ τείχεα λαός.

426 ἐπὶ *v*, περὶ *spst*²*k* 428 καρτύναντο *v*, ἐκαρτύνοντο ex *Pego* 429 sq. οἱ μὲν Ἀ. οἱ δὲ Τ. *A*, ἠμὲν Ἀ. ἠδὲ καὶ Τ. *VE*¹, ἠδέ τε καὶ Τ. *tl*, ἠδ' ἄρα καὶ Τ. *k*, οἱ μὲν Ἀ. οἱ δὲ καὶ ἐκ Τ. *P*, ἠδὲ καὶ ἐκ *ego* 432 ἑῶν τεκέων *v* et sic *k* lacunae signis post ἑῶν positis [velut ὕπερ ἄνδρα ἕκαστον | καὶ τοκέων ἀλόχων τε φίλων], ἑῆς τεκέων *hl*, ἑῆς ἀλόχων ex *Pego*
436 ἄσχετος *P* ἄμπεχ' *v*, ἄμπεχεν *P*, ἄμφεχ' *k*² 441 περὶ *v*, ἐπὶ *k* ἴαλλεν *v*, -ε *kP* 442 sq. hic quoque de lacunis ponendis cogitavit *k* [velut ἐπεί ῥά οἱ ἕρκεος αἰεὶ | ἰθὺ β. π. δι' ἠ., ἄλλοτε μέν που | ἰοὶ ἀπὸ νευρῆφι πολύστονοι, ἄλλοτε δ' αὖτε | ἀ. ἀ.]

καὶ τότε οἱ θεράπων πολὺ φέρτατος ἐν δαῒ Λοκρῶν,
Ἀλκιμέδων ἐρίθυμος, ἑῷ πίσυνος βασιλῆι
κάρτεΐ τε σφετέρῳ καὶ θαρσαλέῃ νεότητι,
ἐμμεμαὼς πολέμοιο θοοῖς ἐπεβήσατο ποσσὶ
κλίμακος, ὄφρα κέλευθον ἐπὶ πτόλιν ἀνδράσι θείη
λευγαλέην· σφετέρου δὲ καρήατος ἔμμεναι ἄλκαρ
ἀσπίδα θεὶς καθύπερθεν ἀνήιε λυγρὰ κέλευθα
ἄτρομον ἐνθέμενος κραδίῃ νόον· ἐν δ' ἄρα χειρὶ
ἄλλοτε μὲν δόρυ πάλλεν ἀμείλιχον, ἄλλοτε δ' αὖτε
εἷρπεν ἄνω· τὸν δ' αἶψα διηερίη φέρεν οἶμος.
καί νύ κε δὴ Τρώεσσιν ἄχος γένετ', εἰ μὴ ἄρ' αὐτῷ
ἤδη ὑπερκύπτοντι καὶ εἰσορόωντι πόληα
ὑστάτιον καὶ πρῶτον ἀφ' ἕρκεος ὑψηλοῖο
Αἰνείας ἐπόρουσεν, ἐπεί ῥά νιν οὐ λάθεν ὁρμὴ
οὐδ' ἀπάτερθεν ἐόντα· βάλεν δέ μιν εὐρέι πέτρῳ
κὰκ κεφαλῆς· μεγάλη δὲ βίῃ κρατερόφρονος ἀνδρὸς
κλίμακά οἱ συνέαξεν· ὁ δ' ὑψόθεν ἠύτ' ὀιστὸς
ἔσσυτ' ἀπὸ νευρῆς· ὀλοὸς δέ οἱ ἕσπετο πότμος
ἀμφελελιξαμένῳ· στονόεις δέ οἱ ἠέρι θυμὸς
αἶψα μίγη, πρὶν γαῖαν ἔπι στυφελὴν ἀφικέσθαι·
ἤριπε δ' ἐν θώρηκι κατὰ χθονός, οὕνεκ' ἄρ' αὐτοῦ
νόσφιν ἀπεπλάγχθη βριαρὸν δόρυ καὶ σάκος εὐρὺ
καὶ κρατερὴ τρυφάλεια· περιστονάχησε δὲ Λοκρῶν
λαός, ὅτ' ἔδρακον ἄνδρα κακῇ δεδμημένον ἄτῃ·
δὴ γάρ οἱ λασίοιο καρήατος ἄλλυδις ἄλλῃ

449 θάρσεϊ *v*, κάρτεϊ *ksp* 450 ἐπιβήσ. *v*, ἐπεβ. *splk* 452 σφ. καρ. ἠδὲ καὶ *A*, σφ. δὲ κ. ἤδε καὶ *P*, σφ. δὲ κ. ἔμμεναι *rtlsp*, κρατὸς δ' ἔρυμ' ἠδὲ καὶ ci. *p*, ἕρκος δὲ κ. ἠδὲ καὶ olim ci. *k*, lacunae signis post λευγαλέην positis σφετέροιο κ. ἠδὲ καὶ *schk* 460 νιν *AVP*, em. *r* λάθε χάρμη *v*, λάθεν ὁρμὴ *k*

ἐγκέφαλος πεπάλακτο· συνηλοίηντο δὲ πάντα
ὀστέα καὶ θοὰ γυῖα λυγρῷ πεπαλαγμένα λύθρῳ.
καὶ τότε δὴ Ποίαντος ἐὺς πάις ἀντιθέοιο,
ὡς ἴδεν Αἰνείαν περὶ τείχεα μαιμώωντα
θηρὶ βίην ἀτάλαντον, ἄφαρ προέηκεν ὀιστὸν
ἰθύνων ἐς φῶτα περικλυτόν· οὐδ' ἀφάμαρτεν
ἀνέρος, ἀλλά οἱ οὔ τι δι' ἀσπίδος ἀκαμάτοιο
ἐς χρόα καλὸν ἵκανεν· ἀπέτραπε γὰρ Κυθέρεια
καὶ σάκος, ἀλλ' ἄρα τυτθὸν ἐπέγραφε δέρμα βοείης.
οὐδ' ἄρα μαψιδίως χαμάδις πέσεν, ἀλλὰ Μίμαντα
μεσσηγὺς σάκεός τε καὶ ἱπποκόμου τρυφαλείης
τύψεν· ὁ δ' ἐκ πύργοιο κατήριπεν, εὖτ' ἀπὸ πέτρης
ἄγριον αἶγα βάλησιν ἀνὴρ στονόεντι βελέμνῳ·
ὣς ὁ πεσὼν τετάνυστο· λίπεν δέ μιν ἱερὸς αἰών.
Αἰνείας δ' ἑτάροιο χολωσάμενος βάλε πέτρην,
καί ῥα Φιλοκτήταο κατέκτανεν ἐσθλὸν ἑταῖρον
Τοξαίχμην· θλάσσεν δὲ κάρη, συνέαξε δὲ πάντα
ὀστέα σὺν πήληκι· λύθη δέ οἱ ἀγλαὸν ἦτορ.
τῷ δ' ἐπὶ μακρὸν ἄυσε πάις Ποίαντος ἀγαυοῦ·
„Αἰνεία, σύγ' ἔολπας ἐνὶ φρεσὶ σῇσιν ἄριστος
ἔμμεναι ἐκ πύργοιο πονεύμενος, ἔνθα γυναῖκες
δυσμενέσιν μάρνανται ἀνάλκιδες· εἰ δέ τίς ἐσσι,
ἔρχεο τείχεος ἐκτὸς ἐν ἔντεσιν, ὄφρα δαείης

472 *ἐγκ. κεκέδαστο ptl* *συνηλλοίωτο v*, *συνηλοίητο r*, *-ηντο splk* 475 *-οντα v*, *-ωντα kP* 480 *ἐπέχραε v*, *ἐπέγραφε rk* 481 *μιν ὄντα A*, *μιν οὔτα V*, *μιν ἄντα P*, *Μέδοντα* (*r*)k^1, *Μένοντα* $rtlk^2$, *Μίμαντα ego.* lacunae signa ['nomen et conditio interfecti hominis ita, ut par erat, commemorabatur'] auctoribus C^1p post h. v. pos. *k* 483 *δὲ π. AP*, *δ' ἐκ π. rtlk* 491 *νῦν A*, *νὺν ptlkP*, *σύγ' ego* 493 *δυσμενέεσσιν μάρνανται A*, *δυσμενέσιν μ.* E^1*Prtl*, *δυσμενέεσσι μάχονται* (*r*)*k* 494 *ἴσχεο AP*, *ἔρχεο rsctlNeumann*, *ἵκεο k* (*ἵστασο* olim)

Ποίαντος θρασὺν υἷα καὶ ἔγχεσι καὶ βελέεσσιν.“
ὣς ἄρ' ἔφη· τὸν δ' οὔ τι θρασὺς πάις Ἀγχίσαο
καί περ ἐελδόμενος προσεφώνεεν, οὕνεκ' ὀρώρει
δῆρις ὀιζυρὴ περὶ τείχεα μακρὰ καὶ ἄστυ
νωλεμέως· οὐ γάρ τι κακοῦ παύοντο μόθοιο·
οὐδέ σφιν μάλα δηρὸν ὑπ' Ἄρεϊ τειρομένοισιν
ἔσκε λύσις καμάτοιο, πόνος δ' ἄπρηκτος ὀρώρει.

495 σὺν ἔγχ. l

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Ἀλλ' ὅτε δὴ μάλα πολλὰ κάμον περὶ τείχεα Τροίης
αἰχμηταὶ Δαναοί, πολέμου δ' οὐ γίνετο τέκμωρ,
δὴ τότ' ἀριστήων ἄγυριν ποιήσατο Κάλχας
εὖ εἰδὼς ἀνὰ θυμὸν ὑπ' ἐννεσίῃς Ἑκάτοιο
πτήσιας οἰωνῶν ἠδ' ἀστέρας ἄλλά τε πάντα
σήμαθ', ὅσ' ἀνθρώποισι θεῶν ἰότητι πέλονται·
καί σφιν ἀγειρομένοισιν ἔπος ποτὶ τοῖον ἔειπε·
„μηκέτι πὰρ τείχεσσιν ἐφεζόμενοι πονέεσθε,
ἀλλ' ἄλλην τινὰ μῆτιν ἐνὶ φρεσὶ μητιάασθε
καὶ δόλον, ὃς λαοῖσι καὶ ἡμῖν ἔσσετ' ὄνειαρ·
ἦ γὰρ ἔγωγε χθιζὸν ἐσέδρακον ἐνθάδε σῆμα·
ἴρηξ σεῦε πέλειαν· ἐπειγομένη δ' ἄρα κείνη
χηραμὸν ἐς πέτρης κατεδύσατο· τῇ δ' ὁ χολωθεὶς
ἀργαλέως μάλα πολλὸν ἐπὶ χρόνον ἀγχόθι μίμνε
χηραμοῦ· ἡ δ' ἀλέεινεν· ὁ δ' ἐνθέμενος χόλον αἰνὸν
θάμνῳ ὑπεκρύφθη· ἡ δ' ἔκθορεν ἀφραδίῃσιν
ἔμμεναι ἐλπομένη μιν ἀπόπροθεν· ὃς δ' ἐπαερθεὶς
δειλαίῃ τρήρωνι φόνον στονόεντ' ἐφέηκε·

10 ἢ δόλον *v*, καὶ δ. *k* νήεσσι *v*, λαοῖσι *k* 13 δὲ *AMP*, δ' ὁ em. *r* 16 -ησι *M*

τῶ νῦν μή τι βίῃ πειρώμεθα Τρώιον ἄστυ
περσέμεν, ἀλλ' εἴ πού τι δόλος καὶ μῆτις ἀνύσσῃ.“
ὣς ἄρ' ἔφη· τῶν δ' οὔ τις ἔχε φρεσὶ τεκμήρασθαι
ἄλκαρ ὀιζυροῖο μόθου· δίζοντο δὲ μῆχος
εὑρέμεναι· μοῦνος δὲ σαοφροσύνῃσι νόησεν
υἱὸς Λαέρταο καὶ ἀντίον ἔκφατο μῦθον·
„ὦ φίλ', ἐπουρανίοισι τετιμένε πάγχυ θεοῖσιν,
εἰ ἐτεὸν πέπρωται ἐυπτολέμοισιν Ἀχαιοῖς
ἐκπέρσαι Πριάμοιο δολοφροσύνῃσι πόληα,
ἵππον τεκτήναντες *ἀριστέες ἐς λόχον ἄνδρες*
βησόμεθ' ἀσπασίως· λαοὶ δ' ἀπονόσφι νέεσθαι
ἐς Τένεδον σὺν νηυσίν, ἐνιπρῆσαι δ' ἄρα πάντες
ἃς κλισίας, ἵνα Τρῶες ἀπ' ἄστεος ἀθρήσαντες
ἐς πεδίον προχέωνται ἀταρβέες. ἀλλά τις ἀνὴρ
θαρσαλέος, τόν τ' οὔ τις ἐπίσταται ἐν Τρώεσσι,
μιμνέτω ἔκτοθεν ἵππου ἀρήιον ἐνθέμενος κῆρ,
ὅς τις ὑποκρίναιτο βίην ὑπέροπλον Ἀχαιῶν
(ῥέξαι ὑπὲρ νόστοιο λιλαιομένων) μέγ' ἀλύξαι
ἵππῳ ὑποπτήξας εὐεργέι· „τὸν δ' ἐκάμοντο
Παλλάδι (χωομένῃ Τρώων ὕπερ αἰχμητάων).“
καὶ τὰ μὲν ὣς ἐπὶ δηρὸν ἀνειρομένοισι πιφαύσκειν,
εἰς ὅ κέ οἱ πεπίθωνται ἀταρτηροί περ ἐόντες,
ἐς δὲ πόλιν μιν ἄγωσι θοῶς ἐλεεινὸν ἐόντα,
ἡμῖν ὄφρ' ἀλεγεινὸν ἐς Ἄρεα σῆμα πένηται,

20 *εἴ τι που AMP, εἴ τίς γε* VV^3E^1*tl, εἴ πού τι rk* 21 *οὔτις ἔφη v, οὔτις ἔχεϋ P, οὔτις ἔχε ego* 29 *νέεσθε P* 30 sq. *πάντα | ἐς κλισίην AMP, π. | ἐν κλισίῃς rt, πάντες | ἃς κλισίας kl* 33 *τόν δ' AM, τόν γ' tl, τόνγ' k, τόντ'* st^2 *-εσσιν M* 34 *ἔκτοθ' AMP, ἔκτοσθ' V, ἔκτοθεν* em. *r* 36 *μιν v, μὲν Vk, μέγ' ego* 37 *ὑποπλήξας AMP, -πτήξας rtlk, -πλέξας br* 42 *ὄφρ' ἡμῖν v,* transposui *πέληται v, πέν. hw*

τοῖς μὲν ἄρ' αἰθαλόεντα θοῶς ἀνὰ πυρσὸν ἀείρας,
τοὺς δ' ἄρ' ἐποτρύνας ἐκβήμεναι εὐρέος ἵππου,
ὁππότε Τρώιοι υἷες ἀκηδέες ὑπνώωσιν.“
ὣς φάτο· τὸν δ' ἄρα πάντες ἐπήνεον· ἔξοχα δ' ἄλλων
Κάλχας μιν θαύμαζεν, ὅπως ὑπεθήκατ' Ἀχαιοῖς
μῆτιν καὶ δόλον ἐσθλόν, ὃς Ἀργείοισιν ἔμελλε
νίκης ἔμμεναι ἄλκαρ, ἀτὰρ Τρωσὶν μέγα πῆμα·
τοὔνεκ' ἀριστήεσσιν ἐυπτολέμοισι μετηύδα·
„μηκέτι νῦν δόλον ἄλλον ἐνὶ φρεσὶ μητιάασθε,
ὦ φίλοι, ἀλλὰ πιθέσθαι ἐυπτολέμῳ Ὀδυσῆι·
οὐ γάρ οἱ ἄπρηκτον ἐυφρονέοντι νόημα·
ἤδη γὰρ Δαναοῖσι θεοὶ τελέουσιν ἐέλδωρ,
σήματα δ' οὐκ ἀτέλεστ' ἀναφαίνεται ἄλλοθεν ἄλλα·
Ζηνὸς μὲν γὰρ ὕπερθε μέγα κτυπέουσι δι' αἴθρης
βρονταὶ ὁμῶς στεροπῇσι· παραΐσσουσι δὲ λαοὺς
δεξιοὶ ὄρνιθες· ταναῇ ὀπὶ κεκλήγοντες.
ἀλλ' ἄγε μηκέτι πολλὸν ἐπὶ χρόνον ἀμφὶ πόληα
μίμνωμεν· Τρωσὶν γὰρ ἐνέπνευσεν μέγ' ἀνάγκη
θάρσος, ὅ περ πρὸς Ἄρηα καὶ οὐτιδανόν περ ἐγείρει·
κάρτιστοι δὲ τότ' ἄνδρες ἐπὶ μόθον, ὁππότε θυμὸν
παρθέμενοι στονόεντος ἀφειδήσωσιν ὀλέθρου·
ὡς νῦν Τρώιοι υἷες ἀταρβέες ἀμφιμάχονται
ἄστυ πέρι σφέτερον· μέγα δέ σφισι μαίνεται ἦτορ.“

43 *ἅμα v*, *ἀνὰ psplk* 45 *-ώουσιν AMP*, em. *r* 49 *μέγα Τρώεσι v*, *μ. Τρώεσσι P*, *μ. Τρώεξσιν* (sic!) *M*, *Τρωσὶν μ. h* 51 *-άασθε AMP Neumann*, *-άασθαι E*[1]*rsptlk*, *μητίσασθαι* ci. *sp* 52 *πίθεσθε AP*, *πείθεσθε M*, *πίθεσθαι tl*, *πιθέσθαι spk* 53 *οὐ γάρ οἱ ἔσσετ' ἄ. v*, *οὐχί οἱ ἔ. ἄ. hl*, *οὐδέ οἱ ἔ. ἄ. k* (vel *οὔτι οἱ* vel *οὔτι γὰρ ἔ. ἄ.*), *οὐ γάρ οἱ ἄ. hlw* (quo recepto sequi potest *ἐύφρονός ἐστι νόημα*), *οὔτι γὰρ ἔστ' ἄ.* *ego* conieci 56 *Ζηνός· ἃ μὲν v*, *Ζηνὸς μὲν blk* 58 *κεκληγότες A*, *-όντες rtlP*(?), *κεκλήγοντες Mk*, *κεκληγῶτες sp* 59 *μηκέτι* om. *MP* 63 *ἀκηδήσωσιν hw* 65 *σφιν v*, *σφισι splk*

ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
„ὦ Κάλχαν, δηίοισι καταντίον ἄλκιμοι ἄνδρες
μάρνανται· τοὶ δ' ἐντὸς ἀλευόμενοι ἀπὸ πύργων
οὐτιδανοὶ πονέονται, ὅσων φρένα δεῖμα χαλέπτει·
τῷ νῦν μήτε δόλον φραζώμεθα μήτέ τι μῆχος
ἄλλο· πόνῳ γὰρ ἔοικεν ἀριστέας ἔμμεναι ἄνδρας
καὶ δορί· θαρσαλέοι γὰρ ἀμείνονες ἐν δαῒ φῶτες.“
ὣς φάμενον προσέειπε μένος Λαερτιάδαο·
„ὦ τέκος ὀβριμόθυμον ἀταρβέος Αἰακίδαο,
ταῦτα μέν, ὡς ἐπέοικεν ἀμύμονι φωτὶ καὶ ἐσθλῷ,
θαρσαλέως μάλα πάντα διίκεο χερσὶ πεποιθώς·
ἀλλ' οὔτ' ἀκαμάτοιο τεοῦ πατρὸς ἄτρομος ἀλκὴ
ἔσθενεν ὄλβιον ἄστυ διαπραθέειν Πριάμοιο
οὔθ' ἡμεῖς μάλα πολλὰ πονεύμενοι. ἀλλ' ἄγε θᾶσσον
Κάλχαντος βουλῇσι θοὰς ἐπὶ νῆας ἰόντες
ἵππον τεκταίνωμεν ὑπαὶ παλάμῃσιν Ἐπειοῦ,
ὅς ῥά τε πολλὸν ἄριστος ἐν Ἀργείοισι τέτυκται
εἵνεκα τεκτοσύνης· δέδαεν δέ μιν ἔργον Ἀθήνη.“
ὣς φάτο· τῷ δ' ἄρα πάντες ἀριστῆες πεπίθοντο
νόσφι Νεοπτολέμοιο δαΐφρονος, οὐδὲ μὲν ἐσθλὸν
πεῖθε Φιλοκτήταο νόον κρατερὰ φρονέοντος·
ὑσμίνης γὰρ ἔτ' ἔσκον ὀιζυρῆς ἀκόρητοι.
ὥρμαινον δὲ μάχεσθαι ἀνὰ κλόνον· ἀμφὶ δὲ λαοὺς
σφωιτέρους ἐκέλευον ἀπειρέσιον περὶ τεῖχος
πάντα φέρειν, ὅσα δῆριν ἐνὶ πτολέμοισιν ὀφέλλει,

68 μάρνανθ' ὅσσοι *A*, μάρνανται ὅσσοι MVE^1P, μ. τοὶ *ptlk* ἐκτὸς *AM*, ἐντὸς C^1tlkP τοὺς δ' ἐκτὸς ci. *Gruebenau* 69 ὅσον *P* 70 μήτι *v*, μήτε *k* 71 ἀρίστους *r*? ἀτειρέας *h*, ἀριστέας *v* et sic *k* lacunae signis post hanc vocem positis [velut ἐμμενὲς αἰεὶ | λαῶν, ὅσσοι ἕπονται, ἀρίστους] 72 δ' ἄρ' *rtl* 76 πολλὰ *v*, πάντα *bhlk* διίκεο — μάλα πολλὰ (v. 79) soli servaverunt *MP* 82 ὑπ' *AMP*, ἐν em. *r*

ἐλπόμενοι πτολίεθρον ἐύκτιτον ἐξαλαπάξαι·
ἄμφω γὰρ βουλῇσι θεῶν ἐς δῆριν ἵκοντο.
καί νύ κεν αἶψ' ἐτέλεσσαν, ὅσά σφισιν ἤθελε θυμός,
εἰ μὴ Ζεὺς νεμέσησεν ἀπ' αἰθέρος, ἀμφὶ δὲ γαῖαν
Ἀργείων ἐλέλιξεν ὑπαὶ ποσί, σὺν δ' ἐτίναξεν
ἠέρα πᾶσαν ὕπερθε, βάλεν δ' ἀκάμαντα κεραυνὸν
ἡρώων προπάροιθεν· ὑπεσμαράγησε δὲ πᾶσα
Δαρδανίη. τῶν δ' αἶψα μετετράπετ' ἠὺ νόημα
ἐς φόβον· ἐκ δ' ἐλάθοντο βίης καὶ κάρτεος ἐσθλοῦ,
καί ῥα κλυτῷ Κάλχαντι (καὶ οὐκ ἐθέλοντε) πίθοντο·
ἐς δ' ἄρα νῆας ἵκοντο σὺν Ἀργείοισι καὶ ἄλλοις
μάντιν ἀγασσάμενοι, τὸν ἄρ' ἐκ Διὸς ἔμμεν ἔφαντο,
ἐκ Διὸς ἢ Φοίβοιο· πίθοντο δέ οἱ μάλα πάντα.
ἦμος δ' αἰγλήεντα περιστρέφετ' οὐρανὸν ἄστρα
πάντοθε μαρμαίροντα, πόνου δ' ἐπιλήθεται ἀνήρ,
δὴ τότ' Ἀθηναίη μακάρων ἕδος αἰπὺ λιποῦσα
ἤλυθε (παρθενικῇ ἀπαλόχροϊ πάντ' εἰκυῖα)
ἐς νῆας καὶ λαόν· ἀρηιφίλου δ' ἄρ' Ἐπειοῦ
ἔστη ὑπὲρ κεφαλῆς ἐν ὀνείραϊ, καί μιν ἀνώγει
τεῦξαι δούριον ἵππον· ἔφη δέ οἱ ἐγκονέοντι
αὐτὴ συγκαμέειν, αὐτὴ δ' ἄφαρ ἀγχόθι βῆναι
ἔργον ἐς ὀτρύνουσα. θεῆς δ' ὅ γε μῦθον ἀκούσας
καγχαλόων ἀνὰ θυμὸν ἀκηδέος ἔκθορεν ὕπνου·
ἔγνω δ' ἀθάνατον θεὸν ἄμβροτον· οὐδέ οἱ ἦτορ

91 ἐϋκτίμενον *AMP*, em. *r* 93 αἶψα τέλ. *v*, αἶψ' ἐτέλ. *k*[1] in praef. *k*[2] 96 ἅμα πάντα *AMP*, ἀκάμ. em. *r* 99 θάρσεος *l* 102 ἔφασαν *AMP*, ἔφησαν *rtl* (vel ἔφασκον *r*), ἔφαντο *C*[1]*k* 103 ἢ Δ. *v*, ἐκ Δ. *pblk* 106 γένος ἀμφιλιπ. *v*, γρ. ἀπα ἕδος ἀ. *sp*, ἕδος αἰπὺ λιπ. *kspl* 107 ἀταλάφρονι *v*, ἀταλόφρονι *M*, ἀ$\overset{\tau}{\pi}$αλάφρονι *P*, ἀπαλόχροϊ *k* 111 ἔνδοθι *v*, ἀγχόθι (*p*)*khl* 112 εἰς ἔ. ὀτρ. *A*, ἐς ἔ. ὀ. *MP*, ἔ. ἐποτρ. *rtl* (vel ἐσοτρ. *r*), ἔ. ἒς ὀ. *pk*

[2] dicht bewachsen, belaubt. — [3] ὑπο-δράω dienstbar sein. — [4] Block, Klotz. —

ἄλλο παρὲξ ὥρμαινε, νόον δ' ἔχεν αἰὲν ἐπ' ἔργῳ
θεσπεσίῳ· πινυτὴ δὲ περὶ φρένας ἤιε τέχνη.
Ἠὼς δ' ὁππόθ' ἵκανεν ἀπωσαμένη κνέφας ἠὺ
εἰς ἔρεβος, χαροπὴ δὲ δι' ἠέρος ἤιεν αἴγλη,
δὴ τότε θεῖον ὄνειρον ἐν Ἀργείοισιν Ἐπειός,
ὡς ἴδεν, ὡς ἤκουσεν, ἐελδομένοισιν ἔειπεν·
οἱ δέ οἱ εἰσαΐοντες ἀπειρέσιον κεχάροντο.
καὶ τότ' ἄρ' Ἀτρέος υἷες ἐς ἄγκεα τηλεθάοντα
Ἴδης ὑψικόμοιο θοοὺς προέηκαν ἱκέσθαι
ἀνέρας· οἱ δ' ἐλάτῃσιν ἐπιβρίσαντες ἀν' ὕλην
τάμνον δένδρεα μακρά· περικτυπέοντο δὲ βῆσσαι
θεινομένων· δολιχαὶ δὲ κατ' οὔρεα μακρὰ κολῶναι
δεύοντ' ἐκ ξυλόχοιο· νάπη δ' ἀνεφαίνετο πᾶσα
θήρεσιν οὐκέτι τόσσον ἐπήρατος, ὡς τὸ πάροιθε·
πρέμνα δ' ἀπαυαίνοντο βίην ποθέοντ' ἀνέμοιο.
καὶ τὰ μὲν ἂρ πελέκεσσι διατμήγοντες Ἀχαιοὶ
ἐσσυμένως φορέεσκον ἐπ' ἠόνας Ἑλλησπόντου
ἐξ ὄρεος λασίοιο[2]· μόγησε δὲ θυμὸς ἐπ' ἔργῳ
αἰζηῶν τε καὶ ἡμιόνων· πονέοντο δὲ λαοὶ
ἄσπετον ἄλλοθεν ἄλλος ὑποδρήσσοντες[3] Ἐπειῷ·
οἱ μὲν γὰρ τέμνεσκον ὑπ' ὀκριόεντι σιδήρῳ
δούρατα καὶ σανίδας διεμέτρεον, οἱ δ' ἄρ' ἀπ' ὄζους
λείαινον πελέκεσσιν ἔτ' ἀπρίστων ἀπὸ φιτρῶν[4],
ἄλλος δ' ἄλλό τι ῥέζε πονεύμενος. αὐτὰρ Ἐπειὸς
ἵππου δουρατέοιο πόδας κάμεν, αὐτὰρ ἔπειτα

117 *κν. ἱρὸν* | *ἠδ' ἔρ.* ci. *h* 122 *ἐς* omissum add. *r* 124 *ἐς v*, *ἀν' kspl*, *ἐν ὕλῃ p* 126 *ἰκρία AMP*, *οὔρεα rtlk* 127 *δεύοντο ξυλ. thw* 128 hunc v. soli servaverunt *MP* 134 *ἄσπετον* ubique omissum *ego* addidi, *μυρίοι rtl*, *ἄλλοι' ἄ.* ci. *k*, sed lacunam reliquit 135 *ὑποκριθέντι AMP*, *ὑποκρινθ. r*, *ὑπὸ κρυόεντι Canter*, *ὑπ' ὀκριόεντι tlk* 136 *δοῦρά τε A*, *δοῦρα τέ MP*, *δούρατα ptlk*

νηδύα, τῇ δ' ἐφύπερθε συνήρμοσε νῶτα καὶ ἰξὺν
ἐξόπιθεν, δειρὴν δὲ πάρος, καθύπερθε δὲ χαίτην
αὐχένος ὑψηλοῖο καθήρμοσεν, ὡς ἐτεόν περ
κινυμένην, λάσιον δὲ κάρη καὶ εὔτριχον οὐρὴν
οὔατά τ' ὀφθαλμούς τε διειδέας ἄλλά τε πάντα,
οἷς ἐπικίνυται ἵππος. ἀέξετο δ' ἱερὸν ἔργον
ὡς ἐτεὸν ζώοντος, ἐπεὶ θεὸς ἀνέρι τέχνην
δῶκ' ἐρατήν· τετέλεστο δ' ἐνὶ τρισὶν ἤμασι πάντα
Παλλάδος ἐννεσίῃσι· πολὺς δ' ἐπεγήθεε λαὸς
'Αργείων, θαύμαξε δ', ὅπως ἐπὶ δούρατι θυμὸς
καὶ τάχος ἐκπεπόνητο ποδῶν· χρεμέθοντί τ' ἐῴκει.
καὶ τότε δῖος 'Επειὸς ὑπὲρ μεγακήτεος ἵππου
εὔχετ' ἐπ' ἀκαμάτῳ Τριτωνίδι χεῖρας ὀρέξας·
„κλῦθι, θεὰ μεγάθυμε, σάου δ' ἐμὲ καὶ τεὸν ἵππον.“
ὣς φάτο· τοῦ δ' ἐσάκουσε θεὰ πολύμητις 'Αθήνη,
καί ῥά οἱ ἔργον ἔτευξεν ἐπιχθονίοισιν ἀγητὸν
πᾶσιν, ὅσοι μιν ἴδοντο καὶ οἳ μετόπισθε πύθοντο.
ἀλλ' ὅτε δὴ Δαναοὶ μὲν ἐγήθεον ἔργον 'Επειοῦ
δερκόμενοι, Τρῶες δὲ πεφυζότες ἔνδοθι πύργων
μίμνον ἀλευάμενοι θάνατον καὶ ἀνηλέα κῆρα,
δὴ τότ' ἐπ' 'Ωκεανοῖο ῥοὰς καὶ Τηθύος ἄντρα
Ζηνὸς ὑπερθύμοιο· θεῶν ἀπάτερθε μολόντος
ἔμπεσεν ἀθανάτοισιν ἔρις· δίχα δέ σφισι θυμὸς
ἔπλετ' ὀρινομένων. ἀνέμων δ' ἐπιβάντες ἀέλλαις
οὐρανόθεν φορέοντο ποτὶ χθόνα· τοῖσι δ' ὑπ' αἰθὴρ
ἔβραχεν· οἱ δὲ μολόντες ἐπὶ Ξάνθοιο ῥέεθρα

144 *οὔατα δ' v, οὔατά τ' tk* 145 *ἐπικαίνυται st*[1] 147 *δ' ἐπὶ v, δ' ἐνὶ spk* 150 *ἐκπεπότηται AMP, -το sp, ἐκπεπόνητο rtlk* 152 *εὔχεθ' ὑπ' AMP, εὔχετ' ἐπ'* em. *r* 158 *πύργου AMP, -ων* em. *r* 164 *φορέοντ' ἐπὶ A, φορέοντο ἐπὶ VE*[1]*rt, φορέοντα ἐπὶ MP, φορέοντο ποτὶ rsplk*

ἀλλήλων ἵσταντο καταντίον, οἱ μὲν Ἀχαιῶν
οἱ δ' ἄρ' ὑπὲρ Τρώων· πολέμου δ' ἔρος ἔμπεσε θυμῷ.
τοῖσι δ' ὁμῶς ἀγέροντο καὶ οἳ λάχον εὐρέα πόντον.
καί ῥ' οἱ μὲν δολόεντα κοτεσσάμενοι μενέαινον
ἵππον ἀμαλδῦναι σὺν νήεσιν, οἱ δ' ἐρατεινὴν
Ἴλιον· Αἶσα δ' ἔρυκε πολύτροπος, ἐς δὲ κυδοιμὸν
τρέψε νόον μακάρεσσιν. Ἄρης δ' ἐξῆρχε μόθοιο,
ἆλτο δ' Ἀθηναίης κατεναντίον· ὣς δὲ καὶ ἄλλοι
σύμπεσον ἀλλήλοισι· περὶ σφίσι δ' ἄμβροτα τεύχη
χρύσεα κινυμένοισι μέγ' ἴαχεν· ἀμφὶ δὲ πόντος
εὐρὺς ἐπεσμαράγησε· κελαινὴ δ' ἔτρεμε γαῖα
ἀθανάτων ὑπὸ ποσσί· μακρὸν δ' ἅμα πάντες ἄυσαν.
σμερδαλέη δ' ἐνοπὴ μέχρις οὐρανὸν εὐρὺν ἵκανε,
μέχρις ἐπ' Ἀιδονῆος ὑπερθύμοιο βέρεθρον·
Τιτῆνες δ' ὑπένερθε μέγ' ἔτρεσαν· ἀμφὶ δὲ μακρὴ
Ἴδη ἐπέστενε πᾶσα καὶ ἠχήεντα ῥέεθρα
ἀενάων ποταμῶν, δολιχαὶ δ' ἅμα τοῖσι χαράδραι
νῆές τ' Ἀργείων Πριάμοιό τε κύδιμον ἄστυ.
ἀλλ' οὐκ ἀνθρώποισι πέλεν δέος· οὐδ' ἐνόησαν
αὐτῶν ἐννεσίῃσι θεῶν ἔριν. οἱ δὲ κολώνας
χερσὶν ἀπορρήξαντες ἀπ' οὔρεος Ἰδαίοιο
βάλλον ἐπ' ἀλλήλους· αἱ δὲ ψαμάθοισιν ὁμοῖαι
ῥεῖα διεσκίδναντο θεῶν ἀμφ' ἄσχετα γυῖα
ῥηγνύμεναι διὰ τυτθά. Διὸς δ' ἐπὶ πείρασι γαίης
οὐ λάθον ἠὺ νόημα· λιπὼν δ' ἄφαρ Ὠκεανοῖο
χεύματ' ἐς οὐρανὸν εὐρὺν ἀνήιε· τὸν δὲ φέρεσκον

176 ὑπεσμ. *v*, ἐπεσμ. *splk* 179 ἀϊδωνῆος *M*, Αἰδων. *E*[1]*Prtl* βερέθρων *v*, βέρεθρον *spk* 180 ἐφύπερθε *A*, ἐφυπ. *M*, ἐφ' ὑπέρθε *P*, ὑπέν. *tlk* 181 ὑπέστ. *v*, ἐπέστ. *spk* 182 δολιχαί θ' *st*[2] 186 οὔδεος *AMP*, οὔρ. em. *r* 188 πέρι δ' ἄσχετα *A*, περιδ' ἄ. *MP*, περὶ δ' ἄ. et duorum hemistichiorum lacunam post διὰ τυτθὰ pos. *k*, περὶ ἄ. *rpt*, ἀμφ' ἄ. *hl*

Εὖρος καὶ Βορέης, Ζέφυρος δ' ἐπὶ τοῖσι Νότος τε,
τοὺς ὑπὸ θεσπέσιον ζυγὸν αἰόλος ἤγαγεν Ἶρις
ἅρματος αἰὲν ἐόντος, ὅ οἱ κάμεν ἄμβροτος Αἰὼν
χερσὶν ὑπ' ἀκαματῃσιν ἀτειρέος ἐξ ἀδάμαντος.
ἵκετο δ' Οὐλύμποιο ῥίον μέγα· σὺν δ' ἐτίναξεν
ἠέρα πᾶσαν ὕπερθε χολούμενος· ἄλλοθε δ' ἄλλαι
βρονταὶ ὁμῶς στεροπῇσι μέγ' ἔκτυπον· ἐκ δὲ κεραυνοὶ
ταρφέες ἐξεχέοντο ποτὶ χθόνα· καίετο δ' ἀὴρ
ἄσπετον. ἀθανάτοισι δ' ὑπὸ φρένας ἔμπεσε δεῖμα·
πάντων δ' ἔτρεμε γυῖα καὶ ἀθανάτων περ ἐόντων.
τῶν δὲ περιδδείσασα κλυτὴ Θέμις εὖτε νόημα
ἆλτο διὰ νεφέων· τάχα δέ σφεας εἰσαφίκανεν·
οἴη γὰρ στονόεντος ἀπόπροθι μίμνε μόθοιο·
τοῖον δ' ἔκφατο μῦθον ἐρυκανόωσα μάχεσθαι·
„ἴσχεσθ' ἰωχμοῖο δυσηχέος· οὐ γὰρ ἔοικε
Ζηνὸς χωομένοιο μινυνθαδίων ἕνεκ' ἀνδρῶν
μάρνασθ' αἰὲν ἐόντας, ἐπεὶ τάχα πάντες ἄιστοι
ἔσσεσθ'· ἦ γὰρ ὕπερθεν ἐφ' ὑμέας οὔρεα πάντα
εἰς ἓν ἀναρρήξας οὔθ' υἱῶν οὔτε θυγατρῶν
φείσεται, ἀλλ' ἄρα πάντας ὁμῶς ἐφύπερθε καλύψει
γαίῃ ἀπειρεσίῃ· οὐδ' ἔσσεται ὔμμιν ἄλυξις
ἐς φάος· ἀργαλέος δὲ περὶ ζόφος αἰὲν ἐρύξει.“
ὣς φάτο· τοὶ δ' ἐπίθοντο Διὸς τρομέοντες ὁμοκλήν,
ὑσμίνης δ' ἴσχοντο, χόλον δ' ἀπονόσφι βάλοντο
ἀργαλέον, φιλότητα δ' ὁμήθεα ποιήσαντο·

193 *τοὺς δ' v, τοὺς MPk* 195 *-τοῖσιν v, -τῃσιν* pl^2k 197 *ἄλλοτε δ' ἄ v, ἄλλοθεν ἄ.* l^2, *ἄλλοθε δ' ἄ. k* 198 *ἐν v, ἐκ* $rspl^2k$ 200 *ἄσπετος v, -τον k* *-τῃσι AMP*, em. *r* 203 *διὲκ sp* 206 *ἔοικεν v, -κε k* 209 *ὑμέας Arlk, ἡμέας MPt* 211 *ἅμα* olim ci. *k* *ὕπερθε AMP, ἐφύπ.* em. *r* 212 *γαίη ἀπειρεσίη v, -ῃ (r)kl* *ἄμμιν v, ὔμμιν rkl* 214 *δὲ πίθ. v, δ' ἐπίθ. MPk* 215 *ἔσχοντο v, ἴσχ. (pt)k*

καί ῥ' οἱ μὲν νίσσοντο πρὸς οὐρανόν, οἱ δ' ἁλὸς εἴσω,
οἱ δ' ἀνὰ γαῖαν ἔμιμνον. ἐυπτολέμοισι δ' Ἀχαιοῖς
υἱὸς Λαέρταο πύκα φρονέων φάτο μῦθον·
„ὦ κλυτοὶ Ἀργείων σημάντορες ὀβριμόθυμοι,
νῦν μοι ἐελδομένῳ τεκμήρατε, οἵ τινές ἐστε
ἐκπάγλως κρατεροὶ καὶ ἀμύμονες· ἦ γὰρ ἱκάνει
ἔργον ἀναγκαίης. ἀλλὰ μνησώμεθ' Ἄρηος,
ἐς δ' ἵππον βαίνωμεν ἐύξοον, ὄφρά κε τέκμωρ
εὕρωμεν πολέμοιο δυσηχέος· ὣς γὰρ ἄμεινον
ἔσσεται, εἴ κε δόλῳ καὶ μήδεσιν ἀργαλέοισιν
ἄστυ μέγ' ἐκπέρσωμεν, οὗ εἵνεκα δεῦρο μολόντες
πάσχομεν ἄλγεα πολλὰ φίλης ἀποτηλόθι γαίης.
ἀλλ' ἄγε δή, μένος ἠὺ καὶ ἄλκιμον ἐν φρεσὶ θέντες —
καὶ γάρ τις κατὰ δῆριν ἀνιηρῇ ὑπ' ἀνάγκῃ
θαρσήσας ἀνὰ θυμὸν ἀμείνονα φῶτα κατέκτα
χειρότερος γεγαώς· μάλα γὰρ μέγα θυμὸν ἀέξει
θάρσος, ὅ πέρ τε μάλιστα πέλει κλέος ἀνθρώποισιν· —
ἀλλ' ἄγ', ἀριστῆες μὲν ἑὸν λόχον ἐντύνεσθε·
οἱ δ' ἄλλοι Τενέδοιο πρὸς ἱερὸν ἄστυ μολόντες
μιμνέμεν, εἰς ὅ κεν ἄμμε ποτὶ πτόλιν εἰρύσσωσι

219 πυκνὰ *A*, πυκινὰ *MPV*, πύκα *V*[123]*rtlk* 220 ὦ νῦν μοι *A*, ὦ νύ μοι *MP*, ὦ φίλοι *r*, ὦ νῦν *t*, ὦ κλυτοὶ *kl* ἀκριτόμυθοι *v*, ὀβριμόθυμοι *kl* 224 ὄφρα τι *v*, ὄφρά τι *MP*, ὄφρα κε *kl* 226 ἦν καὶ *A*, ἤν κε *MVPrtlk*, εἴ κε *ego* κήδεσιν *AV*, μήδ. *MPrtlk* 229 θέσθε *v*(*P*?), θέντες *M* et sic *k* lacunae signis post h. v. positis [velut ἵπποιο σπεύδωμεν ἐυξόου ἔνδον ἱκέσθαι] 231 ἀμύμονα *AP*, ἀμύνονα *M*, ἀμείνονα *rtlk* 233 τε μάλιστα πολὺ λώιον *AMP*, τε μ. πολύλλιτον vel τε μ. φέρει κλέος vel τε φόβον πολὺ λώιον *r*, τε πέλει vel τ' ἀλκῆς μάλα λ. *d*, τε κλέος πολὺ λ. ci. *t*, τ' ἀλκῆς πολὺ λ. *thl*, lacunae signa pos. *k* hoc modo τε μάλιστα πέλει [velut κράτος ἀνθρώποισιν, | εἴδεος ἠδ' ἀλκῆς] πολὺ λ. ἀ. 234 εὐρὺν *AMP*, ἑὸν em. *r* ἐντύνασθε *M* 236 μίμνετε *v*, μίμνειν *hl*[1], μιμνέμεν *kl*[2] -ουσι *AMP*, em. *t*

δήιοι (ἐλπόμενοι Τριτωνίδι δῶρον ἄγεσθαι)
αἰζηῶν δέ τις ἐσθλός, ὃν οὐ σάφα Τρῶες ἴσασι,
μιμνέτω ἄγχ' ἵπποιο σιδήρεον ἐνθέμενος κῆρ·
καί οἱ πάντα μέλοιτο μάλ' ἔμπεδον, ὁππόσ' ἔγωγε
πρόσθ' ἐφάμην· καὶ μή τι περὶ φρεσὶν ἄλλο νοήσῃ,
ὄφρα μὴ ἀμφαδὰ Τρωσὶν Ἀχαιῶν ἔργα πέληται.“
ὣς φάτο· τὸν δὲ Σίνων ἀπαμείβετο κύδιμος ἀνὴρ
ἄλλων δειδιότων· μάλα γὰρ μέγα ἔργον ἔμελλεν
ἐκτελέειν· τῷ καί μιν ἐυφρονέοντ' ἀνὰ θυμὸν
εὐρὺς ἀγάσσατο λαός· ὁ δ' ἐν μέσσοισιν ἔειπεν·
„ὦ Ὀδυσεῦ καὶ πάντες Ἀχαιῶν φέρτατοι υἷες,
ἔργον μὲν τόδ' ἔγωγε λιλαιομένοισι τελέσσω,
εἰ καὶ ἀεικίζωσι καὶ εἰ πυρὶ μητιόωνται
βάλλειν ζωὸν ἐόντα· τὸ γάρ νύ μοι εὔαδε θυμῷ,
ἢ θανέειν δηίοισιν ὑπ' ἀνδράσιν ἢ ὑπαλύξαι
Ἀργείοις μέγα κῦδος ἐελδομένοισι φέροντα.“
ὣς φάτο θαρσαλέως· μέγα δ' Ἀργεῖοι κεχάροντο·
καί τις ἔφη· „ὡς τῷδε θεὸς μέγα θάρσος ἔδωκε
σήμερον· οὐ γὰρ πρόσθεν ἔην θρασύς· ἀλλά ἑ δαίμων
ὀτρύνει πάντεσσι κακὸν Τρώεσσι γενέσθαι
ἠὲ ἡμῖν· νῦν γάρ που ὀίομαι ἐσσυμένως περ
ἀργαλέου πολέμοιο τέκμωρ ἀίδηλον ἔσεσθαι.“
ὣς ἄρ' ἔφη κατὰ λαὸν ἀρηιφίλων τις Ἀχαιῶν.
Νέστωρ δ' αὖθ' ἑτέρωθεν ἐποτρύνων μετέειπε·

240 *μέδοντα AM, μέδοντο P, μέλοιτο* em. *r* 243 *φώνησέν τε A, κύδιμος ἀνήρ MVPtlk* 246 *ἠῢς v, εὐρὺς* ci. *k*, prob. *h* 249 *εἴτέ μ' A, εἴτε μ' Mp (εἴτ' ἐν πυρὶ p), εἴ κε μ' P*(?), *εἴ κέ μ' tl, εἰ καὶ* (*r*)*spk* *ἀεικίζουσι* sed *ω* superscr. *P* 254 *κάρτος v, θάρσος k* 257 *γάρ AM, γάρ τοι* E^1*pt, γάρ οἱ h, γάρ που rkl* (*τάχ'* et *καὶ* ci. *k*) 258 *πολέμου v, -οιο hlk* *εὔδηλον v, ἀίδ. k* *ἰδέσθαι h* 260 *αὖ v, αὖθ' MPlk* *-πεν v, -πε Mk*

„νῦν χρειώ, φίλα τέκνα, βίης καὶ θάρσεος ἐσθλοῦ·
νῦν γὰρ τέρμα πόνοιο θεοὶ καὶ ἀμύμονα νίκην
ἧμιν ἐελδομένοισι φίλας ἐς χεῖρας ἄγουσιν.
ἀλλ' ἄγε, θαρσαλέως πολυχανδέος ἔνδοθεν ἵππου
βαίνετ', ἐπεὶ μερόπεσσι κλέος μέγα θάρσος ὀπάζει·
ὡς ὄφελον μέγα κάρτος ἐμοῖς ἔτι γούνασι κεῖτο,
οἷον ὅτ' Αἴσονος υἱὸς ἔσω νεὸς ὠκυπόροιο
'Αργῴης καλέεσκεν ἀριστέας, ὁππότ' ἔγωγε
πρῶτος ἀριστήων καταβήμεναι ὁρμαίνεσκον,
εἰ μὴ ἄρ' ἀντίθεος Πελίης ἀέκοντά μ' ἔρυκε·
νῦν δέ με γῆρας ἔπεισι πολύστονον· ἀλλ' ἄρα καὶ ὧς,
ὡς νέος ἡβώων, καταβήσομαι ἔνδοθεν ἵππου
θαρσαλέως· θάρσος δὲ μένος καὶ κῦδος ὀπάσσει.“
ὣς φάμενον προσέειπε πάις ξανθοῦ 'Αχιλῆος·
„ὦ Νέστορ, σὺ μέν ἐσσι νόῳ προφερέστατος ἀνδρῶν
πάντων· ἀλλά σε γῆρας ἀμείλιχον ἀμφιμέμαρπεν,
οὐδέ τοι ἔμπεδός ἐστι βίη χατέοντι πόνοιο·
τῶ σε χρὴ Τενέδοιο πρὸς ἠόνας ἀπονέεσθαι·
ἐς δὲ λόχον νέοι ἄνδρες ἔθ' ὑσμίνης ἀκόρητοι
βησόμεθ', ὡς σύ, γεραιέ, λιλαιομένοις ἐπιτέλλεις.“
ὣς φάτο· τῷ δ' ἄγχιστα κιὼν Νηλήιος υἱὸς
ἀμφοτέρας οἱ ἔκυσσε χέρας κεφαλήν τ' ἐφύπερθεν,
οὕνεχ' ὑπέσχετο πρῶτος ἐς εὐρέα δύμεναι ἵππον,
αὐτὸν δ' αὖτε κέλευε γεραίτερον ἔκτοθι μίμνειν

263 ἡμῖν ἐλδ. *v*, ἡμῖν ἐελδ. *MP*, ἧμιν ἐελδ. *k* 266 ἐπὶ *v*, ἐνὶ *sp*, ἔτι *k* 273 θ. δὲ θεὸς *v*, κάρτος δὲ θ. *p* et *k* olim, θάρσος δὲ κλέος *spk*, θ. δὲ βίην *Gruebenau*, θ. δὲ μένος *ego* 275 Νέστωρ *v*, Νέστορ *MPspk* νόον *sp* προφερέστερος *v*, -φρονέστερος *MP*, προφερέστατος *k* 276 -μέμαρφε *MP*, sed in *M* π superscr. 277 τις *v*, τοι *Msplk* 281 τῷ δ' *v*, τοῦ δ' *k* 282 ἔκυσε *AMPtl*, -σσε *rk* 284 αὐτὸν, ὃν οὔτι *AM*; αὐτὸς, ὃν οὔτι *P*; αὐτὸς, μὶν δὲ *t*; αὐτὸς, τὸν δὲ *l*; αὐτὸν μὶν δὲ *sp*, αὐτὸν δ' αὖτε *k* (αὐτὸς, ὃ δ' αὖτε idem ol.

ἄλλοις σὺν Δαναοῖσιν· ἐέλδετο γὰρ πονέεσθαι·
καί ῥά μιν ἰωχμοῖο λιλαιόμενον προσέειπεν·
„ἐσσὶ πατρὸς κείνοιο βίῃ καὶ εὔφρονι μύθῳ
ἀντιθέου Ἀχιλῆος· ἔολπα δὲ σῇσι χέρεσσιν
Ἀργείους Πριάμοιο διαπραθέειν κλυτὸν ἄστυ·
ὀψὲ δ' ἄρ' ἐκ καμάτοιο μέγα κλέος ἔσσεται ἡμῖν
πολλὰ πονησαμένοισι κατὰ κλόνον ἄλγεα λυγρά.
ἄλγεα μὲν παρὰ ποσσὶ θεοὶ θέσαν ἀνθρώποισιν,
ἐσθλὰ δὲ πολλὸν ἄπωθε· πόνον δ' ἐς μέσσον ἔλασσαν·
τοὔνεκα ῥηιδίη μὲν ἐς ἀργαλέην κακότητα
αἰζηοῖσι κέλευθος, ἀνιηρὴ δ' ἐπὶ κῦδος,
μέσφ' ὅτε τις στονόεντα πόνον διὰ ποσσὶ περήσῃ.“
ὣς φάτο· τὸν δ' Ἀχιλῆος ἀμείβετο κύδιμος υἱός·
„ὦ γέρον, ὡς σύγ' ἔολπας ἐνὶ φρεσί, τοῦτο πέλοιτο
ἡμῖν εὐχομένοισιν, ἐπεὶ πολὺ λώιον οὕτως·
εἰ δ' ἑτέρως ἐθέλουσι θεοί, καὶ τοῦτο τετύχθω·
βουλοίμην δ' ἀπολέσθαι ἐυκλειῶς ὑπ' Ἄρηι,
ἢὲ φυγὼν Τροίηθεν ὀνείδεα πολλὰ φέρεσθαι.“
ὣς εἰπὼν ὤμοισι κατ' ἄμβροτα θήκατο τεύχη
πατρὸς ἑοῦ· τοὶ δ' αἶψα καὶ αὐτοὶ θωρήχθησαν
ἡρώων οἳ ἄριστοι, ὅσοις θρασὺς ἔπλετο θυμός.
τούς μοι νῦν καθ' ἕκαστον ἀνειρομένῳ σάφα Μοῦσαι
ἔσπεθ', ὅσοι κατέβησαν ἔσω πολυχανδέος ἵππου·
ὑμεῖς γὰρ πᾶσάν μοι ἐνὶ φρεσὶ θήκατ' ἀοιδήν,
πρίν γέ μοι ἀμφὶ παρειὰ κατασκίδνασθαι ἴουλον,

coniecit) 292 *περὶ AMP*, em. *r* 293 *δέ γε v, δ' ἐς MPspk* 294 hunc v. om. *M* 296 *-ήσει AMP*, em. *r* *μέσσον ὅτε — περῶσιν* ci. *k* 299 *οὕτω MP*, an *αὕτως*? 300 *ἑτέρωσε θέλ. MP* 301 *δ' ὑπ' ἄρηι ἐυκλ. ἀπολ. v, δ' ὑπ' ἄρεϊ MP, κεν ὑπ' Ἄρει hl, γὰρ ὑπ' Ἄ. k* (*ἄρει* k^2), *δ' ἀπολ. ἐυκλ. ὑπ' ἄρηι ego* 309 *πρίν μοι ἀμφὶ v, πρίν μοι ἔτ' k, πρίν γέ μοι h, πρὶν χνόϊ' Stadtmueller* *παρειᾷ A, παρειὰ* ME^1Pspk, *παρήϊα rtl*

Σμύρνης ἐν δαπέδοισι περικλυτὰ μῆλα νέμοντι
τρὶς τόσον Ἕρμου ἄπωθεν, ὅσον βοόωντος ἀκοῦσαι,
Ἀρτέμιδος περὶ νηόν, Ἐλευθερίῳ ἐνὶ κήπῳ,
οὔρεΐ τ' οὔτε λίην χθαμαλῷ οὔθ' ὑψόθι πολλῷ.
πρῶτος μὲν κατέβαινεν ἐς ἵππον κητώεντα
υἱὸς Ἀχιλλῆος, σὺν δ' ὁ κρατερὸς Μενέλαος
ἠδ' Ὀδυσεὺς Σθένελός τε παὶ ἀντίθεος Διομήδης·
βῆ δὲ Φιλοκτήτης τε καὶ Ἄντικλος ἠδὲ Μενεσθεύς,
σὺν δὲ Θόας ἐρίθυμος ἰδὲ ξανθὸς Πολυποίτης
Αἴας τ' Εὐρύπυλός τε καὶ ἰσόθεος Θρασυμήδης,
Μηριόνης τε καὶ Ἰδομενεὺς ἀριδεικέτω ἄμφω,
σὺν δ' ἄρ' ἐυμμελίης Ποδαλείριος Εὐρύμαχός τε
Τεῦκρός τ' ἀντίθεος καὶ Ἰάλμενος ὀβριμόθυμος,
Θάλπιος Ἀντίμαχός τε μενεπτόλεμός τε Λεοντεύς·
σὺν δ' Εὔμηλος ἔβη θεοείκελος Εὐρύαλός τε
Δημοφόων τε καὶ Ἀμφίμαχος κρατερός τ' Ἀγαπήνωρ,
σὺν δ' Ἀκάμας τε Μέγης τε κραταιοῦ Φυλέος υἱός·
ἄλλοι δ' αὖ κατέβαινον, ὅσοι ἔσαν ἔξοχ' ἄριστοι,
ὅσσους χάνδανεν ἵππος ἐύξοος ἐντὸς ἐέργειν.
ἐν δέ σφιν πύματος κατεβήσατο δῖος Ἐπειός,
ὅς ῥα καὶ ἵππον ἔτευξεν· ἐπίστατο δ' ᾧ ἐνὶ θυμῷ
ἠμὲν ἀναπτύξαι κείνου πτύχας ἠδ' ἐπερεῖσαι·
τοὔνεκα δὴ πάντων βῆ δεύτατος· εἴρυσε δ' εἴσω
κλίμακας, ᾗς ἀνέβησαν· ὁ δ' αὖ μάλα πάντ' ἐπερείσας

311 Ἕρμοῦ *v*, Ἕρμοῦ (sic!) *P*, Ἕρμου k^2 in add. 313 οὔρεϊ *v*, οὔρεΐ τ' *hlk* 315 δ' ὁ *v*, δὲ *blk* 322 Ἰαλμενὸς *v*, Ἰάλμ. l^2k^2 in add. 323 Ἀντίλοχός *A*, Ἀντίμαχός MVE^1Ptk, Ἀμφίλοχός *l* 326 Φιλέος *AMP*, em. *r* 328 in AC^2 desunt ἐύξοος — 330 ὅς ῥα καὶ, serv. soli *MP*; in C^1 legitur ὅσσους χάνδανεν ἵππος, ὃν ἴδρυς τεύξατ' Ἐπειὸς | Παλλάδος ἐννεσίῃσιν· ἐπίστατο κτέ. 331 ἀνωΐξαι *v*, ἀνοίξασθαι st^2, ἀναπτύξαι *k* 333 ἐπιέρσας *AMP*, ἐπερείσας *rtlk*

αὐτοῦ πὰρ κληῗδι καθέζετο· τοὶ δὲ σιωπῇ
πάντες ἔσαν μεσσηγὺς ὁμῶς νίκης καὶ ὀλέθρου.
οἱ δ' ἄλλοι νήεσσιν ἐπέπλεον εὐρέα πόντον
ἃς κλισίας πρήσαντες, ὅπῃ πάρος αὐτοὶ ἴαυον.
τοῖσι δὲ κοιρανέοντε δύω κρατερόφρονε φῶτε
σήμαινον, Νέστωρ τε καὶ αἰχμητὴς Ἀγαμέμνων·
τοὺς δὲ καὶ ἐλδομένους καταβήμεναι ἔνδοθεν ἵππου
Ἀργεῖοι κατέρυξαν, ἵν' ἐν νήεσσι μένοντες
λαοῖς σημαίνωσιν, ἐπεὶ πολὺ λώιον ἄνδρες
ἔργον ἐποίχονται, ὁπότ' εἰσορόωσιν ἄνακτες·
τοὔνεκ' ἄρ' ἔκτοθι μίμνον ἀριστῆές περ ἐόντες.
οἱ δὲ θοῶς ἀφίκοντο πρὸς ἠιόνας Τενέδοιο·
εὐνὰς δ' ἔνθ' ἔβαλον κατὰ βένθεος· ἐκ δ' ἔβαν αὐτοὶ
νηῶν ἐσσυμένως· ἀπὸ δ' ἔκτοθι πείσματ' ἔδησαν
ἠιόνων· αὐτοὶ δὲ παραυτόθι μίμνον ἕκηλοι
δέγμενοι, ὁππότε πυρσὸς ἐελδομένοισι φανείη.
οἱ δ' ἄρ' ἐν ἵππῳ ἔσαν δηίων σχεδόν, ἄλλοτε μέν που
φθεῖσθαι ὀιόμενοι, ὅτε δ' ἱερὸν ἄστυ δαΐξαι·
καὶ τὰ μὲν ἐλπομένοισιν ἐπήλυθεν Ἠριγένεια.
Τρῶες δ' εἰσενόησαν ἐπ' ἠόσιν Ἑλλησπόντου
καπνὸν ἔτ' ἀίσσοντα δι' ἠέρος· οὐδ' ἄρα νῆας
δέρκονθ', αἵ σφιν ἔνεικαν ἀφ' Ἑλλάδος αἰνὸν ὄλεθρον.
γηθόσυνοι δ' ἄρα πάντες ἐπέδραμον αἰγιαλοῖσι
τεύχε' ἐφεσσάμενοι· ἔτι γὰρ δέος ἄμφεχε θυμόν·
ἵππον δ' εἰσενόησαν ἐύξοον· ἀμφὶ δ' ἄρ' αὐτῷ
θάμβεον ἑσταότες· μάλα γὰρ μέγα ἔργον ἐτύχθη.
ἀγχόθι δ' αὖτε Σίνωνα δυσάμμορον εἰσενόησαν·

334 *περὶ AMP*, *πὰρ* em. *r* 335 *νίκης* om. *A*, add. *MP* 337 *ἐς AMP*, *ἃς* em. *r* 338 *δύο MP* 342 *ἄλλοις v*, *λαοῖς k* 343 *ἔργῳ v*, *ἔργω MP*, *ἔργον splk* *ἄνακτας v*, *-κτες splk* 354 *ἐπαΐσσ.* ci. *r* 356 *-οῖσιν MP*

καί μιν ἀνειρόμενοι Δαναῶν ὕπερ ἄλλοθεν ἄλλος
μέσσον ἐκυκλώσαντο περισταδόν· ἀμφὶ δὲ μύθοις
μειλιχίοις εἴροντο πάρος, μετέπειτα δ' ὁμοκλῇ
σμερδαλέῃ, καὶ πολλὰ δολόφρονα φῶτα δάιζον
πολλὸν ἐπὶ χρόνον αἰέν. ὁ δ' ἔμπεδον ἠύτε πέτρη
μίμνεν ἀτειρέα γυῖ' ἐπιειμένος. ὀψὲ δ' ἄρ' αὐτοῦ
οὔαθ' ὁμῶς καὶ ῥῖνας ἀπὸ μελέων ἐτάμοντο
πάμπαν ἀεικίζοντες, ὅπως νημερτέα εἴπῃ,
ὅππῃ ἔβαν Δαναοὶ σὺν νήεσιν, ἢ τί καὶ ἵππος
ἔνδον ἐρητύεσκεν. ὁ δ' ἐνθέμενος φρεσὶ κάρτος
λώβης οὐκ ἀλέγιζεν ἀεικέος, ἀλλ' ἐνὶ θυμῷ
ἔτλη ὑπὸ πληγῇσι καὶ ἐν πυρὶ τειρόμενός περ
ἀργαλέως· Ἥρη γὰρ ἐνέπνευσεν μέγα κάρτος·
τοῖα δ' ἄρ' ἐν μέσσοισι δολοφρονέων ἀγόρευεν·
„Ἀργεῖοι μὲν νηυσὶν ὑπερ πόντοιο φέβονται
μακρῷ ἀκηδήσαντες ἐπὶ πτολέμῳ καὶ ἀνίῃ·
Κάλχαντος δ' ἰότητι δαΐφρονι Τριτογενείῃ
ἵππον ἐτεκτήναντο, θεῆς χόλον ὄφρ' ἀλέωνται
πάγχυ κοτεσσαμένης Τρώων ὕπερ. ἀμφὶ δὲ νόστου
ἐννεσίῃς Ὀδυσῆος ἐμοὶ μενέαινον ὄλεθρον,
ὄφρά με δῃώσωσι δυσηχέος ἄγχι θαλάσσης
δαίμοσιν εἰναλίοις. ἐμὲ δ' οὐ λάθον, ἀλλ' ἀλεγεινὰς
σπονδάς τ' οὐλοχύτας τε μάλ' ἐσσυμένως ὑπαλύξας
ἀθανάτων βουλῇσι παραὶ ποσὶ κάππεσον ἵππου·
οἳ δὲ καὶ οὐκ ἐθέλοντες ἀναγκαίῃ μ' ἐλίποντο,
ἁζόμενοι μεγάλοιο Διὸς κρατερόφρονα κούρην.“

369 *ἠδὲ καὶ A, ἠὲ καὶ ME*[1], *ἦε καὶ P, ἢ τί καὶ rtlk, ἠδὲ τί p* 371—373 soli serv. *MP* 372 *καὶ v, ὑπὸ sp, ὑπαὶ* Stadtmueller 380 *ἐννεσίῃ v, -η MP, -ῃς splk* 381 *δὴ θύσωσι hw* 385 *με λίποντο v, μ' ἐλίποντο* ex *MPego*

ὣς φάτο κερδοσύνῃσι καὶ οὐ κάμεν ἄλγεσι θυμόν·
ἀνδρὸς γὰρ κρατεροῖο κακὴν ὑποτλῆναι ἀνάγκην.
τῷ δ' οἱ μὲν πεπίθοντο κατὰ στρατόν, οἱ δ' ἄρ' ἔφαντο
ἔμμεναι ἠπεροπῆα πολύτροπον, οἷς ἄρα βουλὴ
ἥνδανε Λαοκόωντος· ὁ γὰρ πεπνυμένα βάζων
φῆ δόλον ἔμμεναι αἰνὸν ὑπ' ἐννεσίῃσιν Ἀχαιῶν,
πάντας δ' ὀτρύνεσκε θοῶς ἐμπρησέμεν ἵππον,
ἵππον δουράτεον καὶ γνώμεναι, εἴ τι κέκευθε.
καί νύ κέ οἱ πεπίθοντο καὶ ἐξήλυξαν ὄλεθρον,
εἰ μὴ Τριτογένεια κοτεσσαμένη περὶ θυμῷ
αὐτῷ καὶ Τρώεσσι καὶ ἄστεϊ γαῖαν ἔνερθε
θεσπεσίην ἐλέλιξεν ὑπαὶ ποσὶ Λαοκόωντος.
τῷ δ' ἄφαρ ἔμπεσε δεῖμα· τρόμος δ' ἀμφέκλασε γυῖα
ἀνδρὸς ὑπερθύμοιο· μέλαινα δέ οἱ περὶ κρατὶ
νὺξ ἐχύθη· στυγερὸν δὲ κατὰ βλεφάρων πέσεν ἄλγος,
σὺν δ' ἔχεεν λασίῃσιν ὑπ' ὀφρύσιν ὄμματα φωτός·
γλῆναι δ' ἀργαλέῃσι πεπαρμέναι ἀμφ' ὀδύνῃσι
ῥιζόθεν ἐκλονέοντο· περιστρωφῶντο δ' ὀπωπαὶ
τειρόμεναι ὑπένερθεν· ἄχος δ' ἀλεγεινὸν ἵκανεν
ἄχρι καὶ ἐς μήνιγγας ἰδ' ἐγκεφάλοιο θέμεθλα·
τοῦ δ' ὅτε μὲν φαίνοντο μεμιγμένοι αἵματι πολλῷ
ὀφθαλμοί, ὅτε δ' αὖτε δυσαλθέα γλαυκιόωντες·
πολλάκι δ' ἔρρεον, οἷον ὅτε στυφελῆς ἀπὸ πέτρης
εἴβεται ἐξ ὀρέων νιφετῷ πεπαλαγμένον ὕδωρ·
μαινομένῳ δ' ἤικτο, καὶ ἔδρακε διπλόα πάντα,
αἰνὰ μάλα στενάχων. καὶ ἔτι Τρώεσσι κέλευεν,
οὐδ' ἀλέγιζε μόγοιο· φάος δέ οἱ ἐσθλὸν ἄμερσε

389 *τῶν v, τῷ δ' pk* 394 *γνῶναι v, γνώμεναι rsplk κέκευθε AM, κεκεύθε tl(P?), κεκεύθει k* 397 *-θεν v, -θε* cum *Pego* 402 *ἔχεε MP* 409 *ἀπὸ στ. ὅτε v, ὅτε στ. ἀπὸ gspk* 410 *εἴβεεν v, εἴβεται splk*

δῖα θεά· λευκαὶ δ' ἄρ' ὑπὸ βλέφαρ' ἔσταν ὀπωπαὶ
αἵματος ἐξ ὀλοοῖο. περιστενάχιζε δὲ λαὸς
οἰκτείρων φίλον ἄνδρα καὶ ἀθανάτην Ἀγελείην
ἐρριγώς, μὴ δή τι παρήλιτεν ἀφραδίῃσι.
καί σφιν ἐς αἰνὸν ὄλεθρον ἀνεγνάμφθη νόος ἔνδον,
οὕνεκα λωβήσαντο δέμας μογεροῖο Σίνωνος,
ἐλπόμενοι κατὰ θυμὸν ἐτήτυμα πάντ' ἀγορεύσειν·
τοὔνεκα προφρονέως μιν ἄγον ποτὶ Τρώιον ἄστυ
ὀψέ περ οἰκτείραντες. ἀγειρόμενοι δ' ἅμα πάντες
σειρὴν ἀμφεβάλοντο θοῶς περιμήκεϊ ἵππῳ
δησάμενοι καθύπερθεν, ἐπεί ῥά οἱ ἐσθλὸς Ἐπειὸς
ποσσὶν ὕπο βριαροῖσιν ἐύτροχα δούρατ' ἔθηκεν,
ὄφρά κεν αἰζηοῖσιν ἐπὶ πτολίεθρον ἕπηται
ἑλκόμενος Τρώων ὑπὸ χείρεσιν. οἱ δ' ἅμα πάντες
εἷλκον ἐπιβρίσαντες ἀολλέες, ἠύτε νῆα
ἕλκωσιν μογέοντες ἔσω ἁλὸς ἠχηέσσης
αἰζηοί, στιβαραὶ δὲ περιστενάχουσι φάλαγγες
τριβόμεναι, δεινὸν δὲ τρόπις περιτετριγυῖα
ἀμφὶς ὀλισθαίνουσα κατέρχεται εἰς ἁλὸς οἶδμα·
ὣς οἵ γέ σφισι πῆμα ποτὶ πτόλιν ἔργον Ἐπειοῦ
πανσυδίῃ μογέοντες ἀνείρυον. ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλὸν ἄδην στεφέων ἐριθηλέα κόσμον ἔθεντο·
αὐτοὶ δ' ἐστέψαντο κάρη· μέγα δ' ἤπυον αὐλοὶ

414 θεή *v*, θεά *k* γλαυκαὶ *rhl* δὲ ὑπὸ βλέφαρ' ἦσαν *A*, δ' ὑπόβλας φάρ' ἔσταν *M*, ἔσταν *V*, δὲ ὑπὸ βλέφαρων ἔσταν *P*, δὲ ὑπὸ βλέφαρ' ἔσταν *tn*, δ' ἄρ' ὑ. β. ἔ. *hlk* 416 σιφλὸν ci. *Meineke* 417 -ησιν *v*, -ησι cum *P ego* 418 νόον *MP*. post h. v. lacunae signa pos. *k* [velut δειδιότων, μὴ δή σφι καὶ αὐτοῖς ἄλγος ἕπηται] 420 ἀγορεύειν *v*, -σειν *ego* 422 ἄρα *v*, ἅμα *k* 425 δούρατα θῆκεν *v*, δούρατ' ἔθ. *k* 429 ἕλκωσι *MP*, -ουσιν *ptl* 430 -στενάχοντο *AMP*, -ουσι em. *r* 436 ἤπυε λαὸς *v* et sic *k* lacunae longioris signis post h. v. positis ['poterant enim haec multis

ἀλλήλοις ἐπικεκλομένων· ἐγέλασσε δ' Ἐνυὼ
δερκομένη πολέμοιο κακὸν τέλος, ὑψόθι δ' Ἥρη
τέρπετ', Ἀθηναίη δ' ἐπεγήθεεν. οἱ δὲ μολόντες
ἄστυ πότι σφέτερον μεγάλης κρήδεμνα πόληος
λυσάμενοι λυγρὸν ἵππον ἐσήγαγον· αἱ δ' ὀλόλυξαν
Τρωιάδες, πᾶσαι δὲ περισταδὸν εἰσορόωσαι
θάμβεον ὄβριμον ἔργον· ὃ δέ σφισιν ἔκρυφε πῆμα.
Λαοκόων δ' ἔτ' ἔμιμνεν ἐποτρύνων ἑτάροισιν
ἵππον ἀμαλδῦναι μαλερῷ πυρί· τοὶ δέ οἱ οὔ τι
πείθοντ', ἀθανάτων γὰρ ὑποτρομέεσκον ὁμοκλήν.
ἡ δ' ἔτι κύντερον ἄλλο θεὰ μεγάθυμος Ἀθήνη
δυστήνοις τεκέεσσιν ἐμήδετο Λαοκόωντος.
δὴ γάρ που πέλεν ἄντρον ὑπὸ στυφελώδεϊ πέτρῃ
ἠερόεν, θνητοῖσιν ἀνέμβατον, ᾧ ἔνι θῆρες
σμερδαλέοι ναίεσκον ἔτ' οὐλομένοιο γενέθλης
Τυφῶνος νήσοιο κατὰ πτύχας, ἥν τε Καλύδνην
λαοὶ ἐπικλείουσιν ἔσω ἁλὸς ἀντία Τροίης.
ἔνθεν ἀναστήσασα βίην καλέεσκε **δρακόντων**
ἐς Τροίην· οἱ δ' αἶψα θεῆς ὕπο κινηθέντες
νῆσον ἄδην ἐτίναξαν· ἐπεσμαράγησε δὲ πόντος
νισσομένων καὶ κῦμα διίστατο· τοὶ δ' ἐφέροντο
αἰνὸν λιχμώωντες· ἔφριξε δὲ κήτεα πόντου·
ἀμφὶ δ' ἄρα στενάχοντο μέγα Ξάνθοιο θύγατρες

exornari, montibus fluviisque ex more resonantibus!'], ἤπυον αὐλοὶ *st*[2] (prob. *n*) 437 ἐπικεκλόμενοι olim ci. *k* 445 θαλερῷ *A*, μαρῷ *M*, μαλερῷ *tlkP* τῷ *v*, τοὶ (*r*)*blk* 447 τῷ δ' ἐπικύντ. *A*, τῶ δ' ἐ. *M*, τῷ (τῶ *P*) δ' ἔπι κ. *rtlP* et sic *k* lacunae signis ante h. v. positis [velut δυσμόρου εἰσορόωντες ἀάσχετον ἀνέρος ἄλγος·], τῷ δ' ἔτι κ. *h*, ἡ δ' ἔτι *ego* 451 ἀπ' οὐλ. ci. *r* 453 ἐπικικλήσκουσιν *A*, κικλ. *C*[1]*Prt* (vel ἐπικλήζουσιν *r*), ἐπικλύουσιν *ME*[1], ἐπικλείουσιν *kspl* 456 ἑὴν *v*, ὅλην *spk*, ἄδην *Stadtmueller* 458 -ώοντες *v*, -ώωντες *k*[1] in praef. *k*[2]

Νύμφαι καὶ Σιμόεντος, ἀπ' Οὐλύμποιο δὲ Κύπρις
ἄχνυτο. τοὶ δ' ἄφαρ ἷξον, ὅπῃ θεὸς ὀτρύνεσκε,
θήγοντες βλοσυρῇσι γενειάσι λοιγὸν ὀδόντων
δυστήνοις ἐπὶ παισί· κακὴ δ' ἐπενίσσετο φύζα
Τρῶας, ὅτ' εἰσενόησαν ἀνὰ πτόλιν αἰνὰ πέλωρα·
οὐδέ τις αἰζηῶν, οὐδ' εἰ πάρος ἄτρομος ἦεν,
μεῖναι ἔτλη· πάντας γὰρ ἀμείλιχον ἄμφεχε δεῖμα
θῆρας ἀλευομένους· ὀδύνῃ δὲ καὶ ἔνθα γυναῖκες
οἴμωζον· καί πού τις ἑῶν ἐπελήσατο τέκνων
αὐτὴ ἀλευομένη στυγερὸν μόρον· ἀμφὶ δὲ Τροίη
ἔστεν' ἀπεσσυμένων· πολλοὶ δ' ἄφαρ εἰς ἓν ἰόντες
γυῖα περιδρύφθησαν· ἐνεστείνοντο δ' ἀγυιαῖς
ἀμφιπεριπτώσσοντες· ἔλειπτο δὲ μοῦνος ἄπωθε
Λαοκόων ἅμα παισί· πέδησε γὰρ οὐλομένη Κὴρ
καὶ θεός. οἱ δέ οἱ υἷας ὑποτρομέοντας ὄλεθρον
ἀμφοτέρους ὀλοῇσιν ἀνηρείψαντο γένυσσι
πατρὶ φίλῳ ὀρέγοντας ἑὰς χέρας· οὐδ' ὅ γ' ἀμύνειν
ἔσθενεν· ἀμφὶ δὲ Τρῶες ἀπόπροθεν εἰσορόωντες
κλαῖον ὑπὸ κραδίῃσι τεθηπότες. οἱ δ' ἄρ' Ἀθήνης
προφρονέως τελέσαντες ἀπεχθέα Τρωσὶν ἐφετμὴν
ἄμφω ἀιστώθησαν ὑπὸ χθόνα· τῶν δ' ἔτι σῆμα
φαίνεθ', ὅπου κατέδυσαν ἐς ἱερὸν Ἀπόλλωνος
Περγάμῳ ἐν ζαθέῃ. προπάροιθε δὲ Τρώιοι υἷες
παίδων Λαοκόωντος ἀμείλιχα δηωθέντων
τεῦξαν ἅμ' ἀγρόμενοι κενεὸν τάφον, ᾧ ἔπι δάκρυ

461 *ἷζαν A*, *ἷξαν MPrt*, *ἷζον VE*[1], *ἷξον splk* 462 *-ροῖσι MP* 463 *-νίσατο MP*, *-νίσσατο v*, *-νίσσετο rspk* 465 *μένος v*, *πάρος st*[2]*n* 467 *ὀδύνῃ δ' ἔχεν. ἔνθα v*, *ἐν δὲ* (*k* ol.) *l*, *ἂν δὲ k*, *ὀδύνῃ δ' ἔχεν ἔνθα* sequente lacuna [velut *καὶ ἔνθα* | *φεύγοντας ποτὶ δώματ' ἀμείλιχον· ἂν δὲ*] *st*[2], *ὀδύνῃ δὲ καὶ ἔνθα ego* 470 *ἐπεσσ. v*, *ἀπεσσ. ego* 472 *-θεν v*, *-θε k*[2] 475 *ἀνηρέψ. r* 476 *ὃς v*, *ὅγ' MVPkl* 484 *καὶ ἐπὶ v*, *καί ῥ' ἐπὶ g*, *ἠδ' ἐπὶ sp* olim, *ᾧ ἔπι kspl*

χεῦε πατὴρ ἀλαοῖσιν ὑπ' ὄμμασιν· ἀμφὶ δὲ μήτηρ
πολλὰ κινυρομένη κενεῷ ἐπαΰτεε τύμβῳ
ἐλπομένη τι καὶ ἄλλο κακώτερον, ἔστενε δ' ἄτην
ἀνέρος ἀφραδίῃς, μακάρων δ' ὑπεδείδιε μῆνιν·
ὡς δ' ὅτ' ἐρημαίην περιμύρεται ἀμφὶ καλιὴν
πολλὰ μάλ' ἀχνυμένη κατὰ δάσκιον ἄγκος ἀηδών,
ἧς ἔτι νήπια τέκνα, πάρος κελαδεινὸν ἀείδειν,
δάμναθ' ὑπὸ γναθμοῖσι μένος βλοσυροῖο δράκοντος,
μητέρι δ' ἄλγεα θῆκε, καὶ ἄσπετον ἀσχαλόωσα
μύρεται ἀμφὶ δόμον κενεὸν μάλα κεκληγυῖα·
ὡς ἥ γε στενάχιζε λυγρῷ τεκέων ἐπ' ὀλέθρῳ
μυρομένη κενεῷ περὶ σήματι· σὺν δέ οἱ ἄλλο
πῆμα μάλ' ἀργαλέον πόσιος πέλεν ἀμφ' ἀλαοῖο.
  καί ῥ' ἡ μὲν φίλα τέκνα καὶ ἀνέρα κωκύεσκε,
τοὺς μὲν ἀποφθιμένους, τὸν δ' ἄμμορον ἠελίοιο·
Τρῶες δ' ἀθανάτοισιν ἐπεντύνοντο θυηλὰς
λείβοντες μέθυ λαρόν, ἐπεί σφισιν ἦτορ ἐώλπει
λευγαλέου πολέμοιο βαρὺ σθένος ἐξυπαλύξειν.
ἱερὰ δ' οὐ καίοντο, πυρὸς δ' ἐσβέννυτ' ἀυτμή,
ὄμβρου ὅπως καθύπερθε δυσηχέος ἐσσυμένοιο·
καπνὸς δ' αἱματόεις ἀνεκήκιε· μηρὰ δὲ πάντα
πῖπτε χαμαὶ τρομέοντα· κατηρείποντο δὲ βωμοί·
σπονδαὶ δ' αἷμα γένοντο· θεῶν δ' ἐξέρρεε δάκρυ,
καὶ νηοὶ δεύοντο λύθρῳ· στοναχαὶ δ' ἐφέροντο
ἔκποθεν ἀπροφάτοιο· περισσείοντο δὲ μακρὰ
τείχεα καὶ πύργοι μεγάλ' ἔκτυπον, ὡς ἀχέοντες·

485 ἐπ' *AMP*, ὑπ' *ptsplk* 488 ἀφραδίῃ *v*, -ῃς *k*, ἐν κραδίῃ *l* (ἀργαλέην idem coniecit) ὑποδ. *v*, ὑπεδ. *k* 492 μένος om. *A*, add. *MPr* 495 λυγρὸν *v*, -ῷ *kl* 496 τεκέων *AMP*, κενεῷ *ptlk* ἐπὶ *v*, περὶ *MPkspl* 497 ὀλοοῖο *AMP*, em. *r* 498 hunc v. soli serv. *MP* 502 -ξαι *p* et sic *k* errore 510 ἐτεόν περ *v* et sic (*p*)*k* la-

αὐτόματοι δ' ἄρ' ὀχῆες ἀνωίγνυντο πυλάων
αἰνὸν κεκλήγοντες· ἐπεστενάχοντο δὲ λυγρὸν
ἐννύχιοι ὄρνιθες ἐρημαῖον βοόωντες·
ἄστρα δὲ πάντ' ἐφύπερθε θεοδμήτοιο πόληος
ἀχλὺς ἀμφεκάλυψε καὶ ἀννεφέλου περ ἐόντος
οὐρανοῦ αἰγλήεντος· ἀπαυαίνοντο δὲ δάφναι
πὰρ νηῷ Φοίβοιο πάρος θαλεραί περ ἐοῦσαι·
ἐν δὲ λύκοι καὶ θῶες ἀναιδέες ὠρύσαντο
ἔντοσθεν πυλέων· μάλα μυρία δ' ἄλλα φαάνθη
σήματα, Δαρδανίδῃσι καὶ ἄστεϊ πῆμα φέροντα.
ἀλλ' οὐ δεῖμ' ἀλεγεινὸν ὑπὸ Τρώων φρένας ἷξε
δερκομένων ἀλεγεινὰ τεράατα πάντα κατ' ἄστυ·
Κῆρες γὰρ πάντων νόον ἔκβαλον, ὄφρ' ἐπὶ δαιτὶ
πότμον ἀναπλήσωσιν ὑπ' Ἀργείοισι δαμέντες.
οἴη δ' ἔμπεδον ἦτορ ἔχεν πινυτόν τε νόημα
Κασσάνδρη, τῆς οὔ ποτ' ἔπος γένετ' ἀκράαντον,
ἀλλ' ἄρ' ἐτήτυμον ἔσκεν, ἀκούετο δ' ἔκ τινος αἴσης
ὡς ἀνεμώλιον αἰέν, ἵν' ἄλγεα Τρωσὶ γένηται.
ἡ ῥ' ὅτε σήματα λυγρὰ κατὰ πτόλιν εἰσενόησεν
εἰς ἓν ἅμ' ἀίσσοντα, μέγ' ἴαχεν, εὖτε λέαινα,
ἥν ῥά τ' ἐνὶ ξυλόχοισιν ἀνὴρ λελιημένος ἄγρης
οὐτάσῃ ἠὲ βάλῃ, τῆς δ' ἐν φρεσὶ μαίνεται ἦτορ

cunae signis post h. v. positis, quam *ἤδη περθομένης Δαναῶν ὑπὸ χερσὶ* (vel *π. ὑπὸ δυσμενέεσσι*) *πόληος* explet *Stadtmueller*. *ἀχέοντες ego* 512 *κεκληγῶτες sp* 514 *-κμήτοιο v*, *-δμήτοιο k* 517 *νηὸς A*, *νηὸν VE¹rtl*, *νηῶν MP*, *νηῷ dk* 519 *ἔκτοθε AC¹*, *ἔκτοσθε E¹*, *ἔκτοσθεν rP* (an recte?), *ἔντοσθεν Mdptlk* *ἀνεφαάνθη AM*, *ἀνεεφ. P*, *ἀμφεφαάνθη rtl* (vel *ἐξανεφάνθη r*), *ἄλλα φαάνθη* (*t*)*h k¹* in praef. *k²*, *αἶν' ἐφ.* olim ci. *k* 521 *ἐπὶ v*, *ὑπὸ kl²* 528 *ἦεν v*, *αἰέν blk* 532 *μάρνανται AMP*, em. *r*. post h. v. lacunae signa pos. *k* [velut *ἄλγεσιν· ἀμφιθέει δ' ὑπὸ χάσματι βεβρυχυῖα k* vel *βεβρυχυῖα δ' ἄρ' ἔσσυθ', ὑφ' ἕλκεϊ τειρομένη περ Stadtmueller*]

* * * * * *

πάντῃ ἀν' οὔρεα μακρά, πέλει δέ οἱ ἄσχετος ἀλκή·
ὣς ἄρα μαιμώωσα θεόπροπον ἔνδοθεν ἦτορ
ἤλυθεν ἐκ μεγάροιο· κόμαι δέ οἱ ἀμφεκέχυντο
ὤμοις ἀργυφέοισι μετάφρενον ἄχρις ἰοῦσαι·
ὄσσε δέ οἱ μάρμαιρεν ἀναιδέα· τῆς δ' ὑπὸ δειρή,
ἐξ ἀνέμων ἅτε πρέμνον, ἄδην ἐλελίζετο πάντῃ.
καί ῥα μέγα στενάχιζε καὶ ἴαχε παρθένος ἐσθλή·
„ἆ δειλοί, νῦν βῆμεν ὑπὸ ζόφον· ἀμφὶ γὰρ ἡμῖν
ἔμπλειον πυρὸς ἄστυ καὶ αἵματος ἠδὲ καὶ οἴτου
λευγαλέου· πάντῃ δὲ τεράατα δακρυόεντα
ἀθάνατοι φαίνουσι, καὶ ἐν ποσὶ τέρματ' ὀλέθρου·
σχέτλιοι, οὐδέ τι ἴστε κακὸν μόρον, ἀλλ' ἅμα πάντες
χαίρετ' ἔτ' ἀφραδέοντες, ὅ περ μέγα πῆμα κέκευθεν.
ἀλλά μοι οὐ πείθεσθ', οὐδ' εἰ μάλα πόλλ' ἀγορεύω,
οὕνεκ' Ἐριννύες ἄκρα γάμου κεχολωμέναι αἰνοῦ
ἀμφ' Ἑλένης καὶ Κῆρες ἀμείλιχοι ἀίσσουσι
πάντῃ ἀνὰ πτολίεθρον· ἐπ' εἰλαπίνῃ δ' ἀλεγεινῇ
δαίνυσθ' ὕστατα δόρπα κακῷ πεφορυγμένα λύθρῳ
ἤδη ἐπιψαύοντες ὁμὴν ὁδὸν εἰδώλοισι.“

533 *ἄσπετος sp* 538 *ἄδην* om. *MP* 539 *στενάχησε A*, *-ισε M*, *-ιξε E¹Ptl*, *στονάχησε C¹rk* 543 *κείμεθ' v*, *πείρατ' h*, *τέρματ' k* (olim *κεῖται ὄλεθρος*) 544 sq. *μόρον v*, *λόχον ego* antehac *ἄρα π.* | *χαίρετε v*, *ἅμα π.* | *χαίρετ' ἄρ' splk*, *χ. ἔτ' ego*, *ἀφραδέοντες χαίρεθ' h.* post *ἀφραδέοντες* maioris lacunae signa pos. *k* ['nusquam enim id, quod vel maxime erat premendum, exponit illa Graecos duces illo equo esse conclusos, noctu in dormientes Troianos impetum facturos; nusquam cohortatur Troianos, ut igne ferroque equum diruant'], duo tantum hemistichia deesse [velut *οἳ ἠγάγετ' ἐς πόλιν αὐτοὶ* | *Ἀργείων λυγρὸν ἵππον*] censet *Stadtmueller* *ὃ γὰρ v*, *ὃ δὲ ego* antehac, nunc *ὅ περ* 546 *ἀγορεύσω v*, *-εύω spk* 547 *ἄρα AMP*, *αἰνὰ r*, *ἄκρα ptlk* (vel *ἀμφὶ t*) 551 *-σιν v*, *-σι MPk*

καί τις κερτομέων ὀλοφώιον ἔκφατο μῦθον·
„ὦ κούρη Πριάμοιο, τί ἤ νύ σε μάργος ἀνώγει
γλῶσσα κακοφραδίη τ' ἀνεμώλια πάντ' ἀγορεύειν;
οὐδέ σε παρθενικὴ καὶ ἀκήρατος ἀμφέχει αἰδώς,
ἀλλά σε λύσσ' ὀλοὴ περιδέδρομε· τῶ νύ σε πάντες
αἰὲν ἀτιμάζουσι βροτοὶ πολύμυθον ἐοῦσαν.
ἔρρε καὶ Ἀργείοισι κακὴν προτιόσσεο φήμην
ἠδ' αὐτῇ· τάχα γάρ σε καὶ ἀργαλεώτερον ἄλγος
μίμνει Λαοκόωντος ἀναιδέος· οὐ γὰρ ἔοικεν
ἀθανάτων φίλα δῶρα δαΐζέμεν ἀφραδέοντα."
ὣς ἄρ' ἔφη Τρώων τις ἀνὰ πτόλιν· ὣς δὲ καὶ ἄλλοι
κούρην μωμήσαντο καὶ οὐ φάσαν ἄρτια βάζειν,
οὕνεκ' ἄρά σφισι πῆμα καὶ ἀργαλέον μένος Αἴσης
ἄγχι παρειστήκει· τοὶ δ' οὐ νοέοντες ὄλεθρον
κείνην κερτομέοντες ἀπέτρεπον εὐρέος ἵππου·
ἣ γάρ οἱ μενέαινε διὰ ξύλα πάντα κεδάσσαι
ἠὲ καταπρῆσαι μαλερῷ πυρί· τοὔνεκα πεύκης
αἰθομένης ἔτι δαλὸν ἀπ' ἐσχαρεῶνος ἑλοῦσα
ἔσσυτο μαιμώωσ', ἑτέρῃ δ' ἐνὶ χειρὶ φέρεσκεν
ἀμφίτυπον βουπλῆγα· λυγροῦ δ' ἐπεμαίετο ἵππου,
ὄφρα λόχον στονόεντα καὶ ἀμφαδὸν ἀθρήσωσι
Τρῶες· τοὶ δέ οἱ αἶψα χερῶν ἀπονόσφι βαλόντες
πῦρ ὀλοόν τε σίδηρον ἀκηδέες ἐντύνοντο
δαῖτα λυγρήν· μάλα γάρ σφας ἐπήιεν ὑστατίη νύξ.
Ἀργεῖοι δ' ἔντοσθεν ἐγήθεον εἰσαΐοντες
δαινυμένων ὅμαδον κατὰ Ἴλιον οὐδ' ἀλεγόντων

559 ἢ *sp* γάρ om. *A*, add. *MPkspl*, πού *rt* 564 οὕνεκά σφι π. (οὔ- *M*) *AM*, οὕνεκά σφιν π. (οὔ- *P*) C^1P, οὕνεκά σφιν μέγα π. *dt*, οὕνεκα δή σφισι *r*, οὕνεκ' ἄρα σφίσι *kspl* 570 ἐνὶ *v*, ἐν *k* 571 λυγρῷ et ἵππῳ *v*, λυγρῷ et ἵππου *MP*, λυγροῦ et ἵππου *k* -μαίνετο *v*, -μαίετο *rk* 575 ῥα *AMP*, σφιν *rtl*, σφας *k*

Κασσάνδρης, τήν ῥ' αὐτοὶ ἐθάμβεον, ὡς ἐτέτυκτο
ἀτρεκέως εἰδυῖα νόον καὶ μῆτιν Ἀχαιῶν.
ἡ δ' ἅτε πόρδαλις ἔσσυτ' ἐν οὔρεσιν ἀσχαλόωσα,
ἥν τ' ἀπὸ μεσσαύλοιο κύνες μογεροί τε νομῆες
σεύοντ' ἐσσυμένως, ἡ δ' ἄγριον ἦτορ ἔχουσα
ἐντροπαλιζομένη ἀναχάζεται τειρομένη περ·
ὣς ἥ γ' εὐρέος ἵππου ἀπέσσυτο ἀχνυμένη κῆρ
Τρώων ἀμφὶ φόνῳ· μάλα γὰρ μέγα δέχνυτο πῆμα.

580 *οὔρεσι καγχαλ. v*, *οὔρεσιν ἀσχ. rkspl* 582 *ἐμμενέως* ci. *r* 583 *ἀχνυμένη κῆρ AMP*, *ἀ. περ tsp*, *ἐσσυμένη περ pkl*, *τειρομένη περ ego.* cf. v. seq. 584 *ἐσσυμένη περ A*, *τειρομένη περ MP*, *τ. κῆρ tspkl*, *ἀχνυμένη περ rp* (vel *ἀ. κῆρ p*), *ἐστυγμ.* vel *σκυζομ. περ br* 585 *φόνον A*, *-ου* C^1*rt*, *-ῳ MPkspl* *μέγα* om. *A*, add. *MPr*

2 ὁ ἄ-κρητος (sc. οἶνος) = ungemischter Wein.

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ.

Οἱ δ' ἄρ' ἀνὰ πτολίεθρον ἐδόρπεον· ἐν δ' ἄρα τοῖσιν
αὐλοὶ ὁμῶς σύριγξι μέγ' ἤπυον· ἀμφὶ δὲ πάντῃ
μολπὴ ἐπ' ὀρχηθμοῖσι καὶ ἄκριτος ἔσκεν ἀυτὴ
δαινυμένων, οἵη τε πέλει παρὰ δαιτὶ καὶ οἴνῳ.
ὧδε δέ τις χείρεσσι λαβὼν ἔμπλειον ἄλεισον
πῖνεν ἀκηδέστως· βαρύθοντο δέ οἱ φρένες ἔνδον·
ἀμφὶ δ' ἄρ' ὀφθαλμοὶ στρεφεδίνεον· ἄλλο δ' ἐπ' ἄλλῳ
ἐκ στόματος προΐεσκεν ἔπος κεκολουμένα βάζων·
καί ῥά οἱ ἐν μεγάροις κειμήλια καὶ δόμος αὐτὸς
φαίνετο κινυμένοισιν ἐοικότα· πάντα δ' ἐώλπει
ἀμφιπεριστρωφᾶσθαι ἀνὰ πτόλιν· ὄσσε δ' ἄρ' ἀχλὺς
ἄμφεχεν· ἀκρήτῳ γὰρ ἀμαλδύνονται ὀπωπαὶ
καὶ νόος αἰζηῶν, ὁπότ' ἐς φρένα χανδὸν ἵκηται·
καί ῥα καρηβαρέων τοῖον ποτὶ μῦθον ἔειπεν·
„ἦ ῥ' ἅλιον Δαναοὶ στρατὸν ἐνθάδε πουλὺν ἄγειραν,
σχέτλιοι, οὐδ' ἐτέλεσσαν, ὅσα φρεσὶ μηχανόωντο,

4 *ἢ A*, *οἵ P*, *οἵη rtlk* *περὶ v*, *παρὰ spl* 5 *ἐνὶ πλεῖον A*, *ἔνι π. tl*, *ἐνὶ πλειον P*, *ἔμπλ. k* 9 *μεγάρῳ v*, -*οις* ex *Pego* 10 *ἐῴκει* olim ci. *k* 11 *ἀχλὺς δ' ὄσσε A*, *ἀ. δ' ὄσσους* (*ὄ- P*) E^1*P*, em. *r* 15 *πολὺν* (*πουλὺν* E^1) *στ. ἄγ.* *A*E^1, *πουλὺν στ. ἐνθάδ' ἄγ. rtlk*, *στρατὸν ἐνθάδε πουλὺν* ex *Pego*

ἀλλ' αὔτως ἀπόρουσαν ἀπ' ἄστεος ἡμετέροιο
νηπιάχοις παίδεσσιν ἐοικότες ἠὲ γυναιξίν.“
ὣς ἄρ' ἔφη Τρώων τις ἐεργόμενος φρένας οἴνῳ,
νήπιος, οὐδ' ἄρ' ἐφράσσατ' ἐπὶ προθύροισιν ὄλεθρον.
εὖτε γὰρ ὕπνος ἔρυκεν ἀνὰ πτόλιν ἄλλοθεν ἄλλον
οἴνῳ ἀναπλήθοντας ἀπειρεσίῳ καὶ ἐδωδῇ,
δὴ τότ' ἄρ' αἰθαλόεντα Σίνων ἀνὰ πυρσὸν ἄειρε
δεικνὺς Ἀργείοισι πυρὸς σέλας. ἀμφὶ δέ οἱ κῆρ
ἄσπετα πορφύρεσκε κατὰ φρένα, μή μιν ἴδωνται
Τρῶες ἐυσθενέες, τάχα δ' ἀμφαδὰ πάντα γένηται·
ἀλλ' οἱ μὲν λεχέεσσι πανύστατον ὕπνον ἴαυον
πολλῷ ὑπ' ἀκρήτῳ βεβαρηότες· οἱ δ' ἐσιδόντες
ἐκ Τενέδου<νήεσσιν ἐπὶ>πλόον ἐντύνοντο.
αὐτὸς δ' ἄγχ' ἵπποιο Σίνων κίεν· ἦκα δ' ἄυσεν,
ἦκα μάλ', ὡς μή πού τις ἐνὶ Τρώεσσι πύθηται,
ἀλλ' οἶοι Δαναῶν ἡγήτορες, ὧν ἀπονόσφιν
ὕπνος ἄδην πεπότητο λιλαιομένων πονέεσθαι.
οἵ ῥά οἱ ἔνδον ἐόντες ἐπέκλυον, ἐς δ' Ὀδυσῆα
πάντες ἐπ' οὔατ' ἔνευσαν· ὁ δέ σφεας ὀτρύνεσκεν
ἦκα καὶ ἀτρεμέως ἐκβήμεναι. οἱ δ' ἐπίθοντο
ἐς μόθον ὀτρύνοντι, καὶ ἐξ ἵπποιο χαμᾶζε
ὥρμαινον προνέεσθαι· ὁ δ' ἰδρείῃσιν ἔρυκε
πάντας ἅμ' ἐσσυμένους· αὐτὸς δ' ἄρα χερσὶ θοῇσιν
ἵππου δουρατέοιο μάλ' ἀτρέμας ἔνθα καὶ ἔνθα
πλευρὰ διεξῴιξεν ἐυμμελίῃ ὑπ' Ἐπειῷ.

18 *ἠδὲ v*, *ἠὲ spk*   19 *φρένα v*, *-ας kl*   23 *ἄειρεν v*, *-ε k*   25 *μῆτιν P*   26 *ἂν φυτὰ A*, *ἀνφυτὰ P*, *ἂν χυτὰ VE*[1], *ἀμφαδὰ* em. *r Canter*   27 *λεχέεσι tk*   30 *ὦκα A*, *ἦκα* em. *r* et sic *P*   31 *ὦκα P*   36 *ἀτρεκέως v*, *-μέως E*[1]*Prlk*   38 *πον. v*, *προν. k*   39 *ἐπεσσυμένους v*, *-μένως P*, *ἅμ' ἐσσυμένους k*   *-θοῇσι P*   40 *μάλ'* omissum add. *rtlk*   41 *ὑπ' v*, *σὺν sp*

βαιὸν δ' ἐξανέδυ σανίδων ὕπερ, ἀμφὶ δὲ πάντη
Τρῶας παπταίνεσκεν, ἐγρηγορότ' εἴ που ἴδοιτο·
ὡς δ' ὅταν ἀργαλέῃ λιμῷ βεβολημένος ἦτορ
ἐξ ὀρέων ἔλθῃσι λύκος χατέων μάλ' ἐδωδῆς
ποίμνης πρὸς σταθμὸν εὐρύν, ἀλευόμενος δ' ἄρα φῶτας
καὶ κύνας, οἵ ῥά τε μῆλα φυλασσέμεναι μεμάασι,
βαίνει ποσσὶν ἕκηλος ὑπὲρ ποιμνήιον ἕρκος·
ὣς Ὀδυσεὺς ἵπποιο κατήιεν· ἀμφὶ δ' ἄρ' αὐτῷ
ὄβριμοι ἄλλοι ἕποντο Πανελλήνων βασιλῆες
νισσόμενοι κλίμαξι κατὰ στίχας, ἅς περ Ἐπειὸς
τεῦξεν ἀριστήεσσιν ἐυσθενέεσσι κέλευθα
ἵππον ἐσερχομένοισι καὶ ἐξ ἵπποιο κιοῦσιν.
οἵ ῥα τότ' ἀμφ' αὐτῇσι κατήιον ἄλλοθεν ἄλλοι,
θαρσαλέοις σφήκεσσιν ἐοικότες, οὕς τε κλονήσῃ
δρυτόμος, οἱ δ' ἅμα πάντες ὀρινόμενοι περὶ θυμῷ
ὄζου ὑπεκπροχέονται, ὅτε κτύπον εἰσαΐουσιν·
ὣς οἵ γ' ἐξ ἵπποιο μεμαότες ἐξεχέοντο
ἐς Τρώων πτολίεθρον ἐύκτιτον· ἐν δ' ἄρα τοῖσι
πάλλετ' ἐνὶ στέρνοισι κέαρ. τάχα δ' οἱ μὲν ἔναιρον
δυσμενέας * * * *
* τοὶ δ' ἄρ' ἔρεσσον ἔσω ἁλός· αἱ δ' ἐφέροντο
νῆες ὑπὲρ μέγα χεῦμα· Θέτις δ' ἴθυνε κέλευθα
οὖρον ἐπιπροϊεῖσα· νόος δ' ἰαίνετ' Ἀχαιῶν.

42 ἐξανέδυσ' ἰδὼν *A*, -σεν ἰδὼν $C^1 Prl^1$, -έδυ σανίδων l^2k 44 ὅτ' *A*, ὅταν E^1Ptlk, ὁπότ' *r* -λέῳ *v*, -λέη *P*, -λέῃ *ego* 48 βαίνῃ *v*, -ει ex *P ego* 52 ἀριπρεπέεσσιν *AP*, ἀριστήεσσιν em. *r* 53 ἐπερχ. *A* 54 ἄλλος ἐπ' ἄλλῳ bl^1 55 -λέοι *v*, -λέοις *k* 56 ἄρα *v*, ἅμα *spk* 57 ὄζων E^1, ὄζω *P* ὑπερπροχ. AE^1P, ὑπεκπρ. *rlk* 60 τοὶ μὲν *AP*, δ' οἱ μὲν em. *r* 61 δ. τοί δ' ἔρεσσον *AP*, δ. τοὶ δ' ἔσκον *rtlhw*. post δυσμενέας maioris lacunae signa pos. *k* ['illos custodibus interfectis portas reclusisse'], unius versus defectum *ego* significavi et τοὶ δ' ἄρ' ἐρ. scripsi αἳ δ' *v*, ἠδ' *hw* 62 νῆεσ' *hw* 63 Εὖρον E^1 δ' ἄρ' ἰαίν. *spk*

καρπαλίμως δ' ἐλθόντες ἐπ' ἠόνας Ἑλλησπόντου
ἔνθ' αὖθις στήσαντο νέας, σὺν δ' ἄρμενα πάντα
εἷλον ἐπισταμένως, ὅσα νήεσιν αἰὲν ἕπονται.
αὐτοὶ δ' αἶψ' ἐκβάντες ἐς Ἴλιον ἐσσεύοντο
ἄβρομοι, ἠύτε μῆλα ποτὶ σταθμὸν ἀίσσοντα
ἐκ νομοῦ ὑλήεντος ὀπωρινὴν ὑπὸ νύκτα·
ὣς οἵ γ' αὐίαχοι Τρώων ποτὶ ἄστυ νέοντο
πάντες ἀριστήεσσιν ἀρηγέμεναι μεμαῶτες.
οἱ δ', ὡς σμερδνὰ λύκοι λιμῷ περιπαιφάσσοντες
σταθμῷ ἐπιβρίσωσι κατ' οὔρεα μακρὰ καὶ ὕλην
εὕδοντος μογεροῦ σημάντορος, ἄλλα δ' ἐπ' ἄλλοις
δάμνανθ' ἕρκεος ἐντὸς ὑπὸ κνέφας, ἀμφὶ δὲ πάντῃ

* * * * * *
* * * * * *

αἵματι καὶ νεκύεσσιν, ὀρώρει δ' αἰνὸς ὄλεθρος
καί περ ἔτι πλεόνων Δαναῶν ἔκτοσθεν ἐόντων.
ἀλλ' ὅτε δὴ μάλα πάντες ἔβαν ποτὶ τείχεα Τροίης,
δὴ τότε μαιμώωντες ἀνηλεγέως ἐσέχυντο
ἐς Πριάμοιο πόληα μένος πνείοντες Ἄρηος.
πᾶν δ' εὗρον πτολίεθρον ἐνίπλειον πολέμοιο
καὶ νεκύων, πάντῃ δὲ πυρὶ στονόεντα μέλαθρα
καιόμεν' ἀργαλέως· μέγα δὲ φρεσὶν ἰαίνοντο.
ἐν δὲ καὶ αὐτοὶ Τρωσὶ κακὰ φρονέοντες ὄρουσαν·

68 *ἄτρομοι v, ἄβρομοι Pierson bhlk, ἀθρόοι sp* 70 *ἀνίαχοι v, αὐίαχοι (r) Pierson bhlk P περὶ A, ποτὶ rptlk P* 72 *ὥς τ' ἀργαλέῳ A, ὥς τ' ἀργαλέῃ P*, om. versum *E*[1], *θῶες ἅτ'* (vel *ὡς λύκοι*) *ἀργαλέῳ r, οἱ δ' ὡς παρδάλιες Jacobs t l, οἳ δ' ὡς ἀργαλέῳ* lacunae signis post h. v. positis *k* ['excidisse luporum vel thoum mentionem'], *ὡς σμερδνὰ λύκοι ego* 73 *-βρίσουσι v, -ωσι rlk* (vel *-βρίθουσι r*) 75 *δάμναθ' A, -ασθ' VE*[1], *-ανθ'* em. *rP* *ἐκτὸς AP*, em. *r*. post hunc v. lacunam esse (longiorem *k*) omnes consentiunt 79 *ἐπέχ. v, ἐκέχ. r, ἐσέχ. (k) P* 82 *περὶ A, περι P, πέρι tl, πυρὶ spk*

μαίνετο δ' ἐν μέσσοισιν Ἄρης στονόεσσά τ' Ἐνυώ·
πάντη δ' αἷμα κελαινὸν ὑπέρρεε, δεύετο δὲ χθὼν
Τρώων τ' ὀλλυμένων ἠδ' ἀλλοδαπῶν ἐπικούρων.
τῶν οἱ μὲν θανάτῳ δεδμημένοι ὀκρυόεντι
κεῖντο κατὰ πτολίεθρον ἐν αἵματι· τοὶ δ' ἐφύπερθε
πῖπτον ἀποπνείοντες ἑὸν μένος· οἱ δ' ἄρα χερσὶ
δράγδην ἔγκατ' ἔχοντες ὀιζυρῶς ἀλάληντο
ἀμφὶ δόμους· ἄλλοι δὲ ποδῶν ἑκάτερθε κοπέντων
ἀμφὶ νεκροὺς εἵρπυζον ἀάσπετα κωκύοντες·
πολλῶν δ' ἐν κονίῃσι μαχέσσασθαι μεμαώτων
χεῖρες ἀπηράχθησαν[2] ὁμῶς κεφαλῇσι καὶ αὐτῇς·
φευγόντων δ' ἑτέρων μελίαι διὰ νῶτα πέρησαν
ἄντικρυς ἐς μαζούς, τῶν δ' ἰξύας ἄχρις ἱκέσθαι
αἰδοίων ἐφύπερθε διαμπερές, ἧχι μάλιστα
Ἄρεος ἀκαμάτοιο πέλει πολυώδυνος αἰχμή.
πάντη δ' ἀμφὶ πόληα κυνῶν ἀλεγεινὸς ὀρώρει
ὠρυθμός[3]· στοναχὴ δὲ δαϊκταμένων αἰζηῶν
ἔπλετο λευγαλέη· περὶ δ' ἴαχε πάντα μέλαθρα
ἄσπετον. οἰμωγὴ δὲ πέλε στονόεσσα γυναικῶν
εἰδομένων γεράνοισιν, ὅτ' αἰετὸν ἀθρήσωσιν
ὑψόθεν ἀίσσοντα δι' αἰθέρος, οὐδ' ἄρα τῇσι
θαρσαλέον στέρνοισι πέλει μένος, ἀλλά ἑ μοῦνον
μακρὸν ἀνατρύζουσι[4] φοβεύμεναι ἱερὸν ὄρνιν·
ὣς ἄρα Τρωιάδες μέγα κώκυον ἄλλοθεν ἄλλαι,
αἱ μὲν ἀνεγρόμεναι λεχέων ἄπο, ταὶ δ' ἐπὶ γαῖαν
θρῴσκουσαι· τῇς δ' οὔ τι μίτρης[5] ἔτι μέμβλετο λυγρῆς,

85 τ' *AP*, δ' em. *r* 87 τ' omissum add. *k* 89 οἵδ' *AP*, οἱ δ' *t*, τοὶ δ' *hlk* 90 ἀναπν. *AP*, ἀποπν. *ptlk* χειρὶ *v*, χερσὶ *k* 94 μαχέσασθαι *AP*, -έσσ. *C¹spk*, -ήσασθαι *rtl* 97 ἄντικρυς *A*, ἀντικρὺς *tlkP* 103 πέλεν *v*, -ε *k* 106 ἀλλά γε *rt*, ἀλλ' ἄρα *st²* 107 -τρίζουσι *tl* 110 δ' omissum add. *r*. λυτῆς ἔ. μ. μίτρης *h* λυγρῆς *v*, -ῆς *kspl*

ἀλλ' αὔτως ἀλάληντο περὶ μελέεσσι χιτῶνα
μοῦνον ἐφεσσάμεναι· ταὶ δ' οὐ φθάσαν οὔτε καλύπτρην
οὔτε βαθὺν μελέεσσιν ἑλεῖν πέπλον, ἀλλ' ἐπιόντας
δυσμενέας τρομέουσαι ἀμηχανίῃ πεπέδηντο
παλλόμεναι κραδίην, μοῦνον δ' ἄρα χερσὶ θοῇσιν
αἰδῶ ἀπεκρύψαντο δυσάμμοροι· αἳ δ' ἀλεγεινῶς
ἐκ κεφαλῆς τίλλοντο κόμην καὶ στήθεα χερσὶ
θεινόμεναι γοάασκον ἅδην· ἕτεραι δὲ κυδοιμὸν
δυσμενέων ἔτλησαν ἐναντίον, ἐκ δ' ἐλάθοντο
δείματος· ὀλλυμένοισιν ἀρηγέμεναι μεμαυῖαι
ἀνδράσιν ἢ τεκέεσσιν, ἐπεὶ μέγα θάρσος ἀνάγκη
ὤπασεν. οἰμωγὴ δ' ἀταλάφρονας ἔκβαλεν ὕπνου
νηπιάχους, τῶν οὔ πω ἐπίστατο κήδεα θυμός·
ἄλλοι δ' ἀμφ' ἄλλοισιν ἀπέπνεον· οἳ δ' ἐκέχυντο
πότμον ὁμῶς ὁρόωντες ὀνείρασιν· ἀμφὶ δὲ λυγραὶ
Κῆρες ὀιζυρῶς ἐπεγήθεον ὀλλυμένοισιν.
οἳ δ' ὥς τ' ἀφνειοῖο σύες κατὰ δώματ' ἄνακτος
(εἰλαπίνην λαοῖσιν ἀπείριτον ἐντύνοντος)
μυρίοι ἐκτείνοντο· λυγρῷ δ' ἀνεμίσγετο λύθρῳ
οἶνος ἔτ' ἐν κρητῆρσι λελειμμένος· οὐδέ τις ἦεν,
ὅς κεν ἄνευθε φόνοιο φέρε στονόεντα σίδηρον,
οὐδ' εἴ τις μάλ' ἄναλκις ἔην· ὀλέκοντο δὲ Τρῶες.
ὡς δ' ὑπὸ θώεσι μῆλα δαΐζεται ἠὲ λύκοισι

111 χιτῶνας *v*, -α *k* 113 ἔχειν *v*, ἑλεῖν *spk* 122 δὲ κατὰ φρένας *AP*, δ' ἀταλάφρονας em. *r* 124 ἐπέπν. *A*, ἀπέπν. E^1P, ἐποίπνυον *ph* (vel ἀποπνείοντες ἔχυντο *h*) ἐπέχυντο AE^1Pk, ἐκέχ. *rtl*. et ante h. v. et post ἀπέπνεον maioris lacunae signa pos. *k* ['censeo et ante v. 124 quaedam deleta esse, quibus Graecorum crudelitas vel a parvulis ferrum non abstinentium depingebatur, et in v. 124 extremo ante οἳ δ' ἐπέχυντο, quibus in ipsis lectis maritos oppressos et trucidatos esse referebatur'] 127 ὥς τ' *A*, ὥστ' *tlP*, ὡς *k* 128 ἀλλήλοισιν *AP*, ἄλλοισιν *r*, λαοῖσιν *ptlk* 131 φέρεν *P* 133 ἤδε *P*

καύματος ἐσσυμένοιο δυσαέος ἤματι μέσσῳ
ποιμένος οὐ παρεόντος, ὅτε σκιερῷ ἐνὶ χώρῳ
ἰλαδὸν ἀλλήλοισιν ὁμῶς συναρηρότα πάντα
μίμνωσιν, κείνοιο γλάγος ποτὶ δῶμα φέροντος,
* * * * * *
νηδύα πλησάμενοι πολυχανδέα πάντ' ἐπιόντες
αἷμα μέλαν πίνουσιν, ἅπαν δ' ὀλέκουσι μένοντες
πῶν, κακὴν δ' ἄρα δαῖτα λυγρῷ τεύχουσι νομῆι·
ὣς Δαναοὶ Πριάμοιο κατὰ πτόλιν ἄλλον ἐπ' ἄλλῳ
κτεῖνον ἐπεσσύμενοι πυμάτην ἀνὰ δηιοτῆτα·
οὐδ' ἄρ' ἔην Τρώων τις ἀνούτατος, ἀλλ' ἅμα πάντων
γναμπτὰ μέλη πεπάλακτο μελαινόμεν' αἵματι πολλῷ.
οὐδὲ μὲν Ἀργείοισιν ἀνούτατος ἔπλετο δῆρις,
ἀλλ' οἱ μὲν δεπάεσσι τετυμμένοι, οἱ δὲ τραπέζαις,
οἱ δ' ἔτι καιομένοισιν ἐπ' ἐσχαρεῶνι τυπέντες
δαλοῖς, οἱ δ' ὀβελοῖσι πεπαρμένοι ἐκπνείεσκον,
οἷς ἔτι που καὶ σπλάγχνα συῶν περὶ θερμὰ λέλειπτο
Ἡφαίστου μαλεροῖο περιζείοντος ἀυτμῇ.
ἄλλοι δ' αὖ πελέκεσσι καὶ ἀξίνησι θοῇσιν
ἤσπαιρον δμηθέντες ἐν αἵματι· τῶν δ' ἀπὸ χειρῶν
δάκτυλοι ἐτμήθησαν, ἐπὶ ξίφος εὖτε βάλοντο
χεῖρας ἐελδόμενοι στυγερὰς ἀπὸ κῆρας ἀμύνειν·
καί πού τις βρεχμόν τε καὶ ἐγκέφαλον συνέχευε
λᾶα βαλὼν ἑτάροιο κατὰ μόθον. οἱ δ' ἅτε θῆρες

137 post h. v. lacunae signa pos. (*p*)*tlk* ['quo ferarum in gregem grassantium mentio facta sit'] 139 *ὀλέκουσιν ἔδοντες spl*[1] 143 *ἄρα v*, *ἅμα spk* 144 *πλαγκτὰ AP*, *γναμπτὰ* em. *r* 145 *ἀνούτατος πέλε AP*, *ἀνούτητος π. rtl*, *ἀνούτατος ἔπλετο rst*[1]*st*[2]*k* 146 *τετυγμένοι AP*, *-μμένοι* em. (*r*)*dp* 147 *ὑπ' AP*, em. *r* *ἐσχαρεῶσι v*, *-νι hk* 148 *ἠδ' v*, *ἤδ' P*, *ἢ p*, *οἳ δ' k* 152 *τμηθ. v*, *δμηθ. bl* 154 *ἐπὶ AP*, *ἀπὸ* em. *p*. de lacuna post h. v. statuenda cogitavit *k* 156 *ἑτέροιο rP*

οὐτάμενοι σταθμοῖς ἔνι ποιμένος ἀγραύλοιο
ἀργαλέως μαίνοντο διεγρομένοιο χόλοιο
νύχθ' ὕπο λευγαλέην· μέγα δ' ἰσχανόωντες Ἄρηος
ἀμφὶ δόμους Πριάμοιο κυδοίμεον ἄλλοθεν ἄλλον
σεύοντες. πολλοὶ δὲ καὶ ἐγχείῃσι δάμησαν
Ἀργείων· Τρῶες γὰρ ὅσοι φθάσαν ἐν μεγάροισιν
ἢ ξίφος ἢ δόρυ μακρὸν ἑῆς ἀνὰ χερσὶν ἀεῖραι,
δυσμενέας δάμναντο καὶ ὣς βεβαρηότες οἴνῳ.
  αἴγλη δ' ἄσπετος ὦρτο δι' ἄστεος, οὕνεκ' Ἀχαιῶν
πολλοὶ ἔχον χείρεσσι πυρὸς σέλας, ὄφρ' ἀνὰ δῆριν
δυσμενέας τε φίλους τε μάλ' ἀτρεκέως ὁρόωσι.
  καὶ τότε Τυδέος υἱὸς ἀνὰ μόθον ἀντιόωντα
αἰχμητῆρα Κόροιβον, ἀγανοῦ Μύγδονος υἷα,
ἐγχείῃ κοίλοιο διὰ στομάχοιο πέρησεν,
ἧχι θοαὶ πόσιός τε καὶ εἴδατός εἰσι κέλευθοι.
καὶ τὸν μὲν περὶ δουρὶ μέλας ἐκιχήσατο πότμος·
κάππεσε δ' ἐς μέλαν αἷμα καὶ ἄλλων ἔθνεα νεκρῶν,
νήπιος, οὐδ' ἀπόνητο γάμων, ὧν εἵνεχ' ἵκανε
χθιζὸς ἐπὶ Πριάμοιο πόλιν, καὶ ὑπέσχετ' Ἀχαιοὺς
Ἰλίου ἂψ ὦσαι· τῷ δ' οὐ θεὸς ἐξετέλεσσεν
ἐλπωρήν· Κῆρες γὰρ ἐπιπροέηκαν ὄλεθρον.
σὺν δέ οἱ Εὐρυδάμαντα κατέκτανεν ἀντιόωντα,
γαμβρὸν ἐυμμελίην Ἀντήνορος, ὅς ῥα μάλιστα
θυμὸν ἐνὶ Τρώεσσι σαοφροσύνῃσι κέκαστο.
ἔνθα καὶ Ἰλιονῆι συνήντετο δημογέροντι,

162 *ἐκ μεγάροιϊν v, ἐκ μεγάροιο hl, ἐν μεγάροισιν ksp*
169 *ἀγανοῦ* omissum add. *r*   174 *οὕνεχ' v, εἵνεχ'* ex *Pego*
175 *ὑπὸ v, ἐπὶ* ex *Pego*   *πόλιν* omissum add. *r*. post *πόλιν* lacunae signa pos. *k* ['quae Coroebo fuerit desponsata']
177 *γάρ οἱ προέηκαν v, γὰρ ἄφαρ πρ. spk, γὰρ ἐπιπροέηκαν gP*, voce *ἐλπωρήν* deleta *Κῆρες γάρ οἱ πρόσθεν ἐπιπρ.* ci. *h*
180 *-ῃσ' ἐκέκαστο v, -ῃς ἐκ. V, -ῃσι κέκ. spk*

καί οἱ ἔπι ξίφος αἰνὸν ἐρύσσατο· τοῦ δ' ἄρα πάγχυ
γηραλέου 'κλάσθησαν ἄδην ἐπὶ σώματι γυῖα·
καί ῥα περιτρομέων ἅμα χείρεσιν ἀμφοτέρῃσι,
τῇ μὲν ἄορ συνέδραξε θοόν, τῇ δ' ἥψατο γούνων
ἀνδροφόνου ἥρωος. ὁ δ' ἐς μόθον ἐσσύμενός περ
ἢ χόλου ἀμβολίῃ[2] ἢ καὶ θεοῦ ὀτρύνοντος
βαιὸν ἀπέσχε γέροντος ἑὸν ξίφος, ὄφρά τι εἴπῃ
λισσόμενος θοὸν ἄνδρα καὶ ὄβριμον. ὃς δ' ἀλεγεινὸν
ἴαχεν ἐσσυμένως· στυγερὸν δέ μιν ἄμφεχε δεῖμα·
„γουνοῦμαί σ', ὅτις ἐσσὶ πολυσθενέων Ἀργείων,
αἴδεσαι ἀμφιπεσόντος ἐμὰς χέρας, ἀργαλέου τε
λῆγε χόλου· καὶ γάρ ῥα μακρὸν πέλει ἀνέρι κῦδος
ἄνδρα νέον κτείναντι καὶ ὄβριμον· ἢν δὲ γέροντα
κτείνῃς, οὔ νύ τοι αἶνος ἐφέψεται εἵνεκεν ἀλκῆς·
τοὔνεκ' ἐμεῦ ἀπονόσφιν ἐς αἰζηοὺς τρέπε χεῖρας
ἐλπόμενός ποτε γῆρας ὁμοίιον εἰσαφικέσθαι."
ὣς φάμενον προσέειπε κραταιοῦ Τυδέος υἱός·
„ὦ γέρον, ἔλπομ' ἔγωγ' ἐσθλὸν ποτὶ γῆρας ἱκέσθαι·
ἀλλά μοι ἕως ἔτι κάρτος ἀέξεται, οὔ τιν' ἐάσω

183 ἐνὶ *v*, ἐπὶ *kl* 184 μάλα *v*, μετὰ *k* olim, ἅμα *hk* 187 -αντος *v*, -οντος *k*[2]*P* 188 ἔπαισε *A*, ἔπαυσε ci. *r*, ἀπέσχε *V*[3]*E*[1], ἐπέσχε *P*, ἄπεχε *V* 190 ἴσχεν *AP*, ἴαχεν em. *r* νιν *AP*, em. *r* 192 ἀμφὶ γέροντος τεὰς *AP* et sic (*h*)*k* lacunae signis post γέροντος positis, ἀ. γέροντι τ. *Vrt*, ἀ. γέροντος ἐμὰς *pb* (vel ἀντιβολοῦντος ἐμὰς *p*, αἴδεο δημογέροντος ἐ. *b*); αἴδε', ἔχ' ἀμφὶ γέροντος ἑὰς et αἴδε', ἄπισχε γ. ἑ. et αἴδεσαι, ἴσχε γ. ἑ. *k* olim temptavit, αἴδεσαι ἀμφὶ γέροντος· ἑὰς χ. ἀργαλέον τε | λ. χόλον *hysp*, αἴδεσαι ἀ. γ. ἑ. χ. *l* (ἄντα γέρ. ἔχειν χ. olim), ἀ. γέροντι ἱεὶς (vel τιθεὶς) χέρας *ego* olim conieci, αἴδ. ἀμφιπεσόντος ἐμὰς *st*[2] ἀργαλέον et χόλον *Asp*, -λέου et χόλου *VPE*[1]*rtlk* 193 καί ῥα πέλει μακρὸν ἀνδρὶ *A*, καὶ γάρ ῥα π. μ. ἀ. *rtlkE*[1]*P*, καὶ γάρ ῥα π. μέγα ἀνέρι *V*, μακρὸν πέλει ἀ. κ. *ego* 195 τις *v*, τοι *VPk* 199 ἔγωγε π. γ. ἐσθλὸν *AP*, em. *r* 200 ὡς *v*, ἕως *spk*

ἐχθρὸν ἐμῆς κεφαλῆς, ἀλλ' Ἄιδι πάντας ἰάψω,
οὕνεκ' ἄρ' ἐσθλὸς ἀνήρ, ὃς δήιον ἄνδρ' ἀπαμύνει."
ὣς εἰπὼν λαιμοῖο διήλασε λοίγιον ἆορ
δεινὸς ἀνήρ, ἴθυνε δ', ὅπῃ θνητοῖς ἐπὶ πότμον
ψυχῆς εἰσι τάχιστα καὶ αἵματος αἰνὰ κέλευθα·
καὶ τὸν μὲν μόρος αἰνὸς ὑπέκλασε δῃωθέντα
Τυδείδαο χέρεσσιν. ὁ δ' εἰσέτι Τρῶας ἐναίρων
ἔσσυτ' ἀνὰ πτολίεθρον ἐῷ μέγα κάρτεϊ θύων·
δάμνατο δ' ἠὺν Ἄβαντα· βάλεν δ' ὑπὸ δούρατι μακρῷ
υἷα Περιμνήστοιο περικλυτὸν Εὐρυκόωντα.
Αἴας δ' Ἀμφιμέδοντα, Δαμαστορίδην δ' Ἀγαμέμνων,
Ἰδομενεὺς δὲ Μίμαντα, Μέγης δ' ἕλε Δηιοπίτην.
υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀμαιμακέτῳ ὑπὸ δουρὶ
Πάμμονα δῖον ὄλεσσε, βάλεν δ' ἐπιόντα Πολίτην,
Ἀντίφονόν τ' ἐπὶ τοῖσι κατέκτανε, τοὺς ἅμα πάντας
υἷῆας Πριάμοιο· καὶ ἀντιόωντ' ἀνὰ δῆριν
δάμνατ' Ἀγήνορα δῖον· ἐπ' ἄλλῳ δ' ἄλλον ἔπεφνεν
ἡρώων· πάντῃ δὲ μέλας ἀνεφαίνετ' ὄλεθρος
ὀλλυμένων· ὁ δὲ πατρὸς ἑοῦ καταειμένος ἀλκὴν
μαιμώων ἐδάιζεν, ὅσους κίχεν. ἐν δὲ καὶ αὐτῷ
δυσμενέων βασιλῆι κακὰ φρονέων ἐνέκυρσεν
Ἑρκείου παρὰ βωμόν· ὁ δ' ὡς ἴδεν υἷ' Ἀχιλῆος,

202 ἀνὴρ καὶ *v* et sic *k* lacunae signis post ἀνὴρ positis [velut κεῖνος πέλει, ὅστις ἑταῖρον | ἐνδυκέως φιλέει], sed ἀνήρ, ὃς idem antea invenerat, *h* probaverat (ἀνὴρ καὶ δ. αἰὲν ἀμύνει et ἀ. δηίους ἅμα πάντας ἀμύνει olim *k* temptavit) ἐπαμύνει *v*, ἀπαμ. *kP* 204 sq. πότμος et εἶσι *v*, -ον et εἰσι *pspk*, ἔπι πότμος | ψ. εἶσι τ. καθ' *k* 206 Μόρος *Koehler* 207 εἰς ἥρωας *v*, αἰεὶ Τρῶας *hy*, εἰσέτι Τ. *tk* 209 δὴ συνάβ. *AP*, δὴ σὺν Ἄβ. *V*, δ' ἠὺν Ἄβ. em. *r* 215 Τησίφ. *AP*, Τισ. *rtlk*[1], Ἀντίφ. *st*[2]*k*[2] 220 ἔνθα *v*, ἐν δὲ *k* 222 ἑρμείου *A* ποτὶ *v*, παρὰ *ego*

ἔγνω ἄφαρ τὸν ἐόντα καὶ οὐ τρέσεν, οὕνεκ' ἄρ' αὐτὸς
θυμὸν ἐέλδετο παισὶν ἔπι σφετέροισιν ὀλέσσαι·
τοὔνεκά μιν προσέειπε λιλαιόμενος θανέεσθαι·
„ὦ τέκος ὀβριμόθυμον ἐυπτολέμου Ἀχιλῆος,
κτεῖνον, μηδ' ἐλέαιρε δυσάμμορον· οὐ γὰρ ἔγωγε
τοῖα παθὼν καὶ τόσσα λιλαίομαι εἰσοράασθαι
ἠελίοιο φάος πανδερκέος, ἀλλά που ἤδη
φθεῖσθαι ὁμῶς τεκέεσσι καὶ ἐκλελαθέσθαι ἀνίης
λευγαλέης ὁμάδου τε δυσηχέος. ὡς ὄφελόν με
σεῖο πατὴρ κατέπεφνε, πρὶν αἰθομένην ἐσιδέσθαι
Ἴλιον, ὁππότ' ἄποινα περὶ κταμένοιο φέρεσκον
Ἕκτορος, ὅν μοι ἔπεφνε πατὴρ τεός. ἀλλὰ τὸ μέν που
Κῆρες ἐπεκλώσαντο· σὺ δ' ἡμετέροιο φόνοιο
ἄασον ὄβριμον ἦτορ, ὅπως λελάθωμ' ὀδυνάων."
ὣς φάμενον προσέειπεν Ἀχιλλέος ὄβριμος υἱός·
„ὦ γέρον, ἐμμεμαῶτα καὶ ἐσσύμενόν περ ἀνώγεις·
οὐ γάρ σ' ἐχθρὸν ἐόντα μετὰ ζωοῖσιν ἐάσω·
οὐ γάρ τι ψυχῆς πέλει ἀνδράσι φίλτερον ἄλλο."
ὣς εἰπὼν ἀπέκοψε κάρην πολιοῖο γέροντος
ῥηιδίως, ὡς εἴ τις ἀπὸ στάχυν ἀμήσηται
ληίου ἀζαλέοιο θέρευς εὐθαλπέος ὥρῃ.
ἡ δὲ μέγα μύζουσα κυλίνδετο πολλὸν ἐπ' αἶαν
νόσφ' ἄλλων μελέων, ὁπόσοις ἐγκίνυται ἀνήρ·
κεῖτο δ' ἄρ' ἐς μέλαν αἷμα καὶ εἰς ἑτέρων φόνον ἀνδρῶν
* * * * * *
ὄλβῳ καὶ γενεῇ καὶ ἀπειρεσίοις τεκέεσσιν·

223 sq. αὐτοῦ et ὀλέσθαι *AP*, αὐτὸς (*p*) et ὀλέσσαι (*r*)*tlk* 234 μοι omissum add. *rtlk*, οἷ *h*, κατέπεφνε *d* τὰ *sp* 236 ἦτορ omissum add. *r P* 241 κάρη *v*, -ην *blk* 242 εἴ *v*, ἥν *VV*³*k* 243 εὐελπέος *AP*, em. *p* 244 πουλὺν *l* 246 post h. v. lacunam esse omnes consentiunt [velut κεῖνος ἀνήρ, ὃς πρὶν μέγ' ἐπ' ἀνθρώπους ἐκέκαστο]

οὐ γὰρ δὴν ἐπὶ κῦδος ἀέξεται ἀνθρώποισιν,
ἀλλ' ἄρα που καὶ ὄνειδος ἐπέσσυται ἀπροτίοπτον·
καὶ τὸν μὲν πότμος εἷλε· κακῶν δ' ὅ γε λήσατο πάντων.
οἱ δὲ καὶ Ἀστυάνακτα βάλον Δαναοὶ ταχύπωλοι
πύργου ἀφ' ὑψηλοῖο, φίλον δέ οἱ ἦτορ ὄλεσσαν
μητρὸς ἀφαρπάξαντες ἐν ἀγκοίνῃσιν ἐόντα
Ἕκτορι χωόμενοι, ἐπεὶ ἦ σφισι πῆμα κόρυσσε
ζωὸς ἐών· τῷ καί οἱ ἀπηχθήραντο γενέθλην,
καί οἱ παῖδ' ἐβάλοντο καθ' ἕρκεος αἰπεινοῖο
νήπιον, οὔ πω δῆριν ἐπιστάμενον πολέμοιο.
ἠύτε πόρτιν ὄρεσφι λύκοι χατέοντες ἐδωδῆς
κρημνὸν ἐς ἠχήεντα κακοφραδίῃσι βάλωνται
μητρὸς ἀποτμήξαντες ἐυγλαγέων ἀπὸ μαζῶν,
ἡ δὲ θέῃ γοόωσα φίλον τέκος ἔνθα καὶ ἔνθα
μακρὰ κινυρομένη, τῇ δ' ἐξόπιθεν κακὸν ἄλλο
ἔλθῃ, ἐπεί ἑ λέοντες ἀναρπάξωσι καὶ αὐτήν·
ὣς τὴν ἀσχαλόωσαν ἄδην περὶ παιδὸς ἑοῖο
ἦγον δήιοι ἄνδρες ἅμ' ἄλλῃς ληιάδεσσι
κούρην Ἠετίωνος ἀμύμονος αἰνὰ βοῶσαν.
ἡ δ' ἄρα παιδὸς ἑοῖο καὶ ἀνέρος ἠδὲ τοκῆος
μνησαμένη φόνον αἰνὸν ἐύσφυρος Ἠετιώνη
ὥρμηνεν θανέεσθαι, ἐπεὶ βασιλεῦσιν ἄμεινον
τεθνάμεν ἐν πολέμῳ ἢ χείροσιν ἀμφιπολεύειν·
καί ῥ' ὀλοφυδνὸν ἄυσε μέγ' ἀχνυμένη κέαρ ἔνδον·
„εἰ δ' ἄγε νῦν καὶ ἐμεῖο δέμας κατὰ τείχεος αἰνοῦ
ἢ κατὰ πετράων ἢ ἔσω πυρὸς αἶψα βάλεσθε,

250 *πολλῶν v, πάντων (r)kl* 251 *δ' ἐπὶ AP, δέ που r, δέ οἱ h, δὲ καὶ tlk* (vel *δὲ τότ k*) 255 *ἀπεχθήρ. v, -ηχθήν V, -ηχθήρ. kP* 257 *οὔτι AP, οὔ τοι rt, οὔπω spkl* 260 *ἀπορρήξ.* ci. *p* 261 *θέει AP,* em. *t* 263 *κε v, ἑ kl* 268 *φίλον αἰνὸν A, φ. ἦτορ r, φίλον αἰνὸν tP(?), φίλον ἔνδον l, φίλον αἰὲν sp, φόνον αἰνὸν hk* 273 *καὶ πυρὸς v, κὰπ π. h,*

Ἀργεῖοι· μάλα γάρ μοι ἀάσπετα πήματ' ἔασι·
καὶ γάρ μευ πατέρ' ἐσθλὸν ἐνήρατο Πηλέος υἱὸς
Θήβῃ ἔνι ζαθέῃ, Τροίῃ δ' ἐνὶ φαίδιμον ἄνδρα,
ὅς μοι ἔην μάλα πάντα, τά τ' ἔλδετο θυμὸς ἐμεῖο·
καί μοι κάλλιπε τυτθὸν ἐνὶ μεγάροις ἔτι παῖδα,
ᾧ ἔπι κυδιάασκον ἀπείριτον, ᾧ ἔπι πολλὰ
ἐλπομένην ἀπάφησε κακὴ καὶ ἀτάσθαλος Αἶσα.
τῶ νύ μ' ἀκηχεμένην πολυτειρέος ἐκ βιότοιο
νοσφίσατ' ἐσσυμένως, μηδ' εἰς ἑὰ δώματ' ἄγεσθε
μίγδα δορυκτήτοισιν, ἐπεί νύ μοι οὐκέτι θυμῷ
εὔαδεν ἀνθρώποισι μετέμμεναι, οὕνεκα δαίμων
κηδεμονῆας ὄλεσσεν· ἄχος δέ με δέχνυται αἰνὸν
ἐκ Τρώων στυγεροῖσιν ἐπ' ἄλγεσιν οἰωθεῖσαν."
  ἦ ῥα λιλαιομένη χθόνα δύμεναι· οὐ γὰρ ἔοικε
ζωέμεναι κείνοισιν, ὅσων μέγα κῦδος ὄνειδος
ἀμφιχάνῃ· δεινὸν γὰρ ὑπόψιον ἔμμεναι ἄλλων.
οἵ δὲ βίῃ ἀέκουσαν ἄγον ποτὶ δούλιον ἦμαρ.
  ἄλλοι δ' ἀλλοίοις ἐνὶ δώμασι θυμὸν ἔλειπον
ἀνέρες· ἐν δ' ἄρα τοῖσι βοὴ πολύδακρυς ὀρώρει·
ἀλλ' οὐκ ἐν μεγάροις Ἀντήνορος, οὕνεκ' ἄρ' αὐτοῦ
Ἀργεῖοι μνήσαντο φιλοξενίης ἐρατεινῆς,
ὡς ξείνισσε πάροιθε κατὰ πτόλιν ἠδ' ἐσάωσεν
ἰσόθεον Μενέλαον ὁμῶς Ὀδυσῆι μολόντα·
τῷ δ' ἐπίηρα φέροντες Ἀχαιῶν φέρτατοι υἷες
αὐτὸν μὲν ζώοντα λίπον καὶ κτῆσιν ἔασαν

ἔσω π. *k* (ἦ καὶ πάρος υἷα olim), ἐν πυρὶ ci. *p* 277 πολλὰ *v*, πάντα *k* 278 ἐν ἡμετέροις *v*, ἐνὶ μεγάροις *Canter st*[1]*k* 285 μοι ἄχνυται *AP*, με δέχν. em. *r* (vel μοι ὄρνυται) 287 ἔοικεν *v*, -κε *kP* 291 ἄλλοις ἐν *AE*[1], αὖτ' ἄλλοις ἐν *rtlk*, ἀλλοίοις ἐνὶ ex *Pego* 295 ὃς *v*, ὡς *lk* ἦδε σάωσεν *P* 298 καὶ κτῆσιν ἅπασαν *v*, post καὶ lacunae signa pos. *k* ['Graecos et a divitiis Antenoris abstinuisse et omni eius fa-

καὶ Θέμιν ἀζόμενοι πανδερκέα καὶ φίλον ἄνδρα.
καὶ τότε δὴ πάις ἐσθλὸς ἀμύμονος Ἀγχίσαο
πολλὰ καμὼν περὶ ἄστυ θεηγενέος Πριάμοιο
δουρὶ καὶ ἠνορέῃ, πολλῶν δ' ἀπὸ θυμὸν ὀλέσσας,
ὡς ἴδε δυσμενέων ὑπὸ χείρεσι λευγαλέῃσιν
αἰθόμενον πτολίεθρον ἀπολλυμένους θ' ἅμα λαοὺς
πανσυδίῃ καὶ κτῆσιν ἀπείριτον ἔκ τε μελάθρων
ἑλκομένας ἀλόχους ἅμα παίδεσιν, οὐκέτ' ἄρ' αὐτοῦ
ἐλπωρὴν ἔχε θυμὸς ἰδεῖν εὐτειχέα πάτρην,
ἀλλά οἱ ὁρμαίνεσκε νόος μέγα πῆμ' ὑπαλύξαι.
ὡς δ' ὅθ' ἁλὸς κατὰ βένθος ἀνὴρ οἰήια νωμῶν
νηὸς ἐπισταμένως ἄνεμον καὶ κῦμ' ἀλεείνων
πάντοθεν ἐσσύμενον στυγερῇ ὑπὸ χείματος ὥρῃ
χεῖρα κάμῃ καὶ θυμόν, ὑποβρυχίης δ' ἄρα νηὸς
ὀλλυμένης ἀπάνευθε λιπὼν οἰήια μοῦνα
τυτθὸν ἐπὶ σκάφος εἶσι, μέλει δέ οἱ οὐκέτι νηὸς
φορτίδος· ὣς πάις ἐσθλὸς ἐύφρονος Ἀγχίσαο
ἄστυ λίπεν δηίοισι καταιθόμενον πυρὶ πολλῷ.
υἷα δὲ καὶ πατέρα σφὸν ἀναρπάξας φορέεσκε,
τὸν μὲν ἐπὶ πλατὺν ὦμον ἐφεσσάμενος κρατερῇσι
χερσὶ πολυτλήτῳ ὑπὸ γήραϊ μοχθίζοντα,
τὸν δ' ἁπαλῆς ἅμα χειρὸς ἐπιψαύοντα πόδεσσι
γαίης· οὐλομένου δὲ φοβεύμενον ἔργα μόθοιο

miliae pepercisse'] et post eam *καὶ κτ. ἄ.* repetivit, *κτῆσιν ἔασαν* (*ὄπασσαν*?) *ego* scripsi 303 *-ησι P* 306 *αὐτῷ v*, *-οῦ spk* 308 *ὡρμ. v*, *ὁρμ. k* 310 *ἀλεγεινὸν AP* et sic *k*, qui lacunae signis post h. v. positis [velut *πολλὸν ἐπὶ χρόνον αἰὲν ὑπ' ἱδρείης*] *ἀλεείνων* sequi iussit; *ἀλεείνῃ* sine lacuna *rtl*, *ἀλεείνων ego* 311 *στυγερῇ δ' ὑπὸ v*, *στ. ὑ. kP* *κρυερῇ* ci. *sp* *ὁρμῇ* ci. *p* 315 *ἀμύμονος v*, *ἐύφρ. VPk*
316 sq. *λιπὼν* et sine interpunctione *υἱέα v*, *λίπεν* et *υἷα δὲ ego*
320 *ἀπ' ἄλλης AP* (*ἀπ' P*?), em. *r* *μάλα v*, *ἔτι h*, *ἅμα k*
321 *δὲ v*, *τε* sine interpunctione *k*, *οὐλομένοιο h* *φοβούμ. v*, *-εύμ. spk*

ἐξῆγεν πολέμοιο δυσηχέος· ὃς δ' ὑπ' ἀνάγκης
ἐκρέματ' ἐμπεφυὼς ἀταλὸς πάις· ἀμφὶ δὲ δάκρυ
χεύατό οἱ ἀπαλῇσι παρηίσιν. αὐτὰρ ὁ νεκρῶν
σώμαθ' ὑπέρθορε πολλὰ θοοῖς ποσί, πολλὰ δ' ἐν ὄρφνῃ
οὐκ ἐθέλων στείβεσκε· Κύπρις δ' ὁδὸν ἡγεμόνευεν
υἱωνὸν καὶ παῖδα καὶ ἀνέρα πήματος αἰνοῦ
πρόφρων ῥυομένη· τοῦ δ' ἐσσυμένου ὑπὸ ποσσὶ
πάντῃ πῦρ ὑπόεικε· περισχίζοντο δ' ἀυτμαὶ
Ἡφαίστου μαλεροῖο, καὶ ἔγχεα καὶ βέλε' ἀνδρῶν
πῖπτον ἐτώσια πάντα κατὰ χθονός, ὁππόσ' Ἀχαιοὶ
κείνῳ ἐπέρριψαν πολέμῳ ἔνι δακρυόεντι.
καὶ τότε δὴ Κάλχας μεγάλ' ἴαχε λαὸν ἐέργων·
„ἴσχεσθ' Αἰνείαο κατ' ἰφθίμοιο καρήνου
βάλλοντες στονόεντα βέλη καὶ λοίγια δοῦρα·
τὸν γὰρ θέσφατόν ἐστι θεῶν ἐρικυδέι βουλῇ
Θύμβριν ἐπ' εὐρυρέεθρον ἀπὸ Ξάνθοιο μολόντα
τευξέμεν ἱερὸν ἄστυ καὶ ἐσσομένοισιν ἀγητὸν
ἀνθρώποις, αὐτὸν δὲ πολυσπερέεσσι βροτοῖσι
κοιρανέειν· ἐκ τοῦ δὲ γένος μετόπισθεν ἀνάξειν
ἄχρις ἐπ' ἀντολίην τε καὶ ἀκαμάτου δύσιν ἠοῦς·
καὶ μάν οἱ θέμις ἐστὶ μετέμμεναι ἀθανάτοισιν,
οὕνεκα δὴ πάις ἐστὶν ἐυπλοκάμου Ἀφροδίτης.
καὶ δ' ἄλλως τοῦδ' ἀνδρὸς ἑὰς ἀπεχώμεθα χεῖρας,
οὕνεκα καὶ χρυσοῖο καὶ ἄλλ' ὅσα οἱ κτέατ' ἐστίν,
ἄνδρ' ἃ σαοῖ φεύγοντα καὶ ἀλλοδαπὴν ἐπὶ γαῖαν,

323 ἁπαλὸς *v*, ἀταλὸς *st*¹*spk* 324 παρειάσιν *AP*,orr. *p* 341 ἀκάματον δ. ἔλθῃ *v*, ἀκαμάτου δ. ἠοῦς *kh* 342 καὶ γάρ οἱ *v*, καὶ δ' αὐτῷ *k*, καὶ μάν οἱ *ego* 345 sq. οὕνεκά οἱ *v*, οὕνεκά τοι *r*, δὴ *rsp*, καὶ *k* olim et *l* ἄλλοις ἐν κτ. | ἄνδρα *AP*, ἅ. ἐν κτ. | ὅσσα *r*, ἄλλων ἐν κτ. | ὅσσα *p* et ἅσσα *t*, ἄλλ' ὅσ' ἐνὶ κτ. | ἄνδρα *k* olim et *l*; ἄλλων lacunae signis post hanc vocem positis *sp*(*h*)*k* [ʽplura, quibus patriae exsul vitam inter

τῶν πάντων προβέβουλεν ἑὸν πατέρ' ἠδὲ καὶ υἷα·
νὺξ δὲ μί' ἧμιν ἔφηνε καὶ υἱέα πατρὶ γέροντι
ἤπιον ἐκπάγλως καὶ ἀμεμφέα παιδὶ τοκῆα.“
ὣς φάτο· τοὶ δ' ἐπίθοντο καὶ ὡς θεὸν εἰσοράασκον
πάντες· ὁ δ' ἐσσυμένως ἐξ ἄστεος οἶο βεβήκει,
ἧχί ἑ ποιπνύοντα πόδες φέρον. οἱ δ' ἔτι Τροίης
Ἀργεῖοι πτολίεθρον ἐυκτίμενον διέπερθον.
καὶ τότε δὴ Μενέλαος ὑπὸ ξίφεϊ στονόεντι
Δηίφοβον κατέπεφνε καρηβαρέοντα κιχήσας
ἀμφ' Ἑλένης λεχέεσσι δυσάμμορον· ἡ δ' ὑπὸ φύζῃ
κεύθετ' ἐνὶ μεγάροισιν· ὁ δ' αἵματος ἐκχυμένοιο
γήθεεν ἀμφὶ φόνῳ· τοῖον δ' ἐπὶ μῦθον ἔειπεν·
„ὦ κύον, ὥς τοι ἔγωγε φόνον στονόεντ' ἐφέηκα
σήμερον· οὐδέ σε δῖα κιχήσεται Ἠριγένεια
ζωὸν ἔτ' ἐν Τρώεσσι, καὶ εἰ Διὸς εὔχεαι εἶναι
γαμβρὸς ἐρισμαράγοιο· μέλας δέ σε δέξατ' ὄλεθρος
ἡμετέρης ἀλόχοιο παρὰ μεγάροισι δαμέντα
ἀργαλέως· ὡς εἴθε καὶ οὐλομένοιο πάροιθε
θυμὸν Ἀλεξάνδροιο κατὰ μόθον ἀντιόωντος
νοσφισάμην, καί κέν μοι ἐλαφρότερον πέλεν ἄλγος·
ἀλλ' ὁ μὲν ἤδη ἵκανεν ὑπὸ ζόφον ὀκρυόεντα
τίσας αἴσιμα πάντα· σὲ δ' οὐκ ἄρα μέλλεν ὀνήσειν
ἡμετέρη παράκοιτις, ἐπεὶ Θέμιν οὔ ποτ' ἀλιτροὶ
ἀνέρες ἐξαλέονται ἀκήρατον, οὕνεκ' ἄρ' αὐτοὺς

alienigenas sustentare possit, haud dubie fuerunt enumerata' *sp*], continuant (ἐν) κτεάτεσσιν *sp*, ἄλλοις ἐν κτ. *k*; ἄλλ' ὅσα οἱ κτέατ' ἐστίν, | ἄνδρ' ἃ *ego* σάοι *v*, σάοῖ *P*, σαοῖ *ego*
348 δέ μιν *AP*, δὲ μί' *pstsplk* 352 ἐπιπνύοντα *P*
362 μέγας *v*, μέλας *kspl*[2] δέ σ' ἐδ. *v*, δέ σε δ. *hsplk*
363 παρ' ἡμετέροισι *A*, παρ' ἡμετέρῃσι *C*[1] *P*, παρ' ὑμετέροισι *E*[1], παρὰ λέκτροισι *rtl*, παρὰ μεγάροισι *k* 364 ὣς *v*, ὡς *ego*
366 -τατον *AP*, -τερον *tlk* 367 ἤδη om. *AP*, add. *r*
368 ἂρ ἔμελλεν *v*, ἄρ' ἔμ. *sp*, ἄρα μ. *hlk*

εἰσοράᾳ νυκτός τε καὶ ἤματος, ἀμφὶ δὲ πάντῃ
ἀνθρώπων ἐπὶ φῦλα διηερίη πεπότηται
τινυμένη σὺν Ζηνὶ κακῶν ἐπιίστορας ἔργων.“
ὣς εἰπὼν δηίοισιν ἀνηλέα τεῦχεν ὄλεθρον·
μαίνετο γάρ οἱ θυμὸς ὑπὸ κραδίῃ μέγ' ἀέξων
ζηλήμων· καὶ πολλὰ περὶ φρεσὶ θαρσαλέῃσι
Τρωσὶ κακὰ φρονέεσκε, τὰ δὴ θεὸς ἐξετέλεσσε
πρέσβα Δίκη· κεῖνοι γὰρ ἀτάσθαλα πρῶτοι ἔρεξαν
ἀμφ' Ἑλένης, πρῶτοι δὲ καὶ ὅρκια πημήναντο,
σχέτλιοι, ὁππότε κεῖνο διὲκ μέλαν αἷμα καὶ ἱρὰ
ἀθανάτων ἐλάθοντο παραιβασίῃσι νόοιο·
τῶ καί σφιν μετόπισθεν Ἐριννύες ἄλγεα τεῦχον·
τοὔνεκ' ἄρ' οἱ μὲν ὄλοντο πρὸ τείχεος, οἱ δ' ἀνὰ ἄστυ
τερπόμενοι παρὰ δαιτὶ καὶ ἠυκόμοις ἀλόχοισιν.
ὀψὲ δὲ δὴ Μενέλαος ἐνὶ μυχάτοισι δόμοιο
εὗρεν ἑὴν παράκοιτιν ὑποτρομέουσαν ὁμοκλὴν
ἀνδρὸς κουριδίοιο θρασύφρονος, ὅς μιν ἀθρήσας
ὥρμηνεν κτανέειν ζηλημοσύνῃσι νόοιο,
εἰ μή οἱ κατέρυξε βίην ἐρόεσσ' Ἀφροδίτη,
ἥ ῥά οἱ ἐκ χειρῶν ἔβαλε ξίφος, ἔσχε δ' ἐρωήν·
τοῦ γὰρ ζῆλον ἐρεμνὸν ἀπώσατο καί οἱ ἔνερθεν
ἡδὺν ὑφ' ἵμερον ὦρσε κατὰ φρενὸς ἠδὲ καὶ ὄσσων.
τῷ δ' ἄρα θάμβος ἄελπτον ἐπήλυθεν· οὐδ' ἄρ' ἔτ' ἔτλη
κάλλος ἰδὼν ἀρίδηλον ἐπὶ ξίφος αὐχένι κῦρσαι,
ἀλλ' ὥς τε ξύλον αὖον ἐν οὔρεϊ ὑλήεντι
εἱστήκει, τὸ μὲν οὔτε θοαὶ Βορέαο θύελλαι

377 *-τέλεσσεν* *v*, *-σε* *k* 380 *ἀλίτοντο* ci. *r*, *πατέοντο* *k* olim 384 *παρ' ἠυκ.* *v*, *καὶ ἠυκ.* *kl* 388 *-νε* *v*, *-νεν* *Phg* 392 *ἐφ'* *v*, *ὑφ'* *k* 393 *ἔτ'* om. *AP*, add. *tlk* 394 *ἀρίζηλον* *v*, *ἀρίδ.* *rsplkP* *αὖ χερὶ* *b* 395 *ὥσπερ* *v*, *ὥστε* *spk* 396 *οὔτι* *v*, *οὔτε* *spk* *θοαὶ* om. *A*, add. *rP*

ἐσσύμεναι κλονέουσι δι' ἠέρος οὔτε Νότοιο·
ὣς ὁ ταφὼν μένε δηρόν· ὑπεκλάσθη δέ οἱ ἀλκὴ
δερκομένου παράκοιτιν· ἄφαρ δ' ὅ γε λήσατο πάντων,
ὅσσά οἱ ἐν λεχέεσσιν ἐνήλιτε κουριδίοισι·
πάντα γὰρ ἠμάλδυνε θεὰ Κύπρις, ἥ περ ἁπάντων
ἀθανάτων δάμνησι νόον θνητῶν τ' ἀνθρώπων.
ἀλλὰ καὶ ὣς θοὸν ἆορ ἀπὸ χθονὸς αὖθις ἀείρας
κουριδίῃ ἐπόρουσε· (νόος δέ οἱ ἄλλ' ἐνὶ θυμῷ
ὡρμᾶτ' ἐσσυμένοιο· δόλῳ δ' ἄρα θέλγεν Ἀχαιούς.)
καὶ τότε μιν κατέρυξεν ἀδελφεὸς ἱέμενόν περ
μειλιχίοις μάλα πολλὰ παραυδήσας ἐπέεσσι·
δείδιε γὰρ μὴ δή σφιν ἐτώσια πάντα γένηται·
„ἴσχεο νῦν, Μενέλαε, χολούμενος· οὐ γὰρ ἔοικε
κουριδίην παράκοιτιν ἐναιρέμεν, ἧς πέρι πολλὰ
ἄλγε' ἀνέτλημεν Πριάμῳ κακὰ μητιόωντες·
οὐ γάρ τοι Ἑλένη πέλει αἰτίη, ὡς σύγ' ἔολπας,
ἀλλὰ Πάρις ξενίοιο Διὸς καὶ σεῖο τραπέζης
λησάμενος· τῷ καί μιν ἐν ἄλγεσι τίσατο δαίμων."
ὣς φάθ'· ὁ δ' αἶψ' ἐπίθησε. θεοὶ δ' ἐρικυδέα Τροίην
κυανέοις νεφέεσσι καλυψάμενοι γοάασκον,
νόσφιν ἐυπλοκάμου Τριτωνίδος ἠδὲ καὶ Ἥρης,
αἳ μέγα κυδιάασκον ἀνὰ φρένας, εὖτ' ἐσίδοντο
περθόμενον κλυτὸν ἄστυ θεηγενέος Πριάμοιο.
ἀλλ' οὐ μὰν οὐδ' αὐτὴ ἐύφρων Τριτογένεια
πάμπαν ἄδακρυς ἔην, ἐπεὶ ἦ νύ οἱ ἔνδοθι νηοῦ
Κασσάνδρην ᾔσχυνεν Ὀιλέος ὄβριμος υἱός,

400 λεχέεσσιν ἀνήλιτεν A, λ. -τε P, λ. ἀνήλιπτε V, λεχέεσσι παρήλιτε tlk, λεχέεσσιν ἐνήλ. ego 401 θεὴ v, θεὰ k^1 in praef. k^2 405 ἂρ ἔθελγεν v, ἄρα θ. hlk 410 ἀναιρ. v, ἐναιρ. splkP ἣ P 413 ἀλλὰ περὶ ξείνοιο AP, ἀλλ' ὁ π. ξ. VE^1, em. rbr 420 μὲν AP, μὴν C^1rtl, μὰν rk 421 ἐπεί ῥά AP, ἐπειή ῥά rtlk, ἐπειή νύ ci. k (vel π. ἄρ'

θυμοῦ τ' ἠδὲ νόοιο βεβλαμμένος. ἡ δέ οἱ αἰνὸν
εἰσοπίσω βάλε πῆμα καὶ ἀνέρα τίσατο Λώβης·
οὐδὲ μὲν ἔργον ἀεικὲς ἐσέδρακεν, ἀλλά οἱ αἰδὼς
καὶ χόλος ἀμφεχύθη· βλοσυρὰς δ' ἔτρεψεν ὀπωπὰς
νηὸν ἐς ὑψόροφον· περὶ δ' ἔβραχε θεῖον ἄγαλμα,
καὶ δάπεδον νηοῖο μέγ' ἔτρεμεν· οὐδ' ὅ γε λυγρῆς
λῆγεν ἀτασθαλίης, ἐπεὶ ἦ φρένας ἄασε Κύπρις.
πάντη δ' ἄλλοθεν ἄλλα κατηρείποντο μέλαθρα
ὑψόθεν· ἀζαλέη δὲ κόνις συνεμίσγετο καπνῷ·
ὦρτο δ' ἄρα κτύπος αἰνός, ὑπετρομέοντο δ' ἀγυιαί·
καίετο δ' Αἰνείαο δόμος, καίοντο δὲ πάντα
Ἀντιμάχοιο μέλαθρα· καταίθετο δ' ἄσπετος ἄκρη
Πέργαμον ἀμφ' ἐρατὴν περί θ' ἱερὸν Ἀπόλλωνος
νηόν τε ζάθεον Τριτωνίδος ἀμφί τε βωμὸν
Ἑρκείου· θάλαμοι δὲ κατεπρήθοντ' ἐρατεινοὶ
υἱωνῶν Πριάμοιο· πόλις δ' ἀμαθύνετο πᾶσα.
Τρῶες δ' οἱ μὲν παισὶν ὑπ' Ἀργείων ὀλέκοντο,
οἱ δ' ὑπὸ λευγαλέου τε πυρὸς σφετέρων τε μελάθρων,
ἔνθά σφιν καὶ μοῖρα κακὴ καὶ τύμβος ἐτύχθη,
ἄλλοι δὲ ξιφέεσσιν ἑὸν διὰ λαιμὸν ἔλασσαν
πῦρ ἅμα δυσμενέεσσιν ἐπὶ προθύροισιν ἰδόντες,
οἱ δ' ἄρ' ὁμῶς τεκέεσσι κατακτείναντες ἀκοίτις

ἦεν ἄδ. vel π. ἔην τότ' ἄ. vel π. ἔην ἀδάκρυτος), nec praestat π. ἄδ. ἔμιμνεν 425 οὐδέ οἱ *APspg*, οὐδέ τοι *p*, οὐδὲ ἡ *t*, οὐδ' ἥγ' *k* olim et *l*, οὐδὲ μὲν *k* 426 δὲ τρ. *v*, δ' ἔτρ. *gk* 428 ἔτρεσεν *v*, ἔτρεμεν *blk* 429 ἐπεί οἱ *v*, ὅτι οἱ *hl* (vel ὅ ῥά οἱ *h*), ἐπειὴ *kP* 432 αἰνὸς· καίοντο *A*, αἰνός· ὁμοῦ κ. *r* (vel ἄδην) *tl*, αἰνὸς ὁμοῦ· κ. *st*[1], post αἰνὸς lacunae signa pos. *k*, quae duobus hemistichiis in *P* solo servatis optime expletur (ὑποτρομ. *P*, correxi). idem *p* auctore post καίοντο δὲ πάντα maioris lacunae signa posuit ['plures versus in incendio enarrando occupati post v. 432 periisse videntur'] 436 θαλάμοιο κατεπρ. *P* 439 λευγαλέοιο π. *P* 443 ἄκοιτιν *v*, ἀκοίτησ *P*, ἀκοίτις *ego*

κάππεσον ἄσχετον ἔργον ἀναπλήσαντες ἀνάγκῃ.
καί ῥά τις οἰόμενος δηίων ἑκὰς ἔμμεν αὐτὴν
ἔκποθεν Ἡφαίστοιο θοῶς ἀνὰ κάλπιν ἀείρας
ὥρμηνεν πονέεσθαι ἐφ' ὕδατι· τὸν δὲ παραφθὰς
Ἀργείων τις ἔτυψεν ὑπ' ἔγχεϊ καί οἱ ὄλεσσε
θυμὸν ὑπ' ἀκρήτῳ βεβαρημένον· ἤριπε δ' εἴσω
δώματος, ἀμφὶ δέ οἱ κενεὴ περικάππεσε κάλπις.
ἄλλῳ δ' αὖ φεύγοντι διὰ μεγάροιο μεσόδμη
ἔμπεσε καιομένη, ἐπὶ δ' ἤριπεν αἰπὺς ὄλεθρος.
πολλαὶ δ' αὖτε γυναῖκες ἀνιηρὴν ἐπὶ φύξαν
ἐσσύμεναι μνήσαντο φίλων ὑπὸ δώμασι παίδων,
οὓς λίπον ἐν λεχέεσσιν· ἄφαρ δ' ἀνὰ ποσσὶν ἰοῦσαι
παισὶν ὁμῶς ἀπόλοντο δόμων ἐφύπερθε πεσόντων.
ἵπποι δ' αὖτε κύνες τε δι' ἄστεος ἐπτοίηντο
φεύγοντες στυγεροῖο πυρὸς μένος· ἀμφὶ δὲ ποσσὶ
στεῖβον ἀποκταμένους, ζωοῖσι δὲ πῆμα φέροντες
αἰὲν ἐνερρήγνυντο· βοὴ δ' ἀμφίαχεν ἄστυ.
καί τινος αἰζηοῖο διὰ φλογὸς ἐσσυμένοιο

*   *   *   *   *   *

*   *   *   *   *   *

φθεγγομένου· τοὺς δ' ἔνδον ἀμείλιχος Αἶσα δάμασσεν·
ἄλλον δ' ἄλλα κέλευθα φέρον στονόεντος ὀλέθρου.
φλὸξ δ' ἄρ' ἐς ἠέρα δῖαν ἀνέγρετο, πέπτατο δ' αἴγλη
ἄσπετος· ἀμφὶ δὲ φῦλα περικτιόνων ὁρόωντο
μέχρις ἐπ' Ἰδαίων ὀρέων ὑψηλὰ κάρηνα

445 *ἔμμεναι αὐτὸν AP, ἔ. αὐτὸν rt, ἔ. αὐτὸς l, ἔμμεν' αὐτὴν* (vel *-τῆς*) *k* 448 *ὄλεσσεν P* 452 *ἐπὶ δ' ἤρ. αἰπὺν ὄλεθρον v, ἐπὶ δ' ἔρριφεν k* olim et *l, ἐπὶ δ' ἔκρυφεν sp, ἐπὶ δ' ἤρ. αἰπὺς ὄλεθρος k* 453 *ὑπὸ AP, ἐπὶ* em. *r* 454 *ἐνὶ st*[2] *δώματι v, -σι* ex *Pego* 460 *ἐρήγν. A, ἐπερρήγν. rtl, ἀνερρ. sp, ἐπερρώοντο k, ἐνερρήγν.* ex *Pego* 461 post h. v. lacunam esse omnes consentiunt 463 *φέρεν v, -ον k* 464 *ἀνέρχετο st*[1]

Θρηικίης τε Σάμοιο καὶ ἀγχιάλου Τενέδοιο·
καί τις ἁλὸς κατὰ βένθος ἔσω νεὸς ἔκφατο μῦθον·
„ἤνυσαν Ἀργεῖοι κρατερόφρονες ἄσπετον ἔργον
πολλὰ μάλ' ἀμφ' Ἑλένης ἑλικοβλεφάροιο καμόντες,
πᾶσα δ' ἄρ' ἡ τὸ πάροιθε πανόλβιος ἐν πυρὶ Τροίη
καίεται· οὐδὲ θεῶν τις ἐελδομένοισιν ἄμυνε·
πάντα γὰρ ἄσχετος Αἶσα βροτῶν ἐπιδέρκεται ἔργα,
καὶ τὰ μὲν ἀκλέα πολλὰ καὶ οὐκ ἀρίδηλα γεγῶτα
κυδήεντα τίθησι, τὰ δ' ὑψόθι μείον' ἔθηκε·
πολλάκι δ' ἐξ ἀγαθοῖο πέλει κακόν, ἐκ δὲ κακοῖο
ἐσθλὸν ἀμειβομένοιο πολυτλήτου βιότοιο.“
ὣς ἄρ' ἔφη μερόπων τις ἀπόπροθεν ἄσπετον αἴγλην
εἰσορόων· στονόεσσα δ' ἔτ' ἄμφεχε Τρῶας ὀιζύς.
Ἀργεῖοι δ' ἀνὰ ἄστυ κυδοίμεον, ἠύτ' ἀῆται
λάβροι ἀπείρονα πόντον ὀρινόμενοι κλονέουσιν,
ὁππότ' ἄρ' ἀντιπέρηθε δυσαέος Ἀρκτούροιο
βηλὸν ἐς ἀστερόεντα θυτήριον ἀντέλλῃσιν
ἐς Νότον ἠερόεντα τετραμμένον, ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλαὶ ὑπόβρυχα νῆες ἀμαλδύνοντ' ἐνὶ πόντῳ
ὀρνυμένων ἀνέμων· τοῖς εἴκελοι υἷες Ἀχαιῶν
πόρθεον Ἴλιον αἰπύ· τὸ δ' ἐν πυρὶ καίετο πολλῷ.
ἠύτ' ὄρος λασίῃσιν ἄδην καταειμένον ὕλῃς
ἐσσυμένως καίηται ὑπαὶ πυρὸς ὀρνυμένοιο
ἐξ ἀνέμων, δολιχαὶ δὲ περιβρομέουσι κολῶναι,
τῷ δ' ἄρα λευγαλέως ἐνιτείρεται ἄγρια πάντα
Ἡφαίστοιο βίηφι περιστρεφθέντα καθ' ὕλην·
ὣς Τρῶες κτείνοντο κατὰ πτόλιν· οὐδέ τις αὐτοὺς

467 ἀμφιάλου *rtl* 472 ἄμυνεν *v*, -ε *k* 474 πάντα *v*, πολλὰ *k* 475 μείονα θῆκε *v*, μείον' ἔθ. *k* 480 ἄνα *ptk* 486 οἷς *AP*, em. *t* 489 ὑπὲρ AE^1P, ὑπὲκ *Sylburg t sp*, ὑπαὶ *phlk* 491 ἔνι τείρ. *tl*

ῥύετ' ἐπουρανίων· περὶ γὰρ λίνα πάντοθε Μοῖραι
μακρὰ περιστήσαντο, τά περ βροτὸς οὔ ποτ' ἄλυξε.
καὶ τότε Δημοφόωντι μενεπτολέμῳ τ' Ἀκάμαντι
Θησῆος μεγάλοιο δι' ἄστεος ἤντετο μήτηρ
Αἴθρη ἐελδομένη· μακάρων δέ τις ἡγεμόνευεν,
ὅς μιν ἄγεν κείνοισι καταντίον· ἡ δ' ἀλάλυκτο
φεύγουσ' ἐκ πολέμοιο καὶ ἐκ πυρός. οἱ δ' ἐσιδόντες
αἴγλῃ ἐν Ἡφαίστοιο δέμας μέγεθός τε γυναικὸς
αὐτὴν ἔμμεν ἔφαντο θεηγενέος Πριάμοιο
ἀντιθέην παράκοιτιν· ἄφαρ δέ οἱ ἐμμεμαῶτες
χεῖρας ἐπερρίψαντο λιλαιόμενοί μιν ἄγεσθαι
ἐς Δαναούς· ἡ δ' αἰνὸν ἀναστενάχουσα μετηύδα·
„μή νύ με, κύδιμα τέκνα φιλοπτολέμων Ἀργείων,
δήιον ὣς ἐρύοντες ἑὰς ἐπὶ νῆας ἄγεσθε·
οὐ γὰρ Τρωιάδων γένος εὔχομαι, ἀλλά μοι ἐσθλὸν
αἷμα πέλει Δαναῶν μάλ' ἐυκλεές, οὕνεκα Πιτθεὺς
γείνατό μ' ἐν Τροιζῆνι, γάμῳ δ' ἑδνώσατο δῖος
Αἰγεύς, ἐκ δ' ἄρ' ἐμεῖο κλυτὸς πάις ἔπλετο Θησεύς.
ἀλλ' ἄγε, πρὸς μεγάλοιο Διὸς τερπνῶν τε τοκήων,
εἰ ἐτεὸν Θησῆος ἀμύμονος ἐνθάδ' ἵκοντο
υἷες ἅμ' Ἀτρείδῃσι, φίλοισί με παίδεσι κείνου
δείξατ' ἐελδομένοισι κατὰ στρατόν, οὕς περ ὀίω
ὔμμιν ὁμήλικας ἔμμεν· ἀναπνεύσει δέ μευ ἦτορ,
ἤν κείνους ζώοντας ἴδω καὶ ἀριστέας ἄμφω.“
ὣς φάτο· τοὶ δ' ἀίοντες ἑοῦ μνήσαντο τοκῆος,

498 *καίπερ v*, *ἤντετ' sp*, *καί μάλ' hlw*, *καὶ πρὶν ls*, *αὐτὴ* ci. *k*[1] (olim *καίπερ ἀλωομένη*), lacunae signa post *καίπερ* pos. *k*[2], *Αἴθρη st*[2] (prob. *n*) 499 *αλεκτο A*, *ἀλάλητο rtlP*(?), *ἀλάλυκτο k* 512 *ἀλλά με v*, *ἀλλά γε hy*, *ἀλλ' ἄγε k* olim 514 *φίλοισι δὲ παίδεσι κείνου AP* (*παίδεσ P*), *φίλοισί γε π. κ. ptl*, *φίλοισί με π. k. hy* et *k* olim, *φίλοις παίδεσσιν ἐκείνου hk* 518 *οἳ δ' AP*, *οἱ δ' t*, *τοὶ δ' splk*

ἀμφ' Ἑλένης ὅσ' ἔρεξε, καὶ ὡς διέπερσαν Ἀφίδνας
κοῦροι ἐριγδούποιο Διὸς πάρος, ὁππότ' ἄρ' αὐτοὺς
ὑσμίνης ἀπάνευθεν ἀπεκρύψαντο τιθῆναι
νηπιάχους ἔτ' ἐόντας· ἀνεμνήσαντο δ' ἀγαυῆς
Αἴθρης, ὅσσ' ἐμόγησε δορυκτήτῳ ὑπ' ἀνάγκῃ
ἄμφω ὁμῶς ἑκυρή τε καὶ ἀμφίπολος γεγαυῖα
ἀντιθέης Ἑλένης· σὺν δ' ἀμφασίῃ κεχάροντο.
Δημοφόων δέ μιν ἠὺς ἐελδομένην προσέειπε·
„σοὶ μὲν δὴ τελέουσι θεοὶ θυμηδὲς ἐέλδωρ
αὐτίκ', ἐπεί ῥα δέδορκας ἀμύμονος υἱέος υἷας
ἡμέας, οἵ σε φίλῃς συναειράμενοι παλάμῃσιν
οἴσομεν ἐς νῆας καὶ ἐς Ἑλλάδος ἱερὸν οὖδας
ἄξομεν ἀσπασίως, ὅθι περ πάρος ἐμβασίλευες.“
ὣς φάμενον μεγάλοιο πατρὸς προσπτύξατο μήτηρ
χείρεσιν ἀμφιβαλοῦσα, κύσεν δέ οἱ εὐρέας ὤμους
καὶ κεφαλὴν καὶ στέρνα γένειά τε λαχνήεντα·
ὣς δ' αὔτως Ἀκάμαντα κύσεν, περὶ δέ σφισι δάκρυ
ἡδὺ κατὰ βλεφάροιιν ἐχεύατο μυρομένοισιν·
ὡς δ' ὁπότ' αἰζηοῖο μετ' ἀλλοδαποῖσιν ἐόντος
λαοὶ φημίξωσι μόρον, τὸν δ' ἔκποθεν υἷες
ὕστερον ἀθρήσαντες ἐς οἰκία νοστήσαντα
κλαίουσιν μάλα τερπνόν· ὁ δ' ἔμπαλι παισὶ καὶ αὐτὸς
μύρεται ἐν μεγάροισιν ἐπωμαδόν, ἀμφὶ δὲ δῶμα
ἡδὺ κινυρομένων γοερὴ περιπέπτατ' ἰωή·
ὣς τῶν μυρομένων λαρὸς γόος ἀμφιδεδήει.
καὶ τότε που Πριάμοιο πολυτλήτοιο θύγατρα
Λαοδίκην ἐνέπουσιν ἐς αἰθέρα χεῖρας ὀρέξαι
εὐχομένην μακάρεσσιν ἀτειρέσιν, ὄφρά ἑ γαῖα

522 ἀναμν. v, ἀνεμν. splk 536 -μένοιϊν AP, em. r
542 ἡδύ τι μυρομένῳ A (-ω P), ἡδύ τι μυρομένων rt, ἡδὺ κινυρ. kspl 544 -κτήτοιο v, -τλήτοιο ex Pego

ἀμφιχάνῃ, πρὶν χεῖρα βαλεῖν ἐπὶ δούλια ἔργα.
τῆς δὲ θεῶν τις ἄκουσε καὶ αὐτίκα γαῖαν ἔνερθε
ῥῆξεν ἀπειρεσίην· ἡ δ' ἐννεσίῃσι θεοῖο
κούρην δέξατο δῖαν ἔσω κοίλοιο βερέθρου,
Ἰλίου ὀλλυμένης, ἧς εἵνεκά φασι καὶ αὐτὴν
Ἠλέκτρην βαθύπεπλον ἑὸν δέμας ἀμφικαλύψαι
ἀχλύι καὶ νεφέεσσιν ἀποιχομένην χοροῦ ἄλλων
Πληιάδων, αἵ δή οἱ ἀδελφειαὶ γεγάασιν·
ἀλλ' αἱ μὲν μογεροῖσιν ἐπόψιαι ἀνθρώποισιν
ἰλαδὸν ἀντέλλουσιν ἐς οὐρανόν· ἡ δ' ἄρα μούνη
κεύθεται αἰὲν ἄιστος, ἐπεί ῥά οἱ υἱέος ἐσθλοῦ
Δαρδάνου ἱερὸν ἄστυ κατήριπεν· οὐδέ οἱ αὐτὸς
Ζεὺς ὕπατος χραίσμησεν ἀπ' αἰθέρος, οὕνεκα Μοίραις
εἴκει καὶ μεγάλοιο Διὸς μένος· ἀλλὰ τὸ μέν που
ἀθανάτων τάχ' ἔρεξεν ἑὺς νόος ἠὲ καὶ αὐταί.
Ἀργεῖοι δ' ἔτι θυμὸν ἐπὶ Τρώεσσιν ὄρινον
πάντῃ ἀνὰ πτολίεθρον· Ἔρις δ' ἔχε πείρατα χάρμης.

548 *-θεν v*, *-θε* k^2 *P* 553 *ἀκηχεμένην χορὸν AP* et sic *k* lacunae signis post *ἀκηχεμ.* positis, *ἀλευαμένην χ. r*, *ἀπεχθομένην χ. tl* (vel *ἀπαιδομ. l*), *ἀφισταμ.* et *ἀπισχομ.* et *ἀποιχομένην χοροῦ* ci. *k* 555 *ἐπ' ὄψεϊ v*, *-ει P*, *ἐπόψιαι hsplk* 560 *τὰ sp* 561 *ἠὲ καὶ οὐκί v*, *ἠέ τις Αἶσα* et *ἠδὲ καὶ ἀλκή* olim ci. *k*, *ἠὲ καὶ αὐταί ego* 563 hunc v. ubique omissum ex *P* addidi

ΚΟΙΝΤΟΥ
ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ
ΛΟΓΟΣ ΤΕΣΣΑΡΑΚΑΙΔΕΚΑΤΟΣ.

Καὶ τότ᾽ ἀπ᾽ Ὠκεανοῖο θεὰ χρυσόθρονος Ἠὼς
οὐρανὸν εἰσανόρουσε· χάος δ᾽ ὑπεδέξατο νύκτα.
οἱ δὲ βίῃ Τροίην εὐερκέα δῃώσαντο
Ἀργεῖοι, καὶ κτῆσιν ἀπείρονα ληίσσαντο,
χειμάρροις ποταμοῖσιν ἐοικότες, οἵ τε φέρονται
ἐξ ὀρέων καναχηδὸν ὀρινομένου ὑετοῖο,
πολλὰ δὲ δένδρεα μακρὰ καὶ ὁππόσα φύετ᾽ ὄρεσφιν
αὐτοῖς σὺν πρώνεσσιν ἔσω φορέουσι θαλάσσης·
ὣς Δαναοὶ πέρσαντες ὑπαὶ πυρὶ Τρώιον ἄστυ
κτήματα πάντα φέρεσκον ἐυσκάρθμους ἐπὶ νῆας.
σὺν δ᾽ ἄρα Τρωιάδας καταγίνεον ἄλλοθεν ἄλλας,
τὰς μὲν ἔτ᾽ ἀδμῆτας καὶ νήιδας οἷο γάμοιο,
τὰς δ᾽ ἄρ᾽ ὑπ᾽ αἰζηοῖσι νέον φιλότητι δαμείσας,
ἄλλας δ᾽ αὖ πολιοπλοκάμους, ἑτέρας δ᾽ ἄρα κείνων
ὁπλοτέρας, ὧν παῖδας ἀπειρύσσαντ᾽ ἀπὸ μαζῶν
ὑστάτιον χείλεσσι γλάγος περιμαιμώωντας.
τοῖσιν δὴ Μενέλαος ἐνὶ μέσσοισι καὶ αὐτὸς
ἦγεν ἑὴν παράκοιτιν ἀπ᾽ ἄστεος αἰθομένοιο

2 φάος *d* 12 ἀμφὶ γάμ. *l* 14 ἄρ᾽ ἐκείνων *v*, ἄρα κ. ex *Pego*

ἐξανύσας μέγα ἔργον· ἔχεν δέ ἑ χάρμα καὶ αἰδώς.
Κασσάνδρην δ' ἄγε δῖαν ἐυμμελίης Ἀγαμέμνων,
Ἀνδρομάχην δ' Ἀχιλῆος ἐὺς πάις. αὐτὰρ Ὀδυσσεὺς
εἷλκε βίῃ Ἑκάβην· τῆς δ' ἀθρόα δάκρυ' ἀπ' ὄσσων
πίδακος ὣς ἐχέοντο· περιτρομέεσκε δὲ γυῖα,
καὶ κραδίη ἀλάλυκτο φόβῳ, δεδάικτο δὲ χαίτας
κράατος ἐκ πολιοῖο· τέφρη δ' ἐπεπέπτατο πολλή,
τήν που ἀπ' ἐσχαρεῶνος ἄδην κατεχεύατο χερσὶν
ὀλλυμένου Πριάμοιο καὶ ἄστεος αἰθομένοιο·
καί ῥα μέγα στενάχιζεν, ὅτ' ἀμφί ἑ δούλιον ἦμαρ
μάρψ' ἀεκαζομένην. ἕτερος δ' ἑτέρην γοόωσαν
ἤγετο Τρωιάδων σφετέρας ἐπὶ νῆας ἀνάγκῃ·
αἱ δ' ἀδινὸν γοόωσαι ἀνίαχον ἄλλοθεν ἄλλαι
νηπιάχοις ἅμα παισὶ κινυρόμεναι μάλα λυγρῶς·
ὡς δ' ὁπότ' ἀργιόδουσιν ὁμῶς συσὶ νήπια τέκνα
σταθμοῦ ἄπο προτέροιο ποτὶ σταθμὸν ἄλλον ἄγωσιν
ἀνέρες ἐγρομένῳ ὑπὸ χείματι, τοὶ δ' ἀλεγεινὸν
μίγδα περιτρύζουσι διηνεκὲς ἀλλήλοισιν·
ὣς Τρῳαὶ Δαναοῖσιν ἐπεστενάχοντο δαμεῖσαι·
ἴσην δ' αὖ καὶ ἄνασσα φέρεν καὶ δμωὶς ἀνάγκην.
ἀλλ' οὐ μὰν Ἑλένην γόος ἄμφεχεν· ἀλλά οἱ αἰδὼς
ὄμμασι κυανέοισιν ἐφίζανε καί οἱ ὕπερθε
καλὰς ἀμφερύθηνε παρηίδας· ἐν δέ οἱ ἦτορ
ἄσπετα πορφύρεσκε κατὰ φρένα, μή ἑ κιοῦσαν

19 δέ γε *P* 20 -δραν *v*, -δρην *splk* 23 ἐχεύοντο *AP*, em. *r* (vel χεύοντο) 25 ἐπιπέπτ. *v*, ἐπεπέπτ. *k* 28 στοναχίζετ' ἀμφί ἑ *AP*; στονάχιζεν, ὅτ' ἄμφεχε *rtlk*; στενάχιζεν, ὅτ' ἀμφί ἑ *ego* 29 μὰψ *v*, μάρψ' *ego* 30 ἦγε *A*, ἦγεν *tlk*, ἥγετο *P*, ἤγετο *ego* 32 κινύμεναι *AP*, κινυρόμ. *rkspl*, κινυρομένοις *pl* 35 ταὶ *v*, τοὶ *k* 36 -ησιν *p* 37 ὑπεστενάχ. *A*, ὑπ' ἐστ. *ptlk*, ἐπεστεν. ex E^1 *P ego* 39 μὲν *AP*, μὰν corr. *r* 40 -θεν *r*, -θε k^2 *P* 41 -θαινε *h*

κυανέας ἐπὶ νῆας ἀεικίσσωνται Ἀχαιοί·
τοὔνεχ' ὑποτρομέουσα φίλῳ περιπάλλετο θυμῷ.
καί ῥα καλυψαμένη κεφαλὴν ἐφύπερθε καλύπτρῃ
ἕσπετο νισσομένοιο κατ' ἴχνιον ἀνδρὸς ἑοῖο
αἰδοῖ πορφύρουσα παρήιον, ἠύτε Κύπρις,
εὖτέ μιν Οὐρανίωνες ἐν ἀγκοίνῃσιν Ἄρηος
ἀμφαδὸν εἰσενόησαν ἑὸν λέχος αἰσχύνουσαν
δεσμοῖς ἐν θαμινοῖσι δαήμονος Ἡφαίστοιο,
τοῖς ἔνι κεῖτ' ἀχέουσα περὶ φρεσὶν αἰδομένη τε
ἰλαδὸν ἀγρομένων μακάρων γένος ἠδὲ καὶ αὐτὸν
Ἥφαιστον· δεινὸν γὰρ ἐν ὀφθαλμοῖσιν ἀκοίτεω
ἀμφαδὸν εἰσοράασθαι ἐπ' αἴσχεϊ θηλυτέρῃσι.
τῇ Ἑλένη εἰκυῖα δέμας καὶ ἀκήρατον αἰδῶ
ἤιε σὺν Τρῳῇσι δορυκτήτοισι καὶ αὐτὴ
νῆας ἐπ' Ἀργείων εὐήρεας. ἀμφὶ δὲ λαοὶ
θάμβεον ἀθρήσαντες ἀμωμήτοιο γυναικὸς
ἀγλαΐην καὶ κάλλος ἐπήρατον· οὐδέ τις ἔτλη
κείνην οὔτε κρυφηδὸν ἐπεσβολίῃσι χαλέψαι
οὔτ' οὖν ἀμφαδίην, ἀλλ' ὡς θεὸν εἰσορόωντο
ἀσπασίως· πᾶσιν γὰρ ἐελδομένοισι φαάνθη.
ὡς δ' ὅτ' ἀλωομένοισι δι' ἀκαμάτοιο θαλάσσης
πατρὶς ἑὴ μετὰ δηρὸν ἐπευχομένοισι φανείη,
οἱ δὲ καὶ ἐκ πόντοιο καὶ ἐκ θανάτοιο φυγόντες
πάτρῃ χεῖρ' ὀρέγουσι γεγηθότες ἄσπετα θυμῷ·
ὣς Δαναοὶ περὶ πάντες ἐγήθεον· οὐ γὰρ ἔτ' αὐτοῖς
μνῆστις ἔην καμάτοιο δυσαλγέος οὐδὲ κυδοιμοῦ·
τοῖον γὰρ Κυθέρεια νόον ποιήσατο πάντων

45 ὑπένερθε *AP*, ἐφύπ. (*r*)*hytlk* 51 περὶ om. *AP*, add. *r* 52 ἐγρομ. *AP*, em. *r* 53 ἀκοίταο *AP*, -ου *rt*, -εω *rsplk* 55 τῆς *VE*[1] 64 μάλα δηρὸν *n* ἐπευχομένοισι *v*, ἀποιχ. *k*, ἐπειγομ. *sp* et *ego* olim; an ἐελδομένοισι?

ἦρα φέρουσ' Ἑλένῃ ἑλικώπιδι καὶ Διὶ πατρί.
  καὶ τότ' ἄρ', ὡς ἐνόησε φίλον δεδαϊγμένον ἄστυ
Ξάνθος ἔθ' αἱματόεντος ἀναπνείων ὀρυμαγδοῦ,
μύρετο σὺν Νύμφῃσιν, ἐπεὶ κακὸν ἔμπεσε Τροίῃ
ἔκποθε καὶ Πριάμοιο κατημάλδυνε πόληα·
ὡς δ' ὅτε λήιον αὖον ἐπιβρίσασα χάλαζα
τυτθὰ διατμήξῃ, στάχυας δ' ἀπὸ πάντας ἀμέρσῃ
ῥιπῇ ὑπ' ἀργαλέῃ, καλάμη δ' ἄρα χεύατ' ἔραζε
μαψιδίη καρποῖο κατ' οὔδεος ὀλλυμένοιο
λευγαλέως, ὀλοὸν δὲ πέλει μέγα πένθος ἄνακτι·
ὣς ἄρα καὶ Ξάνθοιο περὶ φρένας ἤλυθεν ἄλγος
Ἰλίου οἰωθέντος· ἔχεν δέ μιν αἰὲν ὀιζὺς
ἀθάνατόν περ ἐόντα· μακρὴ δ' ἀμφέστενεν Ἴδη
καὶ Σιμόεις· μύροντο δ' ἀπόπροθι πάντες ἔναυλοι
Ἰδαῖοι Πριάμοιο πόλιν περικωκύοντες.
  Ἀργεῖοι δ' ἐπὶ νῆας ἔβαν μέγα καγχαλόωντες,
μέλποντες νίκης ἐρικυδέος ὄβριμον ἀλκήν,
ἄλλοτε δὲ ζάθεον μακάρων γένος ἠδὲ καὶ αὐτῶν
θυμὸν τολμήεντα καὶ ἄφθιτον ἔργον Ἐπειοῦ.
μολπὴ δ' οὐρανὸν ἷκε δι' αἰθέρος, εὖτε κολοιῶν
κλαγγὴ ἀπειρεσίη, ὁπότ' εὔδιον ἦμαρ ἵκηται
χείματος ἐξ ὀλοοῖο, πέλει δ' ἄρα νήνεμος αἰθήρ·
ὣς τῶν πὰρ νήεσσι μέγ' ἔνδοθι γηθομένων κῆρ
* * * * * *
ἀθάνατοι τέρποντο κατ' οὐρανόν, ὅσσοι ἀρωγοὶ
ἐκ θυμοῖο πέλοντο φιλοπτολέμων Ἀργείων·
ἄλλοι δ' αὖ χαλέπαινον, ὅσοι Τρώεσσιν ἄμυνον,

72 ἀποπνείων *thyl*^{1} 79 λυγρῷ δὲ *k* 81 αἰνὴ *k* olim 90 ἵκωνται *A*, ἵκονται *P*, ἵκηται *VE*^{1}*rtlk*, ἴδωνται *C*^{1} et *k* olim 92 post h. v. lacunae signa pos. (*b*)*kl* [velut κλαγγὴ ἐς οὐρανὸν ἷκεν ἀάσπετος· οἱ δ' ἀίοντες], probat *sp*

δερκόμενοι Πριάμοιο καταιθόμενον πτολίεθρον·
ἀλλ' οὐ μὰν ὑπὲρ Αἶσαν ἐελδόμενοί περ ἀμύνειν
ἔσθενον· οὐδὲ γὰρ αὐτὸς ὑπὲρ μόρον οὐδὲ Κρονίων
ῥηιδίως δύνατ' Αἶσαν ἀπωσέμεν, ὃς περὶ πάντων
ἀθανάτων σθένος ἐστί, Διὸς δ' ἐκ πάντα πέλονται.
Ἀργεῖοι δ' ἄρα πολλὰ βοῶν ἐπὶ μηρία θέντες
καῖον ὁμῶς σχίζῃσι, καὶ ἐσσύμενοι περὶ βωμοὺς
λείβεσκον μέθυ λαρὸν ἐπ' αἰθομένῃσι θυηλῆς
ἦρα θεοῖσι φέροντες, ἐπεὶ μέγα ἤνυσαν ἔργον.
πολλὰ δ' ἐν εἰλαπίνῃ θυμηδέι κυδαίνεσκον
πάντας, ὅσους ὑπέδεκτο σὺν ἔντεσι δούριος ἵππος·
θαύμαζον δὲ Σίνωνα περικλυτόν, οὕνεχ' ὑπέτλη
λώβην δυσμενέων πολυκηδέα· καί ῥά ἑ πάντες
μολπῇ καὶ γεράεσσιν ἀπειρεσίοισι τίεσκον
αἰέν· ὁ δ' ἐν φρεσὶν ᾗσιν ἐγήθεε τλήμονι θυμῷ
νίκῃ ἐπ' Ἀργείων, σφετέρῃ δ' οὐκ ἄχνυτο λώβῃ·
ἀνέρι γὰρ πινυτῷ καὶ ἐπίφρονι πολλὸν ἄμεινον
κῦδος καὶ χρυσοῖο καὶ εἴδεος ἠδὲ καὶ ἄλλων
ἐσθλῶν, ὁππόσα τ' ἐστὶ καὶ ἔσσεται ἀνθρώποισιν.
οἱ δ' ἄρα πὰρ νήεσσιν ἀταρβέα θυμὸν ἔχοντες
δόρπεον ἀλλήλοισι διηνεκέως ἐνέποντες·
„ἠνύσαμεν πολέμοιο μακροῦ τέλος· ἠράμεθ' εὐρὺ
κῦδος ὁμῶς δηίοισι μέγα πτολίεθρον ἑλόντες·
ἀλλά, Ζεῦ, καὶ νόστον ἐελδομένοις κατάνευσον."

100 *γένος v, μένος pst*[1], *σθένος pk* 103 *θυηλαῖς v, -ῇς k* 104 *μ. ἔργον ἄνυσσαν h* 107 *ὑπέστη v, ὑπέτλη Glasewald spk* 109 sq. *τίεσκον | αἰέν· ὃ δ' ἐν v (ἐνὶ AP), τίεσκον | ἔξοχ'· ὃ δ' ἐν h, τίεσκον· | ὃς δ' ἄρ' ἐνὶ k* (vel *αὐτὸς δ' ἐν* vel *αὐτὰρ ὅγ'* vel *ἀλλ' ὅγ' ἐνὶ*) 112 an *ἐύφρονι?* 113 *καὶ οὔδεος Art, διειδέος l*[1], *καὶ εἴδεος Pierson Weichert bspl*[2]*k* 114 *ὁππόσα A, ὁππόσ' V, ὁππόσσ' P, ὁππόσ' ἄρ' tl, ὁππόσα τ' hk* 117 *μακρὸν v, -οῦ k*

ὣς ἔφαν· ἀλλ᾽ οὐ πᾶσι πατὴρ ἐπὶ νόστον ἔνευσε.
τοῖς δέ τις ἐν μέσσοισιν ἐπιστάμενος * *
* * * * οὐ γὰρ ἔτ᾽ αὐτοῖς
δεῖμα πέλεν πολέμοιο δυσηχέος, ἀλλ᾽ ἐπὶ ἔργα
εὐνομίης ἐτράποντο καὶ εὐφροσύνης ἐρατεινῆς.
ὃς δ᾽ ἤτοι πρῶτον μὲν ἐελδομένοισιν ἄειδε,
λαοὶ ὅπως συνάγερθεν ἐς Αὐλίδος ἱερὸν οὖδας,
ἠδ᾽ ὡς Πηλείδαο μέγα σθένος ἀκαμάτοιο
δώδεκα μὲν κατὰ πόντον ἰὼν διέπερσε πόληας,
ἕνδεκα δ᾽ αὖ κατὰ γαῖαν ἀπείριτον, ὅσσά τ᾽ ἔρεξε
Τήλεφον ἀμφὶς ἄνακτα καὶ ὄβριμον Ἠετίωνα,
ὥς τε Κύκνον κατέπεφνεν ὑπέρβιον, ἠδ᾽ ὅσ᾽ Ἀχαιοὶ
μαρνάμενοι κατὰ μῆνιν Ἀχιλλέος ἔργα κάμοντο,
Ἕκτορα θ᾽ ὡς εἴρυσσεν ἑῆς περὶ τείχεα πάτρης,
ὥς θ᾽ ἕλε Πενθεσίλειαν ἀνὰ μόθον, ὥς τ᾽ ἐδάμασσεν
υἱέα Τιθωνοῖο, καὶ ὡς κτάνε καρτερὸς Αἴας
Γλαῦκον ἐυμμελίην, ἠδ᾽ ὡς ἐρικυδέα φῶτα
Εὐρύπυλον κατέπεφνε θοοῦ πάις Αἰακίδαο,
ὥς τε Πάριν δαμάσαντο Φιλοκτήταο βέλεμνα,
ἠδ᾽ ὁπόσοι δολόεντος ἐσήλυθον ἔνδοθεν ἵππου
ἀνέρες, ὥς τε πόληα θεηγενέος Πριάμοιο
πέρσαντες δαίνυντο κακῶν ἀπονόσφι κυδοιμῶν.
ἄλλα δ᾽ ἄρ᾽ ἄλλος ἄειδεν, ὅ τι φρεσὶν ᾗσι μενοίνα.

120 *ἔνευσεν v*, *-σε kP* 121 in h. v. lacunam esse omnes consentiunt, [explent *ἐπιστάμενος κιθαρίζειν* | *μέλπε πολυχρονίοιο μόθου τέλος r*, *ἐπιστ. κιθ.* | *μέλπετο, τοὶ δ᾽ ἀίοντες ἐγήθεον* vel *μέλπετο φορμίζων· τοὶ δ᾽ ἔκλυον t*, plura fortasse interisse censet *k*] 124 *εἰρήνης* st^2 *ἐτρέπ. v*, *ἐτράπ. k* 125 *δή τοι v*, *δ᾽ ἤτοι spk* *ἄειδεν v*, correxi 129 *ἔρεξεν v*, *-ξε k* 131 *ὡς v*, *ὥς τε p*, *ὡς δὲ* l^2k 132 *μετὰ AP*, *κατὰ Vtsplk* 133 *δ᾽ v*, *θ᾽* ex *P ego* 135 *-ρὸν APV*, corr. *r* 138 *ὡς δὲ k* 142 *ἄλλη δ᾽ v*, *ἄλλα δ᾽ ἄρ᾽ k*, *ἄλλη δ᾽ ἄ. ἄλαινεν ὅπῃ h* *ὅ τις P.* hunc versum damnat st^2, uncis circumclus. *l*

ἀλλ' ὅτε δαινυμένοισι μέσον περιτέλλετο νυκτός,
δὴ τότε που δόρποιο καὶ ἀκρήτοιο ποτοῖο
παυσάμενοι Δαναοὶ λαθικηδέα κοῖτον ἕλοντο·
χθιζὸν γὰρ καμάτοιο μένος κατεδάμνατο πάντας·
τῷ καὶ παννύχιοι λελιημένοι εἰλαπινάζειν
παύσανθ', οὕνεκεν ὕπνος ἄδην ἀέκοντας ἔρυκεν·
ἄλλῃ δ' ἄλλος ἴαυεν. ὁ δ' ἐν κλισίῃσιν ἑῇσιν
Ἀτρείδης ὀάριζε μετ' ἠυκόμοιο γυναικός·
οὐ γάρ πω κείνοισιν ἐπ' ὄμμασιν ὕπνος ἔπιπτεν,
ἀλλὰ Κύπρις πεπότητο περὶ φρένας, ὄφρα παλαιοῦ
λέκτρου ἐπιμνήσωνται, ἄχος δ' ἀπονόσφι βάλωνται.
πρώτη δ' αὖθ' Ἑλένη τοῖον ποτὶ μῦθον ἔειπε·
„μή νύ μοι, ὦ Μενέλαε, χόλον ποτιβάλλεο θυμῷ·
οὐ γὰρ ἐγὼν ἐθέλουσα λίπον σέο δῶμα καὶ εὐνήν,
ἀλλά μ' Ἀλεξάνδροιο βίη καὶ Τρώιοι υἷες
σεῦ ἀπονόσφιν ἐόντος ἀνηρείψαντο κιόντες,
καί μ' ἄμοτον μεμαυῖαν ὀιζυρῶς ἀπολέσθαι
ἢ βρόχῳ ἀργαλέῳ ἢ καὶ ξίφεϊ στονόεντι
εἶργον ἐνὶ μεγάροισι παρηγορέοντες ἔπεσσι
σεῦ ἕνεκ' ἀχνυμένην καὶ τηλυγέτοιο θυγατρός·
τῆς νύ σε πρός τε γάμου πολυγηθέος ἠδὲ σεῦ αὐτοῦ
λίσσομαι ἀμφ' ἐμέθεν στυγερῆς λελαθέσθαι ἀνίης."
ὣς φαμένην προσέειπε πύκα φρονέων Μενέλαος·
„μηκέτι νῦν μέμνησ', ἀλλ' ἰσχέμεν ἄλγεα θυμῷ·

144 πότοιο *h*, -οῖο cum *Pego* 145 Δαναοὶ om. *A*, add. *pP*, ὕπνον *r*, πάντες *C*[1]*tlk* 146 -δάπτετο *A*, -δάμνατο *VPtlk* 154 ἔειπεν *v*, -πε *kP* 159 με μεμαυῖαν *AP*, μ' αἰεὶ vel μ' αὖθις vel μ' ἄφνω vel μ' ἴκταρ μ. *r*, με μάλα μ. *p*, με πάρος μ. *sct*, με μέγ' ἐμμεμαυῖαν *k* olim et *l*, μ' ἄμοτον μ. *spk* 166 μήτέ τι *A*, μηκέτι *VV*[3], μὴκέτι *P* ἀλλ' ἴσχομεν *v*, μεμνώμεθ' ἃ ἴσχ. *hy*, ἅσσ' ἴσχ. *Glasewald*, ἅτ' ἐπάσχομεν *b*, ἅλις ἴσχομεν *h*, ἅτ' ἐχέσκομεν *k* olim, ἀλλ' ἰσχέμεν *lk*. de lacuna cogitavere *kh*

ἀλλὰ τὰ μέν που πάντα μέλας δόμος ἐντὸς ἐέργοι
λήθης· οὐ γὰρ ἔοικε κακῶν μεμνῆσθαι ἔτ' ἔργων."
ὣς φάτο· τὴν δ' ἕλε χάρμα, δέος δ' ἐξέσσυτο θυμοῦ.
ἔλπετο γὰρ παύσασθαι ἀνιηροῖο χόλοιο
ὃν πόσιν· ἀμφὶ δέ οἱ βάλε πήχεε, καί σφιν ἅμ' ἄμφω
δάκρυ κατὰ βλεφάροιιν ἐλείβετο ἡδὺ γοώντων.
ἀσπασίως δ' ἄρα τώ γε παρ' ἀλλήλοισι κλιθέντε
σφωιτέρου κατὰ θυμὸν ἀνεμνήσαντο γάμοιο·
ὡς δ' ὅτε που κισσός τε καὶ ἡμερὶς ἀμφιβάλωνται
ἀλλήλοις περὶ πρέμνα, τὰ δ' οὔ ποτε ἲς ἀνέμοιο
σφῶν ἀπονόσφι βαλέσθαι ἐπισθένει· ὣς ἄρα τώ γε
ἀλλήλοις συνέχοντο λιλαιόμενοι φιλότητος.
ἀλλ' ὅτε δὴ καὶ τοῖσιν ἐπήλυθεν ὕπνος ἀπήμων,
δὴ τότ' Ἀχιλλῆος κρατερὸν κῆρ ἰσοθέοιο
ἔστη ὑπερ κεφαλῆς οὗ υἱέος, οἷος ἔην περ
ζωὸς ἐών, ὅτε Τρωσὶν ἄχος πέλε, χάρμα δ' Ἀχαιοῖς.
κύσσε δέ οἱ δειρὴν καὶ φάεα μαρμαίροντα
ἀσπασίως, καὶ τοῖα παρηγορέων προσέειπε·
„χαῖρε, τέκος, καὶ μή τι δαΐζεο πένθεϊ θυμὸν
εἵνεκ' ἐμεῖο θανόντος, ἐπεὶ μακάρεσσι θεοῖσιν
ἤδη ὁμέστιός εἰμι· σὺ δ' ἴσχεο τειρόμενος κῆρ
ἀμφ' ἐμέθεν, καὶ κάρτος ἅδην ἐμὸν ἔνθεο θυμῷ.
αἰεὶ δ' Ἀργείων πρόμος ἵστασο μηδενὶ εἴκων
ἠνορέῃ· ἀγορῇ δὲ παλαιοτέροισι βροτοῖσι
πείθεο· καί νύ σε πάντες ἐύφρονα μυθήσονται.
τῖε δ' ἀμύμονας ἄνδρας, ὅσοις νόος ἔμπεδός ἐστιν·

167 ἐέργει *v*, -οι *VP(r)spk* 171 δέ μιν *v*, δέ οἱ ex *Pego* μιν ἀπ' ἄμφω *AP*, σφιν ἀπ' ἀμφοῖν *r*, σφιν ἄρ' ἀ. *pt*, σφιν ἅμ' ἀ. *hspl*, σφιν ἅμ' ἄμφω *Meineke k* 172 βλεφάρων ἠλείβ. *v*, -οιιν ἐλ. *st*^{1}*sp Meineke lk* 176 ἀλλήλους *pk*^{1} 178 -έχυντο *APl*^{1}, -έχοντο *E*^{1}*rtl*^{2}*k* 181 φίλου υἱέος ci. *k* 184 -έειπεν *v*, -έειπε *kP* 188 κ. ἀρήιον *l*

ἐσθλῷ γὰρ φίλος ἐσθλὸς ἀνήρ, χαλεπῷ δ' ἀλεγεινός.
ἢν δ' ἀγαθὰ φρονέῃς, ἀγαθῶν καὶ τεύξεαι ἔργων·
κεῖνος δ' οὔ ποτ' ἀνὴρ Ἀρετῆς ἐπὶ τέρμαθ' ἵκανεν,
ᾧ τινι μὴ νόος ἐστὶν ἐναίσιμος· οὕνεκ' ἄρ' αὐτῆς
πρέμνον δύσβατόν ἐστι, μακρὸν δέ οἱ ἄχρις ἐπ' αἴθρην
ὄζοι ἀνηέξηνθ'· ὁπόσοισι δὲ κάρτος ὀπηδεῖ
καὶ πόνος, ἐκ καμάτου πολυγηθέα καρπὸν ἀμῶνται
εἰς Ἀρετῆς ἀναβάντες ἐυστεφάνου κλυτὸν ἔρνος.
ἀλλ' ἄγε, κύδιμος ἔσσο, καὶ ἐν φρεσὶ πευκαλίμῃσι
μήτ' ἐπὶ πήματι πάγχυ δαΐζεο θυμὸν ἀνίῃ,
μήτ' ἐσθλῷ μέγα χαῖρε· νόος δέ τοι ἤπιος ἔστω
ἔς τε φίλους ἑτάρους ἔς θ' υἱέας ἔς τε γυναῖκα
μνωομένῳ κατὰ θυμόν, ὅτι σχεδὸν ἀνθρώποισιν
οὐλομένοιο Μόροιο πύλαι καὶ δώματα νεκρῶν·
ἀνδρῶν γὰρ γένος ἐστὶν ὁμοίιον ἄνθεσι ποίης,
ἄνθεσιν εἰαρινοῖσι· τὰ μὲν φθινύθει, τὰ δ' ἀέξει·
τοὔνεκα μείλιχος ἔσσο. καὶ Ἀργείοισιν ἔνισπε,
Ἀτρείδῃ δὲ μάλιστ' Ἀγαμέμνονι, εἴ γέ τι θυμῷ
μέμνηνθ', ὅσσ' ἐμόγησα περὶ Πριάμοιο πόληα,
ἠδ' ὅσα ληισάμην, πρὶν Τρώιον οὖδας ἱκέσθαι,
τῷ μοι νῦν ποτὶ τύμβον ἐελδομένῳ περ ἀγόντων
ληίδος ἐκ Πριάμοιο Πολυξείνην εὔπεπλον,
ὄφρα θοῶς ῥέξωσιν, ἐπεί σφισι χώομαι ἔμπης
μᾶλλον ἔτ' ἢ τὸ πάρος Βρισηίδος· ἀμφὶ δ' ἄρ' οἶδμα

194 ἀγαθὸν *v*, -θὰ ex *P ego* τεύχεαι *A*, -ξεαι *rtlkP*, τεύξῃ ἑταίρων *k* olim 195 αἰνὸς *AP*, κεῖνος *ptlk* 197 μακροὶ *v*, -ὸν *Vk* αἴθρῃ *AP*, -ην em. *r* 198 ἀπηέξηθ' *AP*, -ηνθ' *Vrtl* (vel ἀπηέξηθεν, ὅσοισι *r*), ἀνηέξηνθ' *k* 204 γυναῖκας *v*, -ας̈ et α superscr. *P*, -α *ego* 213 κατὰ θυμὸν ἐελδ. περὶ πάντων *v* et sic *st*[1]*kh* lacunae signis post v. 214 positis [velut τύμβον ἐπ' εὐρώεντα γέρας περικαλλὲς ἄροιντο], ποτὶ τύμβον ἐελδ. περ ἀγόντων *ego*

κινήσω πόντοιο, βαλῶ δ' ἐπὶ χείματι χεῖμα,
ὄφρα καταφθινύθοντες ἀτασθαλίῃσιν ἑῇσι
μίμνωσ' ἐνθάδε πολλὸν ἐπὶ χρόνον, εἰς ὅ κ' ἔμοιγε
λοιβὰς ἀμφιχέωνται ἐελδόμενοι μέγα νόστον·
αὐτὴν δ', εἴ κ' ἐθέλωσιν, ἐπὴν ἀπὸ θυμὸν ἕλωνται,
κούρην ταρχύσασθαι ἀπόπροθεν οὔ τι μεγαίρω."
ὣς εἰπὼν ἀπόρουσε θοῇ ἐναλίγκιος αὔρῃ·
αἶψα δ' ἐς Ἠλύσιον πεδίον κίεν, ἧχι τέτυκται
οὐρανοῦ ἐξ ὑπάτοιο καταιβασίη τ' ἄνοδός τε
ἀθανάτοις μακάρεσσιν. ὁ δ', ὁππότε μιν λίπεν ὕπνος,
μνήσατο πατρὸς ἑοῖο· νόος δέ οἱ ἠὺς ἰάνθη.
ἀλλ' ὅτ' ἐς οὐρανὸν εὐρὺν ἀνήιεν Ἠριγένεια
νύκτα διασκεδάσασα, φάνη δ' ἄρα γαῖα καὶ αἰθήρ,
δὴ τότ' Ἀχαιῶν υἷες ἀπὲκ λεχέων ἀνόρουσαν
ἱέμενοι νόστοιο· νέας δ' ἐς βένθεα πόντου
εἷλκον καγχαλόωντες ἀνὰ φρένας, εἰ μὴ ἄρ' αὐτοὺς
ἐσσυμένους κατέρυκεν Ἀχιλλέος ὄβριμος υἱός,
εἰς ἀγορήν τ' ἐκάλεσσε καὶ ἔκφατο πατρὸς ἐφετμήν·
„κέκλυτέ μευ, φίλα τέκνα μενεπτολέμων Ἀργείων,
πατρὸς ἐφημοσύνην ἐρικυδέος, ἥν μοι ἔνισπε
χθιζὸς ἐνὶ λεχέεσσι διὰ κνέφας ὑπνώοντι·
φῆ γὰρ ἀειγενέεσσι μετέμμεναι ἀθανάτοισιν
ἠνώγει δ' ὑμέας τε καὶ Ἀτρείδην βασιλῆα,
ὄφρά οἱ ἐκ πολέμοιο γέρας περικαλλὲς ἄγοιτε
τύμβον ἐπ' εὐρώεντα Πολυξείνην εὔπεπλον·
καί μιν ἔφη ῥέξαντας ἀπόπροθι ταρχύσασθαι·

221 εἴ κε θέλ. v, εἴ κ' ἐθ. gspk 224 κίεν om. AP, add. r 225 τ' om. AP, add. r 229 -σασ' ἐφάνη v, -σασα φάνη k 230 ἀπ' ἐκ v, ἀπὲκ lk, ἀν' ἐκ st[1] 234 τε κάλ. v, τ' ἐκάλ. k[1] in praef. k[2] 237 χθιζὸν AP, -ὸς (r)tlk 240 ἄροιτε v, ἄροισθε k, ἄγοιτε ego

εἰ δέ οἱ οὐκ ἀλέγοντες ἐπιπλώοιτε θάλασσαν,
ἠπείλει κατὰ πόντον ἐναντία κύματ' ἀείρας
λαὸν ὁμῶς νήεσσι πολὺν χρόνον ἐνθάδ' ἐρύξειν.“
ὣς φαμένου πείθοντο, καὶ ὡς θεῷ εὐχετόωντο·
καὶ γὰρ δὴ κατὰ βένθος ἀέξετο κῦμα θυέλλῃ
εὐρύτερον καὶ μᾶλλον ἐπήτριμον, ἢ πάρος ἦεν,
μαινομένου ἀνέμοιο· μέγας δ' ὀροθύνετο πόντος
χερσὶ Ποσειδάωνος· ὁ γὰρ κρατερῷ Ἀχιλῆι
ἦρα φέρεν· πᾶσαι δὲ θοῶς ἐνόρουσαν ἄελλαι
ἐς πέλαγος. Δαναοὶ δὲ μέγ' εὐχόμενοι Ἀχιλῆι
πάντες ὁμῶς μάλα τοῖα πρὸς ἀλλήλους ὀάριζον·
„ἀτρεκέως γενεὴ μεγάλου Διὸς ἦεν Ἀχιλλεύς·
τῶ καὶ νῦν θεός ἐστι, καὶ εἰ πάρος ἔσκε μεθ' ἡμῖν·
οὐ γὰρ ἀμαλδύνει μακάρων γένος ἄμβροτος αἰών.“
ὣς φάμενοι ποτὶ τύμβον Ἀχιλλέος ἀπονέοντο·
τὴν δ' ἄγον, ἠύτε πόρτιν ἐς ἀθανάτοιο θυηλὰς
μητρὸς ἀπειρύσσαντες ἐνὶ ξυλόχοισι βοτῆρες,
ἡ δ' ἄρα μακρὰ βοῶσα κινύρεται ἀχνυμένη κῆρ·
ὣς τῆμος Πριάμοιο πάις περικωκύεσκε
δυσμενέων ἐν χερσίν· ἄδην δέ οἱ ἔκχυτο δάκρυ·
ὡς δ' ὁπότε βριαρῷ ὑπὸ χέρματι καρπὸς ἐλαίης
οὔ πω χειμερίῃσι μελαινόμενος ψεκάδεσσι
χεύῃ πολλὸν ἄλειφα, περιτρίζωσι δὲ μακρὰ
ἄρμεν' ὑπὸ σπάρτοισι βιαζομένων αἰζηῶν·
ὣς ἄρα καὶ Πριάμοιο πολυτλήτοιο θυγατρὸς
ἑλκομένης ποτὶ τύμβον ἀμειλίκτου Ἀχιλῆος

246 φαμένοιο *P*. an φ. πίθοντο? φαμένου πεπίθοντο? 254 γενεῇ *A*, -ή *E*¹*Pr* 258 θάνατον *AE*¹*P*, ἀθανάτοιο em. *r* 262 ἐν om. *A* χείρεσσιν *AP*, em. *r* 263 χείματι *v*, χέρμ. *klsp* 265 -τρύζ. *v*, -τρίζ. *st*¹*ksp* 266 ἄρμον *E*¹, ἅρμον' *P* ἐπὶ *p*

αἰνὸν ὁμῶς στοναχῇσι κατὰ βλεφάρων ῥέε δάκρυ,
καί οἱ κόλπος ἔνερθεν ἐπλήθετο· δεύετο δὲ χρὼς
ἀτρεκέως ἀτάλαντος ἐυκτεάνῳ ἐλέφαντι.
καὶ τότε λευγαλέοις ἐπὶ πένθεσι κύντερον ἄλγος
τλήμονος ἐς κραδίην Ἑκάβης πέσεν· ἐν δέ οἱ ἦτορ
μνήσατ' ὀιζυροῖο καὶ ἀλγινόεντος ὀνείρου,
τόν ῥ' ἴδεν ὑπνώουσα παροιχομένῃ ἐνὶ νυκτί·
ἦ γὰρ ὀίετο τύμβον ἐπ' ἀντιθέου Ἀχιλῆος
ἑστάμεναι γοόωσα, κόμαι δέ οἱ ἄχρις ἐπ' οὖδας
ἐκ κεφαλῆς ἐκέχυντο, καὶ ἀμφοτέρων ἀπὸ μαζῶν
ἔρρεε φοίνιον αἷμα ποτὶ χθόνα, δεῦε δὲ σῆμα·
τοῦ πέρι δειμαίνουσα καὶ ὀσσομένη μέγα πῆμα
οἰκτρὸν ἀνοιμώζεσκε, γόῳ δ' ἐπὶ μακρὸν ἀύτει·
εὖτε κύων προπάροιθε κινυρομένη μεγάροιο
μακρὸν ὑλαγμὸν ἵησι νέον σπαργῶσα γάλακτι,
τῆς ἄπο νήπια τέκνα, πάρος φάος εἰσοράασθαι,
νόσφι βάλωσιν ἄνακτες ἕλωρ ἔμεν οἰωνοῖσιν,
ἡ δ' ὁτὲ μέν θ' ὑλακῇσι κινύρεται, ἄλλοτε δ' αὖτε
ὠρυθμῷ, στυγερὴ δὲ δι' ἠέρος ἔσσυτ' ἀυτή·
ὣς Ἑκάβη γοόωσα μέγ' ἴαχεν ἀμφὶ θυγατρί·
„ὤ μοι ἐγώ, τί νυ πρῶτα, τί δ' ὕστατον ἀχνυμένη κῆρ
κωκύσω πολέεσσι περιπλήθουσα κακοῖσιν,
υἱέας ἢ πόσιν αἰνὰ καὶ οὐκ ἐπίελπτα παθόντας
ἢ πόλιν ἠὲ θύγατρας ἀεικέας ἢ ἐμὸν αὐτῆς
ἦμαρ ἀναγκαῖον καὶ δούλιον; οὕνεκα Κῆρες

281 *ἀνωλύζεσκε AP*, *ἄνω λ. st*[1], *ἀνῳμώζ. spl* (vel *ἀνιύζ.* vel *ἀνατρίζ. sp*), *ἀνοιμώζ. k* 283 *ἵησιν*, *ἓν A*, *ἵ. ἕον P*, em. *r*. *σπαργεῦσα v*, haud scio an recte; *σπαργῶσα spl*, *σφαραγεῦσα spk* 289 *πρῶτον ἠδ' A*, *πρ. ἤδ' P*, *πρ. ἰδ' C*[1]*rtl*, *πρῶτα, τί δ' dk*, *πρῶτον ἢ p* 292 *ἠδὲ* et *ἠδ' v*, *ἧδε* et *ἥδ' P*, *ἠὲ* et *ἢ blk*. *ἀδευκέας v*, *ἀκηδέας h*, *ἀεικ. k* 293 *ἢ AP*, *τί δὲ VE*[1], *καὶ* em. *r*

σμερδαλέαι πολέεσσί μ' ἐνειλήσαντο κακοῖσι.
τέκνον ἐμόν, σοὶ δ' αἰνὰ καὶ οὐκ ἐπίελπτα καὶ αὐτῇ
ἄλγε' ἐπεκλώσαντο· γάμου δ' ἀπονόσφι βάλοντο
ἐγγὺς ἐόνθ' Ὑμέναιον, ἐπεκρήναντο δ' ὄλεθρον
ἄσχετον ἀργαλέον τε καὶ οὐ φατόν· ἦ γὰρ Ἀχιλλεὺς
καὶ νέκυς ἡμετέρῳ ἔτ' ἰαίνεται αἵματι θυμόν·
ὥς μ' ὄφελον μετὰ σεῖο, φίλον τέκος, ἤματι τῷδε
γαῖα χανοῦσα κάλυψε, πάρος σέο πότμον ἰδέσθαι."
ὣς φαμένης ἄλληκτα κατὰ βλεφάρων ἐχέοντο
δάκρυα· λευγαλέον γὰρ ἔχεν μετὰ πένθεσι πένθος.
οἱ δ' ὅτ' ἔβαν ποτὶ τύμβον Ἀχιλλῆος ζαθέοιο,
δὴ τότε οἱ φίλος υἱὸς ἐρυσσάμενος θοὸν ἄορ
σκαιῇ μὲν κούρην κατερήτυε, δεξιτερῇ δὲ
τύμβῳ ἐπιψαύων τοῖον ποτὶ μῦθον ἔειπε·
„κλῦθι, πάτερ, σέο παιδὸς ἐπευχομένοιο καὶ ἄλλων
Ἀργείων, μηδ' ἥμιν ἔτ' ἀργαλέως χαλέπαινε·
ἤδη γάρ τοι πάντα τελέσσομεν, ὅσσα μενοινᾷς
σῇσιν ἐνὶ πραπίδεσσι· σὺ δ' ἵλαος ἄμμι γένοιο,
τεύξας εὐχομένοισι θοῶς θυμηδέα νόστον."
ὣς εἰπὼν κούρης διὰ λοίγιον ἤλασεν ἄορ
λευκανίης· τὴν δ' αἶψα λίπεν πολυήρατος αἰὼν
οἰκτρὸν ἀνοιμώξασαν ἐφ' ὑστατίῃ βιότοιο·
καί ῥ' ἡ μὲν πρηνὴς χαμάδις πέσε· τῆς δ' ὑπὸ δειρῇ
φοινίχθη περὶ πάντα, χιὼν ὥς, ἥ τ' ἐν ὄρεσσιν
ἢ συὸς ἢ ἄρκτοιο κατουταμένης ὑπ' ἄκοντι

295 τ' v, δ' k 299 ἐνὶ μαίνεται v, πιμαίν. st^1, ἔτ' ἰαίν. lssplk 302 βλεφάρων χεύοντο v, -οιιν ἐέχυντο lslk, -ων ἐχέοντο k olim et sp 303 μέγα πένθεϊ AEP, μετὰ π. rtl, μ. πένθεσι k 307 τύμβον rtl 309 ἦμιν v, ἧμιν P, ἄμμιν k^2 311 ἐπὶ v, ἐνὶ spk 316 δειρὴ APtl, -ῇ k 317 πάντων A, πάντα E^1Prtlk, πᾶσα rdp

αἵματι πορφυρόεντι θοῶς ἐρυθαίνεθ' ὕπερθεν.
Ἀργεῖοι δέ μιν αἶψα δόσαν ποτὶ ἄστυ φέρεσθαι
ἐς δόμον ἀντιθέου Ἀντήνορος, οὕνεκ' ἄρ' αὐτὴν
κεῖνος ἐνὶ Τρώεσσιν ἑῷ πάρος υἱέι δίῳ
Εὐρυμάχῳ ἀτίταλλεν ἐνὶ μεγάροισιν ἄκοιτιν.
ὃς δ' ἐπεὶ οὖν τάρχυσε κλυτὴν Πριάμοιο θύγατρα
ἐγγὺς ἑοῖο δόμοιο παραὶ Γανυμήδεος ἱρῷ
σήματι καὶ νηοῖο καταντίον Ἀτρυτώνης,
δὴ τότε παύσατο κῦμα, κατευνήθη δὲ θύελλα
σμερδαλέη, καὶ χεῦμα κατεπρήυνε γαλήνη.
οἱ δὲ θοῶς ἐπὶ νῆας ἔβαν μέγα καγχαλόωντες,
μέλποντες μακάρων ἱερὸν γένος ἠδ' Ἀχιλῆα.
αἶψα δὲ δαῖτ' ἐπάσαντο βοῶν ἀπὸ μῆρα ταμόντες
ἀθανάτοις· ἐρατὴ δὲ θυηπολίη πέλε πάντῃ·
οἱ δέ που ἀργυρέοισι καὶ ἐν χρυσέοισι κυπέλλοις
πῖνον ἀφυσσάμενοι λαρὸν μέθυ· γήθεε δέ σφι
θυμὸς ἐελδομένων σφετέρην ἐπὶ γαῖαν ἱκέσθαι.
ἀλλ' ὅτε δὴ δόρποιο καὶ εἰλαπίνης κορέσαντο,
δὴ τότε Νηλέος υἱὸς ἐελδομένοισιν ἔειπε·
„κλῦτε, φίλοι, πολέμοιο μακρὴν προφυγόντες ὁμοκλήν,
ὄφρα λιλαιομένοισιν ἔπος θυμῆρες ἐνίσπω·
ἤδη γὰρ νόστοιο πέλει θυμηδέος ὥρη·
ἀλλ' ἴομεν· δὴ γάρ που Ἀχιλλέος ὄβριμον ἦτορ
παύσατ' ὀιζυροῖο χόλου, κατέρυξε δὲ κῦμα
ὄβριμον Ἐννοσίγαιος, ἐπιπνείουσι δ' ἀῆται

319 *φύροντι AP*, *πορφύροντι tl*, *πορφυρόεντι rk*
325 sq. *ἱρὸν* | *δώματα AP* et sic *k* lacunae signis post v. 325 positis, *ἱρὰ* | *δώματα rtl*, *ἱρὸν* | *δῶμα, τὸ h*, *ἱρῷ* | *σήματι ego*
328 *κῦμα AP*, *οἶδμα pt*, *χεῦμα kl* 331 *μηρὰ v*, *μῆρα* k^2
333 *ἐν χρ. καὶ ἀργ. κυπ.* ci. *k* 337 *ἔειπεν v*, *-πε* k^2
338 *φυγόντες A*, *φεύγοντες* C^1*Ptl*, *προφυγόντες* (*r*)*dk*
339 *θυμηδες P*

μείλιχοι, οὐδ' ἔτι κῦμα κορύσσεται· ἀλλ' ἄγε νῆας
εἰς ἁλὸς οἶδμ' ἐρύσαντες ἀναμνησώμεθα νόστον."
ὣς φάτ' ἐελδομένοις· οἱ δ' ἐς πλόον ἐντύνοντο.
ἔνθα τέρας θηητὸν ἐπιχθονίοισι φαάνθη,
οὕνεκα δὴ Πριάμοιο δάμαρ πολυδακρύτοιο
ἐκ βροτοῦ ἀλγινόεσσα κύων γένετ'· ἀμφὶ δὲ λαοὶ
θάμβεον ἀγρόμενοι· τῆς δ' ἄψεα λάινα πάντα
θῆκε θεός, μέγα θαῦμα καὶ ἐσσομένοισι βροτοῖσι·
καὶ τὴν μὲν Κάλχαντος ὑπ' ἐννεσίῃσιν Ἀχαιοὶ
νηὸς ἐπ' ὠκυπόροιο πέραν θέσαν Ἑλλησπόντου.
καρπαλίμως δ' ἄρα νῆας ἔσω ἁλὸς εἰρύσσαντες
κτήματα πάντ' ἐβάλονθ', ὁπόσ' Ἴλιον εἰσανιόντες
ληίσσαντο πάροιθε περικτίονας δαμάσαντες,
ἠδ' ὁπόσ' ἐξ αὐτῆς ἄγον Ἰλίου, οἷσι μάλιστα
γήθεον, οὕνεκ' ἔσαν μάλα μυρία· τοῖς δ' ἅμα πολλαὶ
ληιάδες συνέποντο μάλ' ἀχνύμεναι κατὰ θυμόν·
αὐτοὶ δ' ἐντὸς ἵκοντο νεῶν. ἀλλ' οὔ σφισι Κάλχας
ἕσπετ' ἐπειγομένοισιν ἔσω ἁλός, ἀλλὰ καὶ ἄλλους
Ἀργείους κατέρυκε· Καφηρίσι γὰρ περὶ πέτρῃς
δείδιεν αἰνὸν ὄλεθρον ἐπεσσύμενον Δαναοῖσιν.
οἱ δέ οἱ οὔ τι πίθοντο· παρήπαφε γὰρ νόον ἀνδρῶν
Αἶσα κακή· μοῦνος δὲ θεοπροπίας εὖ εἰδὼς
Ἀμφίλοχος, θοὸς υἱὸς ἀμύμονος Ἀμφιαράου,
μίμνεν ὁμῶς Κάλχαντι περίφρονι· τοῖσι γὰρ ἦεν
αἴσιμον ἀμφοτέροισιν ἑῆς ἀποτηλόθι γαίης
Παμφύλων Κιλίκων τε ποτὶ πτολίεθρα νέεσθαι.
ἀλλὰ τὰ μὲν μετόπισθε θεοὶ θέσαν· αὐτὰρ Ἀχαιοὶ
νηῶν πείσματ' ἔλυσαν ἀπὸ χθονὸς ἠδὲ καὶ εὐνὰς

344 οὐδέ τι *v*, οὐδ' ἔτι *spkP* 346 -όμενος *AP*, -ομένοις *C*[1]*r* 358 δ' om. *AP*, add. *p* 359 -έχοντο *AP*, -έποντο em. *r* 362 πέτραις *v*, -ῃς *k* 364 οὐ πεπίθοντο?

ἐσσυμένως ἀνάειραν· ἐπίαχε δ' Ἑλλήσποντος
σπερχομένων· νῆες δὲ περικλύζοντο θαλάσσῃ·
ἀμφὶ δ' ἄρά σφισι πολλὰ περὶ πρώρῃσιν ἔκειντο
ἔντε' ἀποκταμένων· καθύπερθε δὲ σήματα νίκης
μυρί' ἀπῃώρηντο· κατεστέψαντο δὲ νῆας
καὶ κεφαλὰς καὶ δοῦρα καὶ ἀσπίδας, οἷσι μάχοντο
ἀντία δυσμενέων· ἀπὸ δὲ πρώρηθεν ἄνακτες
εἰς ἅλα κυανέην λεῖβον μέθυ πολλὰ θεοῖσιν
εὐχόμενοι μακάρεσσιν ἀκηδέα νόστον ὀπάσσαι·
εὐχωλαὶ δ' ἀνέμοισι μίγεν καὶ ἀπόπροθι νηῶν
μαψιδίως νεφέεσσι καὶ ἠέρι συμφορέοντο.
  αἳ δ' ἄρα παπταίνεσκον ἐς Ἴλιον ἀχνύμεναι κῆρ
ληιάδες, καὶ πολλὰ κινυρόμεναι γοάασκον
κρύβδην Ἀργείων μέγ' ἐνὶ φρεσὶ πένθος ἔχουσαι·
καί ῥ' αἳ μὲν περὶ γούνατ' ἔχον χέρας, αἳ δὲ μέτωπα
χερσὶν ἐπηρείδοντο δυσάμμοροι· αἳ δ' ἄρα τέκνα 386a
ἄμφεχον ἀγκοίνῃσι· τὰ δ' οὔ πω δούλιον ἦμαρ
ἔστενον οὐδὲ πάτρης ἐπὶ πήμασιν, ἀλλ' ἐπὶ μαζῷ
θυμὸν ἔχον· κηδέων γὰρ ἀπόπροθι νήπιον ἦτορ.
πάσῃσιν δ' ἐλέλυντο κόμαι καὶ στήθεα λυγρὰ
ἀμφ' ὀνύχεσσι δέδρυπτο· παρειῇσιν δ' ἐπὶ δάκρυ
αὐαλέον περίκειτο, κατείβετο δ' ἄλλ' ἐφύπερθε
πυκνὸν ἀπὸ βλεφάρων· δέρκοντο δὲ τλήμονα πάτρην

374 ἔκειτο *VP* 377 ἧσι *v*, οἷσι *rk* 381 εὐχόμενοι *AP*, εὐχωλαὶ em. *r Canter* 386 sq. δὲ μέτωπα | ἄμπεχον *A*, δὲ τὰ τέκνα | ἀ. *rhyt*, δέ τε τέκνα *sp* olim, δ' ἑὰ τ. | ἀ. *l*, lacunam esse post ἀγκοίνῃσι suspicatus est *p*, post μέτωπα *t* et sic probantibus *spl* lacunae signa pos. *k* [velut χερσὶν ἐνηρείσαντο δυσάμμοροι·] quam sequi iussit αἳ δ' ἑὰ τέκνα | ἄμφεχον. versum 386^a ex *P* addidi (ἄμπεχον *P*) 387 οὔποθ' ὑπὸ *AP*, οὔπω em. *r* 388 ἔστενεν *v*, -ον k^2 οὔτε *v*, οὐδὲ *k* 389 -θε νήπ. *v*, -θεν ἤπ. *P*, -θι ν. *spk* 390 λυγρὸν k^1 (vel -οῖς), sed -ὰ in praef. et k^2 391 ἔτι *P* 392 περιχεῖτο st^1

αἰθομένην ἔτι πάγχυ, πολὺν δ' ἀνὰ καπνὸν ἰόντα·
ἀμφὶ δὲ Κασσάνδρην ἐρικυδέα πaπταίνουσαι
πᾶσαί μιν θηεῦντο θεοπροπίης ἀλεγεινῆς
μνωόμεναι· ἡ δέ σφιν ἐπεγγελάασκε γοώσαις,
καί περ ἀκηχεμένη στυγεροῖς ἐπὶ πήμασι πάτρης.
Τρώων δ' ὅσσοι ἄλυξαν ἀνηλέος ἐκ πολέμοιο,
ἀγρόμενοι κατὰ ἄστυ περὶ νέκυας πονέοντο
θαπτέμεναι μεμαῶτες· ἄγεν δ' ἀλεγεινὸν ἐς ἔργον
Ἀντήνωρ· αὐτὴν δὲ πυρὴν πολέεσσι τίθεντο.
Ἀργεῖοι δ' ἄλληκτον ἐνὶ φρεσὶ καγχαλόωντες
ἄλλοτε μὲν κώπῃσι διέπρησσον μέλαν ὕδωρ,
ἄλλοτε δ' ἱστία νηυσὶ μεμαότες ἐντύνοντο
ἐσσυμένως· ὀπίσω δὲ θοῶς ἀπελείπετο πᾶσα
Δαρδανίη καὶ τύμβος Ἀχιλλέος· οἳ δ' ἀνὰ θυμὸν
καί περ ἰαινόμενοι κταμένων μνησθέντες ἑταίρων
ἀργαλέως ἀκάχοντο καὶ ἀλλοδαπῶν ἐπὶ γαῖαν
ὅσσε βάλονθ'· ἡ δέ σφιν ἐφαίνετο τηλόθι νηῶν
χαζομένη. τοὶ δ' αἶψα παρ' ἀγχιάλοιο φέροντο
ῥηγμῖνας Τενέδοιο· παρημείβοντο δὲ Χρῦσαν
καὶ Φοίβου Σμινθῆος ἕδος ζαθέοιό τε Κίλλης·
Λέσβος δ' ἠνεμόεσσ' ἀνεφαίνετο· κάμπτετο δ' ἄκρη
ἐσσυμένως Λεκτοῖο, τόθι ῥίον ὕστατον Ἴδης.
λαίφεα δὲ πρησθέντα περίαχεν· ἀμφὶ δὲ πρώραις
ἔβραχεν οἶδμα κελαινόν· ἐπεσκιόωντο δὲ μακρὰ
κύματα· λευκαίνοντο δ' ὑπὲρ πόντοιο κέλευθοι.

394 *ἐπὶ A*, *ἐπεὶ P*, *ἔπι hy* (vel *ἐπὶ πάντα*), *ἔτι tkst*[2] (*περὶ st*[2] olim) 395 *περικυδ. v*, *ἐρικυδ.* ex *P ego* 398 *στυγερῆς v*, *-οῖς spk* 402 *αὐτοὶ v*, *-ὴν k*, *παῦροι bspl* 409 sq. *ἐπὶ γ.* | *εἰσέβαλον A* et sic *h* auctore lacunae signis post v. 409 positis *k*, *ἐ. γ.* | *ὅσσε βάλον tlP* (*βάλων* et o superscr. *P*), *βάλονθ' ego*, *ἐ. γ.* | *ἐσσαμένων* ci. *h*, *ὑπὸ γ.* | *δυσαμένων ego* conieci 418 *ὑγραὶ πόντ.* ci. *sp*

καί νύ κεν Ἀργεῖοι κίον Ἑλλάδος ἱερὸν οὖδας
πάντες ἁλὸς κατὰ βένθος ἀκηδέες, εἰ μὴ ἄρά σφι
κούρη ἐριγδούποιο Διὸς νεμέσησεν Ἀθήνη·
καί ῥ᾽ ὁπότ᾽ Εὐβοίης σχεδὸν ἤλυθον ἠνεμοέσσης,
δὴ τότε μητιόωσα βαρὺν καὶ ἀνηλέα πότμον
ἀμφὶ Λοκρῶν βασιλῆι καὶ ἄσχετον ἀσχαλόωσα
Ζηνὶ θεῶν μεδέοντι παρισταμένη φάτο μῦθον
ἀθανάτων ἀπάνευθε· χόλον δέ οἱ οὐ χάδε θυμός·
„Ζεῦ πάτερ, οὐκέτ᾽ ἀνεκτὰ θεοῖς ἐπιμηχανόωνται
ἀνέρες οὐκ ἀλέγοντες ἀνὰ φρένας οὔτε σεῦ αὐτοῦ
οὔτ᾽ ἄλλων μακάρων, ἐπεὶ ἦ τίσις οὐκέτ᾽ ὀπηδεῖ
ἀνδράσι λευγαλέοισι, κακοῦ δ᾽ ἄρα πολλάκις ἐσθλὸς
συμφέρετ᾽ ἄλγεσι μᾶλλον, ἔχει δ᾽ ἄλληκτον ὀιζύν·
τοὔνεκ᾽ ἄρ᾽ οὔτε δίκην τις ἔθ᾽ ἅζεται, οὐδέ τις αἰδὼς
ἔστι παρ᾽ ἀνθρώποισιν· ἔγωγε μὲν οὔτ᾽ ἐν Ὀλύμπῳ
ἔσσομαι, οὔτ᾽ ἔτι σεῖο κεκλήσομαι, εἰ μὴ Ἀχαιῶν
τίσομ᾽ ἀτασθαλίην, ἐπεὶ ἦ νύ μοι ἔνδοθι νηοῦ
υἱὸς Ὀιλῆος μέγ᾽ ἐνήλιτεν, οὐδ᾽ ἐλέαιρε
Κασσάνδρην ὀρέγουσαν ἀκηδέας εἰς ἐμὲ χεῖρας
πολλάκις, οὐδ᾽ ἔδδεισεν ἐμὸν μένος, οὐδέ τι θυμῷ
ᾐδέσατ᾽ ἀθανάτην, ἀλλ᾽ ἄσχετον ἔργον ἔρεξε.
τῷ νύ μοι ἀμβροσίῃσι περὶ φρεσὶ μή τι μεγήρῃς
ῥέξαι, ὅπως μοι θυμὸς ἐέλδεται, ὄφρα καὶ ἄλλοι
αἴζηοὶ τρομέωσι θεῶν ἀρίδηλον ὁμοκλήν.“

424 *Λοκρῶν* om. *A*, add. *VE*[1]*r*, *χόλων P* 428 *κατὰ A*, *κατα P*, *ἀνὰ C*[1]*r* (vel *οὐδ᾽ ἀλέγουσι κατὰ r*) 435 *ἔνδοθεν ἦτορ AP* et sic sequente versu *πολλὰ μάλ᾽ ἄχνυται, οὕνεκ᾽ ἐν ἀφραδίῃσι πιθήσας C*[1], *ἔνδοθι νηοῦ ptl*, *ἔνδοθεν ἦτορ* retinuit et lacunae signa post h. v. pos. *k* [velut *μαίνεται ἐν στέρνοισιν*] quam sequi iussit *ἐπεί ῥά μοι ἔνδοθι νηοῦ* 436 *-ρεν v*, *-ρε k* 438 *οὐδὲ ἔδεισεν A*, *οὐδὶ ἔδ. E*[1], *οὐδ᾽ ἔδδεισεν C*[1]*Prhtl* (vel *οὐδ᾽ ἄρ᾽* vel *οὐδέ τ᾽ ἔδ. r*), *οὐδ᾽ ὅγ᾽ ἔδ. k* *γένος A*, *μένος rtlkP* 439 *ἄσπετον hw* *-ξεν v*, *-ξε k*

ὣς φαμένην προσέειπε πατὴρ ἀγανοῖς ἐπέεσσιν·
„ὦ τέκος, οὔ τι ἔγωγ' ἀνθίσταμαι εἵνεκ' Ἀχαιῶν,
ἀλλὰ καὶ ἔντεα πάντα, τά μοι πάρος ἦρα φέροντες
χερσὶν ὑπ' ἀκαμάτησιν ἐτεκτήναντο Κύκλωπες,
δώσω ἐελδομένῃ· σὺ δὲ σῷ κρατερόφρονι θυμῷ
αὐτὴ χεῖμ' ἀλεγεινὸν ἐπ' Ἀργείοισιν ὄρινον."
ὣς εἰπὼν στεροπήν τε θοὴν ὀλοόν τε κεραυνὸν
καὶ βροντὴν στονόεσσαν ἀταρβέος ἀγχόθι κούρης
θήκατο· τῆς δ' ἄρα θυμὸς ὑπὸ κραδίῃ μέγ' ἰάνθη.
αὐτίκα δ' αἰγίδα θοῦριν ἐδύσατο παμφανόωσαν,
ἄρρηκτον βριαρήν τε, καὶ ἀθανάτοισιν ἀγητήν·
ἐν γάρ οἱ πεπόνητο κάρη βλοσυροῖο Μεδούσης
σμερδαλέον· κρατεροὶ δὲ καὶ ἀκαμάτου πυρὸς ὁρμὴν
λάβρον ἀποπνείοντες ἔσαν καθύπερθε δράκοντες·
ἔβραχε δ' αἰγὶς ἅπασα περὶ στήθεσσιν ἀνάσσης,
οἷον ὅτε στεροπῇσιν ἐπιβρέμει ἄσπετος αἰθήρ.
λάζετο δ' ἔντεα πατρός, ἅ περ θεὸς οὔ τις ἀείρει
νόσφι Διὸς μεγάλοιο· τίναξε δὲ μακρὸν Ὄλυμπον·
σὺν δ' ἔχεεν νεφέλας τε καὶ ἠέρα πᾶσαν ὕπερθε·
νὺξ δ' ἐχύθη περὶ γαῖαν, ἐπήχλυσεν δὲ θάλασσα·
Ζεὺς δὲ μέγ' εἰσορόων ἐπετέρπετο· κίνυτο δ' εὐρὺς
οὐρανὸς ἀμφὶ πόδεσσι θεῆς· περὶ δ' ἔβραχεν αἰθήρ,
ὡς Διὸς ἀκαμάτοιο ποτὶ κλόνον ἐμμεμαῶτος.
ἡ δ' ἄφαρ ἠερόεντος ὑπὲρ πόντοιο φέρεσθαι
οὐρανόθεν προέηκεν ἐς Αἴολον ἄμβροτον Ἶριν,

443 προσέειπε Ζεὺς ἀγανοῖς ἐπ. *A*, προσέειπεν ἀγανοῖς Ζ. ἐπ. *VV*³, πρ. ἀγανοῖς ἐπ. *P*, προσέειπε πατὴρ ἀ. ἐ. *r hy sp k* (vel -πεν ἄναξ *r*), ἀ. προσέειπεν Ζεὺς ἐπ. *tl* 446 -οισιν *A*, -ησιν *C*¹*ptlk* 459 ἄειρε *v*, ἀείρει *k* 461 sq. οὔρεα· πᾶσα δ' ὕ. | νὺξ ἐχ. *v*, ἠέρα· π. δ' ὕ. | ν. ἐχ. *r*, ἠέρα πᾶσαν ὕπερθε· | νὺξ δ' ἐ. *k* 463 ἐτέρπ. *AP*, em. *r*

ὄφρ' ἀνέμους ἅμα πάντας ἐπιβρίσαντας ἰάλλῃ
ἐλθέμεναι κραναοῖο Καφηρέος ἐγγύθεν ἄκρων
νωλεμέως χριμφθέντας, ἀνοιδῆναί τε θάλασσαν
λευγαλέῃς ῥιπῇσι μεμηνότας. ἡ δ' ἀίουσα
ἐσσυμένως οἴμησε περιγναμφθεῖσα νέφεσσι·
φαίης κεν πῦρ ἔμμεν ἅμ' ἠέρι καὶ μέλαν ὕδωρ.
ἵκετο δ' Αἰολίην, ἀνέμων ὅθι λάβρον ἀέντων
ἄντρα πέλει στυφελῇσιν ἀρηρέμεν' ἀμφὶ πέτρῃσι
κοῖλα καὶ ἠχήεντα· δόμοι δ' ἄγχιστα πέλονται
Αἰόλου Ἱπποτάδαο. κίχεν δέ μιν ἔνδον ἐόντα
σύν τ' ἀλόχῳ καὶ παισὶ δυώδεκα· καί οἱ ἔειπεν,
ὁππόσ' Ἀθηναίη Δαναῶν ἐπεμήδετο νόστῳ.
αὐτὰρ ὅ γ' οὐκ ἀπίθησε, μολὼν δ' ἔκτοσθε μελάθρων
χερσὶν ὑπ' ἀκαμάτῃσιν ὄρος μέγα τύψε τριαίνῃ,
ἔνθ' ἄνεμοι κελαδεινὰ δυσηχέες ηὐλίζοντο
ἐν κενεῷ κευθμῶνι· περίαχε δ' αἰὲν ἰωὴ
βρυχομένη ἀλεγεινά· βίῃ δ' ἔρρηξε κολώνην.
οἱ δ' ἄφαρ ἐξεχέοντο· κέλευσε δὲ πάντας ἐρεμνὴν

468 *τόφρ' AP*, *ὄφρ' Vr* *ἀέλλῃ AP* (*-η P*) et sic (*p*)*tlk* lacunae signis post h. v. positis [‘*ἄκρα* aut simile quidpiam, unde *Καφηρέος* aptum fuerit, intercidisse’], quam *k* sequi iussit *ἰάλλῃ* a *r* inventum; *ἐπιβρ. ἀνώγῃ* ci. *p* 469 *ἐλθ. κρ. Κ., ἔνθεν Ἀχαιῶν AP* et sic *k* alterius lacunae signis post h. v. positis [‘*νηυσίν*, unde *Ἀχαιῶν* aptum fuerit, intercidisse’], *Ἀχαιοὺς* e corr. C^1, *Ἀχαιοῖς rtl*; *εἰς ἅλμην κραναοῖο Καφηρέος· ἔνθεν Ἀχαιοῖς r*, *θῖν' ἐλθεῖν κρ. Κ., ἔνθα δ' Ἀχαιοῖς* et *ἐλθέμεναι κραναάς τε Καφηρίδας* ci. *p*, *ἐλθ. κραναοῖο Καφηρέος, ἐν δὲ θάλασσαν* (et v. seq. *ἀνοιδήνασθαι Ἀχαιῶν*) *k* olim; *ἐγγύθεν ἄκρων ego* 470 *-θέντες Pr* *ἀνοιδήνασθαι θ. APtl* et *k* olim, *ἀνοιδήνωσι θ. r*, *ἀνοιδήνασθ' ἅλα πᾶσαν d*, *ἀνοιδῆν' αἰνὰ θ. p*, *ἀνοιδῆναί τε h*(*t*)*k* 471 *-ότες r* 475 *στυγερῇσιν v*, *στυφελ. rspk* *ἀνηράμ. V*, *ἀρηράμ. v*, *ἀρηρέμ.* ex *Pego* 478 *ἔειπε P* 481 *-οισιν A*, *-ῃσιν tlkP* 482 *κελαδεινοὶ δυσηχέες AP*, *κ. δυσηχέος* E^1, *κ. ἀνηλέες* vel *ἀπηχέες* ci. *p*, *κ. ἀολλέες* ci. *t*, *κελαδεινὰ δυσηχέες rtlk* 483 *κοινῷ* olim ci. *k*, *κοίλῳ* ci. *l* *περίαχεν αἰὲν VP*

λαίλαπα συμφορέοντας ἀήμεναι, ὄφρ' ἀλεγεινὸν
ὀρνυμένης ἁλὸς οἶδμα Καφηρέος ἄκρα καλύψῃ.
οἱ δὲ θοῶς ὤρνυντο, πάρος βασιλῆος ἀκοῦσαι
πᾶν ἔπος· ἐσσυμένοισι δ' ἐπεστενάχιζε θάλασσα
ἄσχετον· ἠλιβάτοισι δ' ἐοικότα κύματ' ὄρεσσιν
ἄλλοθεν ἄλλα φέροντο. κατεκλάσθη δ' ἄρ' Ἀχαιῶν
θυμὸς ἐνὶ στέρνοισιν, ἐπεὶ νέας ἄλλοτε μέν που
ὑψηλὸν φέρε κῦμα δι' ἠέρος, ἄλλοτε δ' αὖτε
οἷα κατὰ κρημνοῖο κυλινδομένας φορέεσκε
βυσσὸν ἐς ἠερόεντα· βίη δέ τις ἄσχετος αἰεὶ
ψάμμον ἀναζείεσκε διοιγομένοιο κλύδωνος.
οἱ δ' ἄρ' ἀμηχανίῃ βεβολημένοι οὔτ' ἐπ' ἐρετμῷ
χεῖρα βαλεῖν ἐδύναντο τεθηπότες, οὔτ' ἄρα λαίφη
ἔσθενον ἀμφὶ κέρα λελιημένοι εἰρύσσασθαι
ῥηγνύμεν' ἐξ ἀνέμων, οὐδ' ἔμπαλιν ἰθύνασθαι
ἐς πλόον· ἀργαλέαι γὰρ ἐπεκλονέοντο θύελλαι·
οὐδὲ κυβερνήτῃσι πέλεν μένος εἰσέτι νηῶν
χερσὶν ἐπισταμένῃσι θοῶς οἰήια νωμᾶν·
πάντα γὰρ ἄλλυδις ἄλλα κακαὶ διέχευαν ἄελλαι.
οὐδέ τις ἐλπωρὴ βιότου πέλεν, οὕνεκ' ἐρεμνὴ
νὺξ ἅμα καὶ μέγα χεῖμα καὶ ἀθανάτων χόλος αἰνὸς
ὦρτο· Ποσειδάων γὰρ ἀνηλέα πόντον ὄρινεν
ἦρα κασιγνήτοιο φέρων ἐρικυδέι κούρῃ,
ἥ ῥα καὶ αὐτὴ ὕπερθεν ἀμείλιχα μαιμώωσα
θῦνε μετ' ἀστεροπῇσιν· ἐπέκτυπε δ' οὐρανόθεν Ζεὺς
κυδαίνων ἀνὰ θυμὸν ἑὸν τέκος, ἀμφὶ δὲ πᾶσαι

487 *Καφ. οἶδμα AP*, *K. ἄκρα brtlk* 491 *γὰρ AP*, *δ' ἄρ'* em. *r* 494 *-εσκεν v*, *-εσκε kP* 495 *τι A*, *τοι* E^1P, *τις rtk*, *οἵ hl* *βίη δὲ δυσάνσχετος* ci. *hk*, an *ἄσπετος*? *αἰὲν v*, *αἰεὶ k* 496 *-δύεσκε A*, *-βλύεσκε rtl* (vel *-πτύεσκε r*), *-βλύζεσκε k*, *-ζείεσκε* ex *P ego* 504 *διέχευον v* et k^1 errore, *-αν* $splk^2$ 507 *πότμον v*, *πόντον rkl*

νῆσοί τ' ἤπειροί τε κατεκλύζοντο θαλάσσῃ
Εὐβοίης οὐ πολλὸν ἀπόπροθεν, ἧχι μάλιστα
τεῦχεν ἀμειλίκτοισιν ἐπ' ἄλγεσιν ἄλγεα δαίμων
Ἀργείοις. στοναχὴ δὲ καὶ οἰμωγὴ κατὰ νῆας
ἔπλετ' ἀπολλυμένων· κανάχιζε δὲ δούρατα νηῶν
ἀγνυμένων· αἳ γάρ ῥα συνωχαδὸν ἀλλήλῃσιν
αἰὲν ἐνερρήγνυντο. πόνος δ' ἄπρηκτος ὀρώρει·
καί ῥ' οἳ μὲν κώπῃσιν ἀπωσέμεναι μεμαῶτες
νῆας ἐπεσσυμένας αὐτοῖς ἅμα δούρασι λυγροὶ
κάππεσον ἐς μέγα βένθος, ἀμειλίκτῳ δ' ὑπὸ πότμῳ
κάτθανον, οὕνεκ' ἄρά σφιν ἐπέχραον ἄλλοθεν ἄλλα
νηῶν δούρατα μακρά· συνηλοίηντο δὲ πάντων
σώματα λευγαλέως· οἳ δ' ἐν νήεσσι πεσόντες
κεῖντο καταφθιμένοισιν ἐοικότες· οἳ δ' ὑπ' ἀνάγκης
νήχοντ' ἀμφιπεσόντες ἐυξέστοισιν ἐρετμοῖς·
ἄλλοι δ' αὖ σανίδεσσιν ἐπέπλεον· ἔβραχε δ' ἅλμη
βυσσόθεν, ὥς τε θάλασσαν ἰδ' οὐρανὸν ἠδὲ καὶ αἶαν
φαίνεσθ' ἀλλήλοισιν ὁμῶς συναρηρότα πάντα.
  ἡ δ' ἄρ' ἀπ' Οὐλύμποιο βαρύκτυπος Ἀτρυτώνη
οὔ τι καταισχύνεσκε βίην πατρός· ἀμφὶ δ' ἄρ' αἰθὴρ
ἴαχεν. ἡ δ' Αἴαντι χόλον καὶ πῆμα φέρουσα
ἔμβαλε νηὶ κεραυνόν, ἄφαρ δέ μιν ἄλλυδις ἄλλῃ
ἐσκέδασεν διὰ τυτθά· περίαχε δ' αἶα καὶ αἰθήρ,
ἐκλύσθη δ' ἄρα πᾶσα περίδρομος Ἀμφιτρίτη.
οἳ δ' ἔκτοσθε νεὸς πέσον ἀθρόοι· ἀμφὶ δ' ἄρ' αὐτοὺς
κύματα μακρὰ φέροντο· περὶ στεροπῇσι δ' ἀνάσσης
αἴγλη μαρμαίρεσκε διὰ κνέφας ἀίσσουσα·
οἳ δ' ἄποτον λάπτοντες ἁλὸς πολυηχέος ἅλμην

512 *θαλάσσης AP, -ῃ* em. *r* 517 *-οισιν v, -ῃσιν pspk* 518 *ἐρήγν. A, ἐρρήγν. P, ἐπερρ. rtlk, ἐνερρ. ego* 527 *ἔβρασε ptl* 532 *αἰνόν τε AP, Αἴαντι ptlk* 539 *ὁπότε AP, ἄποτον* em. *r*

θυμὸν ἀποπνείοντες ὑπὲρ πόντοιο φέροντο.
ληιάσιν δ' ἄρα χάρμα καὶ ὀλλυμένῃσι τέτυκτο·
καί ῥ' αἳ μὲν κατέδυσαν ἔσω ἁλὸς ἀμφιβαλοῦσαι
χεῖρας ἑοῖς τεκέεσσι δυσάμμοροι, αἳ δ' ἀλεγεινὰ
δυσμενέων περὶ κρᾶτα βάλον χέρας, οἷς ἅμα λυγραὶ
σπεῦδον ἀποφθίσασθαι ἑῆς ἀντάξια λώβης
τινύμεναι Δαναούς. ἣ δ' ὑψόθεν εἰσορόωσα
τέρπεθ' ἑὸν κατὰ θυμὸν ἀγαυὴ Τριτογένεια.
Αἴας δ' ἄλλοτε μὲν περινήχετο δούρατι νηός,
ἄλλοτε δ' αὖ χείρεσσι διήνυεν ἁλμυρὰ βένθη
ἀκαμάτῳ Τιτῆνι βίην ὑπέροπλον ἐοικώς·
σχίζετο δ' ἁλμυρὸν οἶδμα περὶ κρατερῇσι χέρεσσιν
ἀνδρὸς ὑπερθύμοιο· θεοὶ δέ μιν εἰσορόωντες
ἠνορέην καὶ κάρτος ἐθάμβεον· ἀμφὶ δὲ κῦμα
ἄλλοτε μὲν φορέεσκε πελώριον ἠύτ' ἐπ' ἄκρην
οὔρεος ὑψηλοῖο δι' ἠέρος, ἄλλοτε δ' αὖτε
ὑψόθεν οἷα φάραγξιν ἐνέκρυφεν· οὐδ' ὅ γε χεῖρας
κάμνε πολυτλήτους· πολλοί γε μὲν ἔνθα καὶ ἔνθα
σβεννύμενοι σμαράγιζον ἔσω πόντοιο κεραυνοί·
οὔ πω γάρ οἱ θυμὸν ἐμήδετο κηρὶ δαμάσσαι
κούρη ἐριγδούποιο Διὸς μάλα περ κοτέουσα,
πρὶν τλῆναι κακὰ πολλὰ καὶ ἄλγεσι πάγχυ μογῆσαι·
τοὔνεκά μιν κατὰ βένθος ἐδάμνατο δηρὸν ὀιζὺς
πάντοθε τειρόμενον· περὶ γὰρ κακὰ μυρία Κῆρες
ἀνδρὶ περιστήσαντο. μένος δ' ἐνέπνευσεν ἀνάγκη·
φῆ δέ, καὶ εἰ μάλα πάντες Ὀλύμπιοι εἰς ἓν ἵκωνται
χωόμενοι καὶ πᾶσαν ἀναστήσωσι θάλασσαν,

543 ἀλεγειναὶ *AP*, -ὰς *hytl*, -ὰ *pk* 551 ποτὶ *v*, περὶ *kspl* 554 μιν ci. *p* 556 ὑψόθε (-θεν *P*?) νῆα *AP*, ὑψόθεν ἄνδρα *rtl*, ὑ. οἷα *k* 557 δέ μιν *AP*, δέ οἱ et δέ μίγ' *p*, δὲ μὲν *t* (vel δὲ μάλ'), δὲ μέγ' *k* olim et *spl*, γε μὲν *kh*

ἐκφυγέειν· ἀλλ᾽ οὔ τι θεῶν ὑπάλυξεν ὁμοκλήν·
δὴ γάρ οἱ νεμέσησεν ὑπέρβιος Ἐννοσίγαιος,
εὖτέ μιν εἰσενόησεν ἐφαπτόμενον χερὶ πέτρης
Γυραίης, καί οἱ μέγ᾽ ἐχώσατο· σὺν δ᾽ ἐτίναξε
πόντον ὁμῶς καὶ γαῖαν ἀπείριτον· ἀμφὶ δὲ πάντῃ
κρημνοὶ ὑπεκλονέοντο Καφηρέος· αἱ δ᾽ ἀλεγεινὸν
θεινόμεναι ῥηγμῖνες ἐπέβραχον οἴδματι λάβρῳ
χωομένοιο ἄνακτος· ἀπέσχισε δ᾽ εἰς ἅλα πέτρον
εὐρέα, τοῦ περ ἐκεῖνος ἑῆς ἐπεμαίετο χερσί.
καί ῥά οἱ ἀμφὶ πάγοισιν ἑλισσομένου μάλα δηρὸν
χεῖρες ἀπεδρύφθησαν, ὑπέδραμε δ᾽ αἷμ᾽ ὀνύχεσσι·
μορμῦρον δέ οἱ αἰὲν ὀρινομένου περὶ κῦμα
ἀφρὸς ἄδην λεύκαινε κάρη λάσιόν τε γένειον·
καὶ νύ κεν ἐξήλυξε κακὸν μόρον, εἰ μὴ ἄρ᾽ αὐτῷ
*   *   *   *   *   *
ῥήξας γαῖαν ἔνερθεν ἐπιπροέηκε κολώνην·
εὖτε πάρος μεγάλοιο κατ᾽ Ἐγκελάδοιο δαΐφρων
Παλλὰς ἀειραμένη Σικελὴν ἐπικάββαλε νῆσον,
ἥ ῥ᾽ ἔτι καίεται αἰὲν ὑπ᾽ ἀκαματοιο Γίγαντος
αἰθαλόεν πνείοντος ἔσω χθονός· ὣς ἄρα Λοκρῶν
ἀμφεκάλυψεν ἄνακτα δυσάμμορον οὔρεος ἄκρη
ὑψόθεν ἐξεριποῦσα· βάρυνε δὲ καρτερὸν ἄνδρα·
ἀμφὶ δέ μιν θανάτοιο μέλας ἐκιχήσατ᾽ ὄλεθρος

568 *τοι v, οἱ rst*[1]*spk* 570 *μέγα χώσ. v, μέγ᾽ ἐχ. k* 572 sq. *οἳ* et *θεινόμενοι v, αἳ* et *-μεναι p k*[1] in praef. *k*[2] 574 *πέτρην Arsp, πέτρ* cum abbrev. *P, πέτρον (r)tlk* 575 *τῇπερ v, τῆπερ P, τῆσπερ sp, τοῦπερ k* *ἑαῖς v, ἑῆς spk. ἐπεμαίνετο A, -μαίετο VPrtsplk* 576 *-μένῳ tl* 578 *μόρμυρον A, -εν E', μορμύρον hytlP*(?), *-ῦρον (sp)k, -ύρων sp -μένῳ rtl, ὀρινόμενον πέρι κ.* | *ἀφρῷ* ci. *hy* 580 *αὐτὴ*? cf. v. seq. 581 *αἶαν v, γαῖαν spk; ῥήξασ᾽ αἶαν* si quis scribat, eum *male acutum* esse haud recte iudicat *k*. post h. v. lacunae signa pos. *k*, ante h. v. *ego* [velut *μᾶλλον ἔτ᾽ ἠνορέης κεχολωμένος Ἐννοσίγαιος*]

γαίῃ ὁμῶς δμηθέντα καὶ ἀτρυγέτῳ ἐνὶ πόντῳ.
ὣς δὲ καὶ ἄλλοι Ἀχαιοὶ ὑπὲρ μέγα λαῖτμα φέροντο,
οἱ μὲν ἄρ' ἐν νήεσσι τεθηπότες, οἱ δὲ πεσόντες
ἔκτοσθεν νηῶν· ὀλοὴ δ' ἔχε πάντας ὀιζύς·
αἱ μὲν γὰρ φορέοντ' ἐπικάρσιαι εἰν ἁλὶ νῆες,
ἄλλαι δ' ἀνστρέψασαι ἄνω τρόπιν· ὧν δέ που ἱστοὶ
ἐκ δοράτων ἐάγησαν ἐπισπέρχοντος ἀήτεω,
τῶν δὲ διὰ ξύλα πάντα θοαὶ σκεδάσαντο θύελλαι·
αἱ δὲ καὶ ἐς μέγα βένθος ὑποβρύχιαι κατέδυσαν
ὄμβρου ἐπιβρίσαντος ἀπείρονος, οὐδ' ὑπέμειναν
λάβρον ὁμῶς ἀνέμοισι θαλάσσης καὶ Διὸς ὕδωρ
μισγόμενον· ποταμῷ γὰρ ἀλίγκιος ἔρρεεν αἰθὴρ
συνεχές, ἡ δ' ὑπένερθεν ἐμαίνετο δῖα θάλασσα·
καί τις ἔφη· „τάχα τοῖον ἐπέχραεν ἀνδράσι χεῖμα,
ὁππότε Δευκαλίωνος ἀθέσφατος ὑετὸς ἦλθε,
ποντώθη δ' ἄρα γαῖα, βυθὸς δ' ἐπεχεύατο πάντῃ."
ὣς ἄρ' ἔφη Δαναῶν τις ἐνὶ φρεσὶ χεῖμα τεθηπὼς
λευγαλέον· πολλοὶ δὲ κατέφθιθεν· ἀμφὶ δὲ νεκρῶν
πλήσθεθ' ἁλὸς μέγα χεῦμα, περιστείνοντο δὲ πᾶσαι
ἠιόνες· πολέας γὰρ ἀπέπτυσε κῦμ' ἐπὶ χέρσον·
ἀμφὶ δὲ νήια δοῦρα βαρύβρομον Ἀμφιτρίτην
πᾶσαν ἄδην ἐκάλυψε· μέσον δ' ἀνεφαίνετο κῦμα.
ἄλλοι δ' ἄλλην κῆρα κακὴν λάχον· οἱ μὲν ἀν' εὐρὺν
πόντον ὀρινομένης ἁλὸς ἄσχετον, οἱ δ' ἐνὶ πέτρῃς
ἄξαντες πέρι νῆας ὀιζυρῶς ἀπόλοντο
Ναυπλίου ἐννεσίῃσιν· ὁ γὰρ κοτέων μάλα παιδὸς*

*(Palamedis)

594 *ἀναστρέψ. AP, αὖ στρ. rtl, ἀνστρ. k; ἄλλοτε δ' αὖ τρέψ. h* 595 *κεράτων v, κεράων spk, περάτων p* et *ego* olim, *δοράτων ego ἐράγ. v, ἐάγ. spk* 597 *εἰς v, ἐς kP* 604 *βάθος AP*, em. *r* 606 *-φθιθον AP*, em. *r* 610 *δ' ἐφ. AP, δ' ἄρ' ἐφ. rtl, δ' ἀνεφ. k* 612 *πέτραις v, -ῃς k* 613 *περὶ A, πέρι tlkP*(?)

χείματος ὀρνυμένοιο καὶ ὀλλυμένων Ἀργείων
καί περ ἀκηχέμενος μέγ᾽ ἐγήθεεν, οὕνεκ᾽ ἄρ᾽ αὐτῷ
δῶκε τίσιν θεὸς αἶψα καὶ ἔδρακεν ἐχθρὸν ὅμιλον
τειρόμενον κατὰ βένθος· ἑῷ δ᾽ ἄρα πολλὰ τοκῆι
εὔχεθ᾽ ὁμῶς νήεσσιν ὑπόβρυχα πάντας ὀλέσθαι.
τοῦ δὲ Ποσειδάων μάλ᾽ ἐπέκλυεν· ἄγχι δὲ πάντας
ἂμ μέλαν οἶδμα φέρεσκεν· ὁ δ᾽ οὐρεὺς ὣς χερὶ πεύκην
αἰθομένην ἀνάειρε· δόλῳ δ᾽ ἀπάφησεν Ἀχαιοὺς
ἐλπομένους εὔορμον ἕδος λιμένων ἀφικέσθαι·
αἰνῶς γὰρ πέτρῃσι πέρι στυφελῇσι δάμησαν
αὐτῇς σὺν νήεσσι· κακῷ δ᾽ ἐπὶ κύντερον ἄλγος
τλῆσαν ἀνιηρῇσι προσαγνύμενοι περὶ πέτρῃς
νυκτὶ θοῇ· παῦροι δ᾽ ἔφυγον μόρον, οὕς τ᾽ ἐσάωσεν
ἢ θεὸς ἢ δαίμων τις ἐπίρροθος· αὐτὰρ Ἀθήνη
ἄλλοτε μὲν θυμῷ μέγ᾽ ἐγήθεεν, ἄλλοτε δ᾽ αὖτε
ἄχνυτ᾽ Ὀδυσσῆος πινυτόφρονος, οὕνεκ᾽ ἔμελλε
πάσχειν ἄλγεα πολλὰ Ποσειδάωνος ὁμοκλῇ,

618 *τῷ* AE^1P, *ἑῷ* em. *r* 620 *τούς δε A*, *τοὺς δὲ* E^1P; *Π. μενέκλονος AP*, *Π. γε μ.* E^1; *ἄλλα AP*, *ἄλλο* E^1; *πόντον A*, *-ος* E^1P; *ἔκλυεν*] *ἔκλονος V* *τοῦ δὲ Π. τὰ μὲν ἔκλυεν· ἄλλα δὲ πόντου rtl*, *τοὺς δὲ Ποσειδάωνος ἕλε κλόνος· αἶψα δὲ πόντου k* olim (*Ποσειδάων ἕλ᾽ ἀνὰ κλόνον?*), *τοῦ δὲ Ποσειδάων μάλα μὲν κλύεν· ἄλλο δ᾽ ἐπ᾽ ἄλλο h*, *τοῦ δὲ Π. μ. μὲν κλύεν* longioris lacunae signis positis *k* [velut *εὐχομένοιο* | . . .] et sequi iussit *ἄλλα δὲ πόντου*; *μὲν ἐπέκλυεν· ἄλλο δὲ πόντου* *ego* olim, nunc *μάλ᾽ ἐπέκλυεν· ἄγχι δὲ πάντας* 621 *ἂψ v*, *ἂμ* *ego* *ἀναμένην χειρὶ A*, *αὐομένην χερὶ* V^3, *αὐομένην περὶ* VE^1, *αὐαλέην χερὶ rtl*, *ἁψάμενος χερὶ* (vel *πυρὶ*) *k*, *αἰνομανεῖ* *Bentley* (rectius *ἀκαμάτῃ*); sed *ὀυκσ ὣς χειρὶ* (sic!) *P*, unde *οὐρεὺς ὣς χερὶ* *ego* conieci 622 sq. *ἀπείλησεν Ἀχαιοῖς* | *ἐλπομένοις AP*, *ἀπέλησεν Ἀχαιοὺς* | *ἐλπομένους* VE^1, *ἀπάτησεν A.* | *ἐ. rtl* (vel *ἀπάφησεν r*), *ἄρ᾽ ἔθελγεν sp*, *ἀπόλεσσεν* *Sypkens*, *ἐπέλασσεν k* (sed hoc recepto in v. 624 *δ᾽ ἂρ* scribendum esse *ego* monui 625 *αὐταῖς v*, *-ῇς sp* 627 *πάλιν δὲ φ. A*, *π. φ. P*, *παῦροι δὲ φ. rtlk*, *π. δ᾽ ἔφ.* *ego* 629 *μὲν μέγ᾽ A*, *μὲν θεὴ μέγ᾽ P*, *μὲν θυμῷ μέγ᾽ rtlk* 630 *ἔμελλεν v*, *-ε kP*

ὅς ῥα τότ' ἀκαμάτῃσι περὶ φρεσὶ πάγχυ μεγαίρων
τείχεσι καὶ πύργοισιν ἐυσθενέων Ἀργείων,
οὓς ἔκαμον Τρώων στυγερῆς ἔρυμ' ἔμμεν αὐτῆς,
ἐσσυμένως μάλα πᾶσαν ἀνεπλήμμυρε θάλασσαν,
ὅσση ἀπ' Εὐξείνοιο κατέρχεται Ἑλλήσποντον,
καί μιν ἐπ' ἠιόνας Τροίης βάλεν· ὗε δ' ὕπερθε
Ζεὺς ἐπίηρα φέρων ἐρικυδέι Ἐννοσιγαίῳ·
οὐδὲ μὲν οὐδ' Ἑκάεργος ἄτερ καμάτοιο τέτυκτο,
ἀλλ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων μάλα πάντα ῥέεθρα
εἰς ἕνα χῶρον ἄγεσκε, κατέκλυσε δ' ἔργον Ἀχαιῶν·
ἐκλύσθη δὲ θάλασσα καὶ εἰσέτ' ἴσαν κελάδοντες
χείμαρροι ἀλεγεινὸν ἀεξόμενοι Διὸς ὄμβρῳ,
τοὺς μέλαν οἶδμ' ἀνέεργε πολυστόνου Ἀμφιτρίτης
πόντον ἐπελθέμεναι, πρὶν τείχεα πάντ' ἀμαθῦναι
ἀργαλέως Δαναῶν. αὐτὸς δ' ἄρα γαῖαν ἔνερθε
ῥῆξε Ποσειδάων, ἀνὰ δ' ἔβλυσεν ἄσπετον ὕδωρ
ἰλύν τε ψάμαθόν τε· βίῃ δ' ἐλέλιξε κραταιῇ
Σίγεον· ἠιόνες δὲ μέγ' ἔβραχον ἠδὲ θέμεθλα
Δαρδανίης, καὶ ἄιστον ὑποβρύχιόν τ' ἐκαλύφθη

634 Τροίης *AP*, Τροίῃ *tl*, Τρώων *k* στ. ἔμεναι ἀΰτῆς *A*, στ. ἔμμεν αὐτῆς *V*, στ. ἔμμεν ἀΰτῆς *P*, στ. ἔμεν ἄλκαρ αὐτῆς C^1*rtlk*, ἔμεν ἕρκος ci. *r*, ἔρυμ' ἔμμεν ci. *k* 637 Τρώων *v*, Τροίης *k* -θεν *v*, -θε *kP* 639 οὐ μὲν *A*, οὐ μὴν E^1*tlk*, οὐ μὰν *r*, οὐδὲ μὲν ci. *r* et sic *P* 641 interpunctionem post Ἀχαιῶν om. *rptl* 642 καὶ τόσση δὲ θ. καὶ εἰσέτι κελ. *AP* et sic *k* lacunae signis et post v. 641 et post εἰσέτι positis, καὶ εἰσέτι οἱ κελ. *p* (sed hic τόσση γε) *tl*, κητώεσσα θ. καὶ ἰδαῖοι κελ. *r* (antea κυρτώθη δὲ θ. καὶ εἰσέθεον temptaverat), ἐκλύσθη δὲ θ. καὶ ἴσ' ἔπισαν *ego* antehac, nunc εἰσέτ' ἴσαν (an εἰς ἔτ'?) 643 χείμαρροί τ' *A* (-ροι) *Prpk*, χείμαρροι *tl* 649 sq. ἐκ δὲ θεμέθλων | Δαρδανίῃ *v* et sic *k* lacunae signis post Δαρδανίῃ positis, ἔκ τε θ. | Δ. interpunctione post ἔβραχον omissa *tlP*(?), ἠδὲ θέμεθλα | Δαρδανίης *ego* Δαρδανίῃ δεδάικτο vel κεραΐζεθ' vel Δαρδανίην θέτ' ἄιστον ci. *r* τε καλ. *v*, τ' ἐκ. *k*

ἕρκος ἀπειρέσιον, κατεδύσατο δ' ἔνδοθι γαίης
μακρὰ διισταμένης· ψάμαθος δ' ἔτι φαίνετο μούνη
χασσαμένου πόντου, καὶ ἀπ' ἀκτάων ἐριδούπων
νόσφιν ἐπ' αἰγιαλοῖο κατεκτάθη. ἀλλὰ τὰ μέν που
ἀθανάτων ἐτέλεσσε κακὸς νόος· οἱ δ' ἐνὶ νησὶν
Ἀργεῖοι πλώεσκον, ὅσους διὰ χεῖμα κέδασσεν·
ἄλλῃ δ' ἄλλος ἵκανεν, ὅπῃ θεὸς ἦγεν ἕκαστον,
ὅσσοι ὑπὲρ πόντοιο λυγρὰς ὑπάλυξαν ἀέλλας.

653 *πόντοιο καὶ ἐκ δαναῶν AP*, *καὶ ἐκ θινῶν* VE^1tlk et hic quidem post h. v. lacunae signa posuit, *καὶ ἐκ ποταμῶν* ci. *r*, *κατ' ἀκτάων h*, *πόντου καὶ ἀπ' ἀκτάων* (vel *ὀχθάων*) *ego* *ἐριδούπου hy* 654 *ἀπ' αἰγιαλοῖο Artlk*, *ἐπ' αἰγ.* ex E^1 *P ego* (vel *ἐπ' αἰγιαλοῖσι*) *κατ' ἔκτοθι v*, *κατέκτοθι P*, *κατεκτάθη* ci. *t*, rec. *k*

INDEX NOMINUM.

B.

Γ.

Δ.

H.

I.

Λ.

Ρ.

Σ.

T.

INDEX LOCORUM IN PRAEFATIONE TRACTATORUM.